16. Εἶπε πάλιν ὅτι· Μεγάλη προδοσία σωτηρίας τὸ μηδένα τῶν θείων νόμων εἰδέναι.

17. Ὁ αὐτὸς ἔλεγεν ὅτι· Τὰ τῶν δικαίων ἁμαρτήματα περὶ τὰ χείλη ἐστίν, τὰ δὲ τῶν ἀσεβῶν ἐξ ὅλου τοῦ σώματος. Ὅθεν ὁ θεῖος ψάλλει Δαβίδ· Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου. Καὶ εἶπα· Φυλάξω τὰς ὁδούς μου τοῦ μὴ ἁμαρτάνειν με ἐν γλώσσῃ μου.

18. Ὁ αὐτὸς εἶπεν ὅτι· Ὁ Θεὸς τοῖς μὲν ἁμαρτωλοῖς καὶ τὸ κεφάλαιον παραχωρεῖ μετανοοῦσιν ὡς τῇ πόρνῃ καὶ τῷ τελώνῃ· τοὺς δὲ δικαίους ἀπαιτεῖ καὶ τόκους. Καὶ τοῦτό ἐστιν ὃ τοῖς Ἀποστόλοις ἔλεγεν ὅτι· Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν Γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν.

19. Εἶπεν ὁ ἀββᾶς Εὐπρέπιος· Ἔχων, φησίν, ἐν ἑαυτῷ εἶναι πιστὸν τὸν Θεὸν καὶ δυνατόν, πίστευε εἰς αὐτὸν καὶ μεθέξεις τῶν αὐτοῦ, εἰ δὲ ὀλιγωρεῖς, οὐ πιστεύεις. Καὶ ὅτι·

---

20. Δεύτερος κατά σειράν, μετά τόν Σαούλ, βασιλιάς τοῦ Ἰσραήλ καί περιφημότερος τῶν προπατόρων τοῦ Κυρίου. Μᾶς εἶναι γνωστός ἀπό τούς περίφημους Ψαλμούς του.

21. Ψαλμ. 140, 3. 22. Ψαλμ. 38, 1.

23. Ὅπως στήν περίπτωση δανεισμοῦ χρημάτων, ὁ δανειστής στόν ἕναν χαρίζει καί τό κεφάλαιο καί τούς προβλεπόμενους τόκους, γιατί αὐτός (ὁ χρεώστης) μή μπορώντας νά τά ἐπιστρέψει παρακαλεῖ τόν δανειστή νά τοῦ τά χαρίσει, ἐνῶ ἀπό τόν ἄλλο πού δέν ἔχει καμιά δικαιολογία νά μήν ἐπιστρέ

15. Εἶπε ἐπίσης: «Ἡ ἄγνοια τῆς ἁγίας Γραφῆς εἶναι μεγάλος γκρεμός καί βαθύ χάσμα».

16. Εἶπε ἀκόμη: «Τό νά ἀγνοοῦν οἱ ἄνθρωποι ἐντελῶς τούς θείους νόμους εἶναι μεγάλη προδοσία τῆς σωτηρίας».

17. Ὁ ἴδιος ἔλεγε: «Τά ἁμαρτήματα τῶν δικαίων ἐνεργοῦνται γύρω ἀπό τά χείλη, ἐνῶ τῶν ἀσεβῶν ἀπό ὁλόκληρο τό σῶμα. Γι' αὐτό ὁ θεῖος Δαβίδ[20] ψάλλει: Θέσε, Κύριε, φρουρά στό στόμα μου καί γύρω ἀπό τά χείλη μου θύρα πού θά τά προφυλάσσει[21]. Καί εἶπα· θά προσέξω τί κάνω, γιά νά μήν ἁμαρτήσω μέ τή γλώσσα μου»[22].

18. Εἶπε ὁ ἴδιος πάλι: «Ὁ Θεός στούς ἁμαρτωλούς χαρίζει καί τό κεφάλαιο, ὅταν μετανοοῦν, ὅπως στήν πόρνη καί στόν τελώνη· ἐνῶ ἀπό τούς δικαίους ζητάει καί τόκους[23]. Καί αὐτό εἶναι ἀκριβῶς ἐκεῖνο πού ἔλεγε ὁ Κύριος στούς Ἀποστόλους: Ἐάν ἡ εὐσέβειά σας δέν ξεπεράσει τήν εὐσέβεια τῶν Γραμματέων καί τῶν Φαρισαίων, δέν θά μπεῖτε στή Βασιλεία τῶν Οὐρανῶν»[24].

19. Εἶπε ὁ ἀββᾶς Εὐπρέπιος: «Ἐφόσον παραδέχεσαι ὅτι ὁ Θεός εἶναι ἀξιόπιστος καί δυνατός, πίστευέ τον καί θά μετέχεις στίς εὐλογίες του. Ἄν ὅμως τό παίρνεις ἀψήφιστα τό πράγμα, σημαίνει ὅτι δέν πιστεύεις».

ψει τό δάνειο, ὁ δανειστής ζητάει καί τό κεφάλαιο καί τούς τόκους, ἔτσι καί στά πνευματικά: Ὁ Θεός συγχωρεῖ τόν μετανοοῦντα ἁμαρτωλό χωρίς νά ζητάει τίποτε πλήν τῆς μετανοίας του· ἀπό τόν δυνάμενο ὅμως νά ἀνταποκριθεῖ στήν ἀγάπη Του, ὁ Θεός πλήν τῆς μετανοίας του ζητάει ὄχι μόνο τήν τυπική εὐσέβεια πού εἶχαν οἱ Γραμματεῖς καί οἱ Φαρισαῖοι, ἀλλά τήν πλήρη τήρηση τῶν ἐντολῶν τοῦ Χριστοῦ (πρβλ. Ματθ. 18, 23 28 καί 25, 14 30).

24. Ματθ. 5, 20.

Πάντες πιστεύομεν δυνατὸν αὐτὸν εἶναι καὶ πιστεύομεν ὅτι πάντα αὐτῷ ἐστι δυνατά, ἀλλὰ καὶ ἐν τοῖς σοῖς πίστευε ἐν ἑαυτῷ πράγμασιν, ὅτι καὶ ἐν σοὶ ποιεῖ σημεῖα.

20. Ἀδελφὸς ἠρώτησε τὸν αὐτὸν Γέροντα λέγων· Πῶς ἔρχεται ὁ φόβος τοῦ Θεοῦ εἰς τὴν ψυχήν; Καὶ εἶπεν ὁ Γέρων· Ἐὰν ἔχῃ ὁ ἄνθρωπος τὴν ταπείνωσιν καὶ τὴν ἀκτημοσύνην, ἔρχεται αὐτῷ ὁ φόβος τοῦ Θεοῦ.

21. Ὁ αὐτὸς εἶπε· Φόβος καὶ ταπείνωσις καὶ ἔνδεια τροφῶν καὶ πένθος διαμενέτω σοι.

22. Παρέβαλεν ἐν ἀρχῇ αὐτὸς ὁ ἀββᾶς Εὐπρέπιός τινι Γέροντι καὶ λέγει αὐτῷ· Ἀββᾶ, εἰπέ μοι λόγον πῶς σωθῶ; Ὁ δὲ εἶπεν αὐτῷ· Ἐὰν θέλῃς σωθῆναι, ὅπου ἐὰν ἀπέλθῃς, μὴ προλάβῃς λαλῆσαι, πρὶν ἐξετάσει σέ τις. Ὁ δὲ ἐπὶ τῷ λόγῳ κατανυγεὶς ἔβαλε μετάνοιαν λέγων· Ὄντως πολλὰ βιβλία ἀνέγνων καὶ τοιαύτην ὠφέλειαν οὐδέποτε ἔγνων. Καὶ πολλὰ ὠφεληθεὶς ἐξῆλθεν.

23. Εἶπεν ἡ ἀμμᾶς Εὐγενία· Ἐπαιτεῖν ἡμῖν συμφέρει καὶ μόνον μετὰ Ἰησοῦ εἶναι· πλούσιος γάρ ἐστι πᾶς ὁ μετὰ Ἰησοῦ ὤν, κἂν σωματικῶς ᾖ πένης. Ὁ μὲν γὰρ τὰ ἐν τῇ γῇ προτιμῶν τῶν πνευματικῶν, ἀμφοτέρων ἐκπεσεῖται, ὁ δὲ τῶν οὐρανίων ἐπιθυμῶν καὶ τῶν ἐπὶ τῆς γῆς τεύξεται πάντως ἀγαθῶν.

Καί πρόσθεσε: «Ὅλοι πιστεύουμε ὅτι εἶναι δυνατός ὁ Θεός· ἐπίσης πιστεύουμε ὅτι τά πάντα μπορεῖ νά κάνει· ἀλλά εἶναι ἀνάγκη νά ἔχεις πίστη μέσα σου καί γιά τίς προσωπικές σου ὑποθέσεις, ὅτι δηλαδή καί σέ σένα θά κάνει θαυμαστά σημεῖα».

20. Ἕνας ἀδελφός ρώτησε τόν ἴδιο Γέροντα: «Πῶς ἔρχεται στήν ψυχή ὁ φόβος τοῦ Θεοῦ;» Καί ὁ Γέροντας εἶπε: «Ἐάν ὁ ἄνθρωπος ἔχει τήν ταπείνωση καί τήν ἀκτημοσύνη, ἔρχεται μέσα του ὁ φόβος τοῦ Θεοῦ».

21. Ὁ ἴδιος εἶπε: «Ὁ φόβος, ἡ ταπείνωση, ἡ ἐλλιπής τροφή καί τό πένθος νά σέ συντροφεύουν πάντοτε».

22. Στίς ἀρχές τῆς μοναχικῆς του ζωῆς ὁ ἴδιος ὁ ἀββᾶς Εὐπρέπιος ἐπισκέφθηκε κάποιον Γέροντα καί τοῦ εἶπε: «Ἀββᾶ, πές μου κάποιον λόγο, πῶς θά μπορέσω νά σωθῶ;» Κι ἐκεῖνος τοῦ εἶπε: «Ἐάν θέλεις νά σωθεῖς, ὅπου κι ἄν πᾶς, μή βιαστεῖς νά πάρεις τόν λόγο, πρίν σέ ρωτήσει κάποιος». Αὐτός ἔνιωσε συντριβή γιά τόν λόγο πού τοῦ εἶπε καί ἔβαλε μετάνοια λέγοντας: «Ἀληθινά, πολλά βιβλία διάβασα καί τέτοια ὠφέλεια ποτέ δέν γνώρισα». Κι ἔφυγε πολύ ὠφελημένος.

23. Εἶπε ἡ ἀμμᾶς Εὐγενία: «Μᾶς συμφέρει σάν ζητιάνοι νά ζοῦμε, ἀρκεῖ μόνο νά εἴμαστε μαζί μέ τόν Ἰησοῦ. Γιατί ὅποιος εἶναι μαζί μέ τόν Ἰησοῦ, εἶναι πλούσιος κι ἄν ἀκόμη ὑλικά εἶναι φτωχός.

Αὐτός ὁ ὁποῖος προτιμᾶ τά γήινα ἀπό τά πνευματικά, θά χάσει καί τά δύο· ἐνῶ ἐκεῖνος πού ἐπιθυμεῖ τά οὐράνια, θά βρεῖ ὁπωσδήποτε καί ἐπίγεια ἀγαθά»[25].

25. Ματθ. 6, 33.

24. Ὁ ἀββᾶς Εἰρηναῖος εἶπε πρὸς τοὺς ἀδελφούς· Ἀγωνισώμεθα καὶ ὑπομείνωμεν πολεμούμενοι· στρατιῶται γάρ ἐσμεν Χριστοῦ, τοῦ ἐπουρανίου Βασιλέως. Καὶ ὥσπερ οἱ στρατιῶται τοῦ ἐπιγείου βασιλέως ἔχουσι περικεφαλαίαν χαλκῆν, οὕτως καὶ ἡ ἡμετέρα στρατεία ἔχει περικεφαλαίαν τὰς καλὰς ἀρετάς. Ἐκεῖνοι ἔχουσι θώρακα ἁλυσιδωτὸν καὶ ἡμεῖς ἔχομεν θώρακα πνευματικόν, πίστει χαλκευόμενον. Ἐκεῖνοι ἔχουσι λόγχην, ἡμεῖς δὲ τὴν προσευχήν. Ἐκεῖνοι ἔχουσιν ἀσπίδα, ἡμεῖς δὲ τὴν εἰς Θεὸν ἐλπίδα. Ἐκεῖνοι ἔχουσι θυρεόν, ἡμεῖς τὸν Θεόν. Ἐκεῖνοι ἐν τῷ πολέμῳ αἵματα ἐκχέουσιν, ἡμεῖς οὖν τὴν προαίρεσιν προσενέγκωμεν. Διὰ τοῦτο γὰρ καὶ ὁ ἐπουράνιος Βασιλεὺς παρεχώρησε τοῖς δαίμοσι πολεμεῖν ἡμᾶς, ἵνα μὴ ἐπιλανθανώμεθα τῶν εὐεργεσιῶν αὐτοῦ.

Ἐν γὰρ τῇ ἀνέσει πολλάκις οἱ πολλοὶ τῶν ἀνθρώπων οὔτε ὅλως προσεύχονται, εἰ καὶ προσεύχονται, ἀλλ᾿ οὐ προσεύχονται συνευχόμενοι ἢ καὶ ῥεμβόμενοι τὴν διάνοιαν· προσευχόμενοι, ὡς μὴ προσευχόμενοι εὑρίσκονται. Οἱ γὰρ Θεῷ λαλοῦντες τοῖς χείλεσιν, τῷ δὲ κόσμῳ τῇ καρδίᾳ διαλεγόμενοι, πῶς εἰσακουσθήσονται; Ὅταν δὲ θλιβώμεθα, τότε νηφόντως προσευχόμεθα καὶ πολλάκις τοῖς χείλεσι μὴ ψάλλοντες, τῇ καρδίᾳ προσευχόμεθα πρὸς αὐτὸν ἀναπέμποντες τὸ ῥῆμα τῆς καρδίας καὶ στεναγμοῖς αὐτῷ ὁμιλοῦντες. Τοίνυν καὶ ἡμεῖς, ἀδελφοί, μιμησώμεθα τοὺς τοῦ φθαρτοῦ βασιλέως στρατιώτας καὶ προθύμως πολεμήσωμεν. Μᾶλλον δὲ τοὺς τρεῖς παῖδας μιμησώμεθα καὶ τὴν κάμινον τῶν παθῶν ἁγνείᾳ πατήσωμεν καὶ τοὺς ἄνθρακας τῶν πειρασμῶν τῇ

---

26. Ἐφ. 6, 14-18. 27. Δαν. 3, 8-23.

28. Βαβυλώνιος βασιλιάς (605-562 π.Χ.), μέ τή διαταγή τοῦ ὁποίου ρίχθηκαν στήν κάμινο τοῦ πυρός οἱ τρεῖς παῖδες. Ἐπί τῶν ἡμερῶν του ἡ βαβυλωνιακή αὐτοκρατορία ἔφθασε στή μεγαλύτερη δόξα της.

24. Ὁ ἀββᾶς Εἰρηναῖος εἶπε πρός τούς ἀδελφούς: «Ἄς ἀγωνισθοῦμε καί ἄς ὑπομένουμε, ὅταν μᾶς πολεμοῦν· γιατί εἴμαστε στρατιῶτες τοῦ Χριστοῦ τοῦ ἐπουράνιου Βασιλιᾶ. Καί ὅπως οἱ στρατιῶτες τοῦ ἐπίγειου βασιλιᾶ ἔχουν χάλκινη περικεφαλαία, ἔτσι καί ἡ δική μας στρατιά ἔχει γιά περικεφαλαία τίς καλές ἀρετές. Ἐκεῖνοι ἔχουν θώρακα ἁλυσιδωτό, ἐμεῖς ἔχουμε θώρακα πνευματικό πού σφυρηλατεῖται μέ τήν πίστη. Ἐκεῖνοι κρατοῦν λόγχη, ἐμεῖς ὅμως τήν προσευχή. Ἐκεῖνοι ἔχουν ἀσπίδα, ἐμεῖς τήν ἐλπίδα στόν Θεό. Ἐκεῖνοι ἔχουν θυρεό, ἐμεῖς τόν Θεό[26]. Ἐκεῖνοι στόν πόλεμο χύνουν τό αἷμα τους, ἐμεῖς ὅμως τήν προαίρεσή μας προσφέρουμε. Γι᾿ αὐτό βέβαια καί ὁ ἐπουράνιος βασιλιάς ἐπέτρεψε στούς δαίμονες νά μᾶς πολεμοῦν, γιά νά μήν ξεχνοῦμε τίς εὐεργεσίες του.

Γιατί μέσα στήν ἄνεση οἱ περισσότεροι ἄνθρωποι πολλές φορές διόλου δέν προσεύχονται. Κι ἄν ἀκόμη στέκουν μαζί μέ ἄλλους γιά προσευχή, δέν συμμετέχουν· ἤ προσεύχονται μέ μυαλό πού ταξιδεύει ἐδῶ κι ἐκεῖ. Κι ἔτσι ἐνῶ παίρνουν στάση προσευχῆς, τό ἀποτέλεσμα εἶναι ὅτι δέν προσεύχονται. Αὐτοί πού μιλοῦν στόν Θεό μέ τά χείλη, ἐνῶ στήν καρδιά τους συζητοῦν μέ τόν κόσμο, πῶς θά εἰσακουσθοῦν; Ὅταν ὅμως μᾶς βρίσκουν θλίψεις, τότε κατά τήν προσευχή μας βρισκόμαστε σέ ἐγρήγορση· καί πολλές φορές χωρίς νά ψάλλουμε μέ τά χείλη, ἡ καρδιά μας προσεύχεται καί στέλνουμε σ᾿ Αὐτόν τή φωνή της μαζί μέ τούς ἀναστεναγμούς μας. Καί ἐμεῖς λοιπόν, ἀδελφοί, ἄς μιμηθοῦμε τούς στρατιῶτες τοῦ φθαρτοῦ βασιλιᾶ καί ἄς πολεμήσουμε πρόθυμα. Ἤ καλύτερα, ἄς μιμηθοῦμε τούς τρεῖς παῖδες[27]· καί τό καμίνι τῶν παθῶν ἄς τό πατήσουμε μέ τήν ἁγνότητα· τά ἀναμμένα κάρβουνα τῶν πειρασμῶν ἄς τά σβήσουμε μέ τήν προσευχή καί τόν νοητό Ναβουχοδονόσορ[28], τόν διάβολο, ἄς τόν ντροπιάσουμε. Μέ τόν τρόπο

προσευχῇ σβέσωμεν καὶ τὸν νοητὸν Ναβουχοδονόσορ, τὸν διάβολον, αἰσχύνωμεν. Καὶ τὰ σώματα ἡμῶν θυσίαν ζῶσαν τῷ Θεῷ παραστήσωμεν καὶ τὸ εὐσεβὲς φρόνημα ὡς ὁλοκαύτωμα προσενέγκωμεν.

25. Εἶπεν ὁ ἀββᾶς Ζήνων, ὁ μαθητὴς τοῦ μακαρίου Σιλουανοῦ· Μὴ οἰκήσῃς ἐν τόπῳ ὀνομαστῷ μηδὲ καθίσῃς μετὰ ἀνθρώπου ἔχοντος μέγα ὄνομα μηδὲ βάλῃς θεμέλιον τοῦ οἰκοδομῆσαι ἑαυτῷ κελλίον πώποτε.

26. Εἶπεν ὁ ἀββᾶς Μακάριος τῷ ἀββᾷ Ζαχαρίᾳ· Εἰπέ μοι τὸ ἔργον τοῦ μοναχοῦ. Λέγει αὐτῷ· Ἐμὲ ἐρωτᾷς, πάτερ; Λέγει ὁ ἀββᾶς Μακάριος· Πληροφοροῦμαι εἰς σέ, τέκνον Ζαχαρία· ἔστι γὰρ ὁ νύσσων με τοῦ ἐρωτῆσαί σε. Λέγει αὐτῷ ὁ Ζαχαρίας· Τὸ κατ' ἐμέ, πάτερ, τὸ ἑαυτὸν βιάζεσθαι εἰς πάντα, οὗτός ἐστιν ὁ μοναχός.

27. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἠσαΐου ὅτι ποτὲ ἔλαβε θαλλίον καὶ ἀπῆλθεν εἰς τὴν ἅλωνα. Καὶ λέγει τῷ γεούχῳ· Δός μοι σῖτον. Καὶ λέγει αὐτῷ· Καὶ σὺ ἐθέρισας, ἀββᾶ; Λέγει· Οὐχί. Καὶ λέγει αὐτῷ ὁ γεοῦχος· Πῶς οὖν θέλεις σῖτον λαβεῖν μὴ θερίσας; Καὶ λέγει αὐτῷ ὁ Γέρων· Οὐκοῦν ἐὰν μή τις θερίσῃ, οὐ λαμβάνει μισθόν; Λέγει αὐτῷ ὁ γεοῦχος· Οὐχί. Καὶ οὕτως ἀνεχώρησεν ὁ Γέρων. Οἱ δὲ ἀδελφοὶ ἰδόντες τί ἐποίησεν, ἔβαλον αὐτῷ μετάνοιαν παρακαλοῦντες μαθεῖν τί τοῦτο

29. Ρωμ. 12, 1.

30. Ἡ «πληροφορία» εἶναι χάρισμα πού δίνεται στήν ψυχή ἀπό τόν Θεό, κατόπιν πολλῆς προσευχῆς, ὡς σταθερή βεβαιότητα γιά τήν ὀρθότητα κάποιου λογισμοῦ ἤ πράξης, γιά τή λύση κάποιου προβλήματος καί γενικά γιά τήν ἀποκάλυψη τοῦ θελήματος τοῦ Θεοῦ κατά περίπτωση. Συνιστᾶται ὅμως

αὐτό ἄς παρουσιάσουμε στόν Θεό τά σώματά μας ζωντανή θυσία[29] καί ὅλη μας τήν εὐσεβή διάθεση ἄς τήν προσφέρουμε σάν ὁλοκαύτωμα».

25. Εἶπε ὁ ἀββᾶς Ζήνων*, ὁ μαθητής τοῦ μακάριου Σιλουανοῦ: «Μήν κατοικήσεις σέ τόπο ξακουστό οὔτε νά συγκατοικήσεις μέ ἄνθρωπο πού ἔχει μεγάλο ὄνομα οὔτε ποτέ νά ρίξεις θεμέλιο γιά νά χτίσεις γιά τόν ἑαυτό σου κελί».

26. Εἶπε ὁ ἀββᾶς Μακάριος στόν ἀββᾶ Ζαχαρία*: «Πές μου ποιό εἶναι τό ἔργο τοῦ μοναχοῦ;» Καί τοῦ λέει ἐκεῖνος: «Ἐμένα ρωτᾶς, πάτερ;» Τοῦ ἐξήγησε ὁ ἀββᾶς Μακάριος: «Ἔχω πληροφορία[30] μέσα μου γιά σένα, παιδί μου Ζαχαρία. Εἶναι δηλαδή κάποιος πού μέ κεντρίζει νά σέ ρωτήσω». Τοῦ εἶπε τότε ὁ Ζαχαρίας: «Ὅσο καταλαβαίνω, πάτερ, τό νά βιάζει σ' ὅλα τόν ἑαυτό του· αὐτό κάνει τόν μοναχό».

27. Διηγοῦνταν γιά τόν ἀββᾶ Ἠσαΐα* ὅτι κάποτε πῆρε ἕνα ζεμπίλι καί πῆγε στό ἁλώνι. Καί εἶπε στόν ἰδιοκτήτη τοῦ χωραφιοῦ: «Δός μου σιτάρι». Τόν ρωτάει τότε ἐκεῖνος: «Καί σύ θέρισες, ἀββᾶ;» «Ὄχι» ἀπαντᾶ. «Καί πῶς λοιπόν —τοῦ λέει— ζητᾶς νά πάρεις σιτάρι, ἐνῶ δέν θέρισες;» Δευτερώνει τόν λόγο ὁ Γέροντας: «Ὥστε ἐάν κάποιος δέν θερίσει, δέν ἔχει μισθό;» «Ὄχι βέβαια» τοῦ λέει ὁ ἰδιοκτήτης. Μετά ἀπό τή συζήτηση αὐτή ἔφυγε ὁ Γέροντας.

Οἱ ἀδελφοί πού εἶδαν τί ἔκανε, τοῦ 'βαλαν μετάνοια παρακαλώντας τον νά μάθουν γιατί τό 'κανε αὐτό. Καί τούς

οἱ μυστικές αὐτές ἐνέργειες, πού δίνονται στήν ψυχή, νά τίθενται στήν κρίση διακριτικῶν πνευματικῶν πρός ἀποφυγήν πλάνης, γιατί ὁ Σατανᾶς μπορεῖ νά ἐμφανισθεῖ ὡς ἄγγελος φωτός.

ἐποίησεν. Λέγει αὐτοῖς ὁ Γέρων· Ὑπόδειγμα αὐτῷ ἐποίησα, ὅτι, ἐὰν μή τις ἐργάσηται, οὐ λαμβάνει μισθὸν παρὰ τοῦ Θεοῦ.

28. Εἶπεν ὁ ἀββᾶς Ἡσαΐας ὁ πρεσβύτερος ὅτι· Ἔλεγέ τις τῶν πατέρων ὅτι ὀφείλει κτήσασθαι ὁ ἄνθρωπος πρὸ πάντων τὸ εἰς Θεὸν πιστεύειν καὶ ἐπιποθεῖν τὸν Θεὸν ἀδιαλείπτως καὶ τὴν ἀκακίαν καὶ τὸ μὴ ἀνταποδιδόναι κακὸν ἀντὶ κακοῦ καὶ τὴν κακοπάθειαν καὶ τὴν ταπεινοφροσύνην καὶ τὴν ἁγνείαν καὶ τὴν φιλανθρωπίαν καὶ τὴν ἀγάπην εἰς πάντας καὶ τὴν ὑποταγὴν καὶ τὴν πραότητα καὶ τὴν μακροθυμίαν καὶ τὴν ὑπομονὴν καὶ ἐπιθυμίαν ἁγίαν εἰς Θεόν. Καὶ τὸ συνεχῶς παρακαλεῖν τὸν Θεὸν μετὰ πόνου καρδίας καὶ ἀγάπης ἀληθινῆς πρὸς τὸ μὴ ἀτενίσαι εἰς τὰ ὀπίσω καὶ τὸ προσέχειν εἰς τὰ ἐπερχόμενα καὶ τὸ μὴ πεποιθέναι ἐπὶ τῇ ἀγαθοεργίᾳ ἑαυτοῦ, ἤτοι λειτουργίᾳ, καὶ τὸ παρακαλεῖν τὴν βοήθειαν τοῦ Θεοῦ διὰ τὰ ἐπερχόμενα αὐτῷ καθ' ἑκάστην ἀδιαλείπτως.

29. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ἡσαΐαν λόγον. Καὶ ἀποκριθεὶς ὁ Γέρων λέγει αὐτῷ· Εἰ θέλεις ἐξακολουθῆσαι τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ, φύλαττε τὸν λόγον αὐτοῦ. Καὶ τὸν παλαιόν σου ἄνθρωπον, εἰ θέλεις συγκρεμασθῆναι αὐτῷ, τοὺς καταφέροντάς σε ἀπὸ τοῦ σταυροῦ ἐκκόψαι ὀφείλεις, ἕως οὗ ἀποθάνῃς. Καὶ ὀφείλεις ἑτοιμάσαι ἑαυτὸν εἰς τὸ φέρειν ἐξουδένωσιν καὶ εἰς τὸ ἀναπαῦσαι τὴν καρδίαν τῶν κακοποιούντων σε καὶ ταπεινῶσαι σεαυτὸν τοῖς θέλουσί σε καταδυναστεῦσαι καὶ τὸ σιωπὴν ἔχειν τοῦ στόματος καὶ τὸ μὴ κρίνειν τινὰ ἐν τῇ καρδίᾳ σου.

31. Α' Κορ. 3, 8. 32. Πρβλ. Φιλ. 3, 13.

33. Ἀναπαύω τήν καρδίαν: Συντελῶ στό νά εἰρηνεύσει κάποιος, νά γαληνεύσει, τόν ξεκουράζω ψυχικά.

εἶπε ὁ Γέροντας: «Γιά παράδειγμα τοῦ τό 'κανα· ὅτι δηλαδή ἐάν κανείς δέν δουλέψει, δέν παίρνει μισθό ἀπό τόν Θεό»[31].

28. Εἶπε ὁ ἀββᾶς Ἠσαΐας ὁ ἱερέας: «Κάποιος ἀπό τούς πατέρες ἔλεγε πώς ὁ ἄνθρωπος ὀφείλει, πάνω ἀπ' ὅλα, νά ἀποκτήσει πίστη στόν Θεό καί ν' ἀναζητεῖ συνεχῶς καί μέ πόθο τόν Θεό.

Νά ἐπιδιώκει τήν ἀκακία καί νά μήν ἀνταποδίδει κακό στό κακό· νά ἐπιδιώκει ἐπίσης τήν κακοπάθεια, τήν ταπεινοφροσύνη, τήν ἁγνότητα, τή φιλανθρωπία καί τήν ἀγάπη σ' ὅλους. Τήν ὑποταγή καί τήν πραότητα, τή μακροθυμία καί τήν ὑπομονή, τήν ἐπιθυμία γιά τόν Θεό· καί νά παρακαλεῖ συνεχῶς τόν Θεό μέ πόνο καρδιᾶς καί ἀληθινή ἀγάπη γιά νά μήν κοιτάξει ποτέ πρός τά πίσω, ἀλλά νά ἔχει στραμμένη τήν προσοχή του σ' αὐτά πού ἀκολουθοῦν[32]. Νά μήν ἔχει πεποίθηση στά καλά του ἔργα, δηλαδή στή διακονία του, καί νά ζητάει ἀπό τόν Θεό ἀδιάκοπα τή βοήθεια γιά ὅ,τι φέρνει ἡ κάθε μέρα».

29. Κάποιος ἀδελφός ζήτησε ἀπό τόν ἀββᾶ Ἠσαΐα νά τοῦ πεῖ ἕνα λόγο. Καί ὁ Γέροντας τοῦ λέει: «Ἐάν θέλεις νά συνεχίσεις νά ἀκολουθεῖς τόν Κύριό μας Ἰησοῦ, κάνε πράξη τόν λόγο του. Καί ἐάν θέλεις ὁ παλαιός σου ἄνθρωπος νά κρεμασθεῖ μαζί του πάνω στόν σταυρό, ὀφείλεις αὐτούς πού θά θελήσουν νά σέ κατεβάσουν ἀπ' τόν σταυρό, νά τούς ξεκόψεις ἀπό κοντά σου, ἕως ὅτου πεθάνεις.

Ὀφείλεις ἀκόμη νά ἑτοιμάσεις τόν ἑαυτό σου γιά νά ὑπομένει τήν καταφρόνια, γιά νά ἀναπαύεις τήν καρδιά[33] αὐτῶν πού σέ κακομεταχειρίζονται, νά ταπεινώνεις τόν ἑαυτό σου σ' αὐτούς πού θέλουν νά σέ καταπιέζουν· νά κρατᾶς σιωπηλό τό στόμα σου καί νά μήν κρίνεις κανένα μέσα στήν καρδιά σου».

30. Εἶπε πάλιν ὅτι· Ὁ κόπος ὁ σωματικὸς καὶ ἡ πτωχεία καὶ ἡ ξενιτεία καὶ τὸ ἀνδρίζεσθαι καὶ ἡ σιωπή, τίκτουσι τὴν ταπεινοφροσύνην. Καὶ ἡ ταπεινοφροσύνη ἀφίησι πολλὰς ἁμαρτίας. Τοῦ δὲ μὴ φυλάσσοντος ταῦτα ματαία ἡ ἀποταγή.

31. Εἶπε πάλιν· Μίσησον πάντα τὰ ἐν τῷ κόσμῳ καὶ τὴν ἀνάπαυσιν τοῦ σώματος, ὅτι ταῦτά σε ἐποίησαν ἐχθρὸν τοῦ Θεοῦ· ὥσπερ γὰρ ἄνθρωπος ἐχθρὸν ἔχων πολεμεῖ μετ' αὐτοῦ, οὕτως ὀφείλομεν καὶ τῷ σώματι πολεμῆσαι εἰς τὸ μὴ ἀναπαῦσαι αὐτό.

32. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ἠσαΐαν περὶ τοῦ λόγου τῆς προσευχῆς τοῦ Εὐαγγελίου· Τί ἐστι τό· Ἁγιασθήτω τὸ ὄνομά σου; Καὶ ἀποκριθεὶς εἶπε· Τοῦτο τῶν τελείων ἐστίν· ἀδύνατον γάρ ἐστιν ἁγιασθῆναι τὸ ὄνομα τοῦ Θεοῦ ἐν ἡμῖν κατακυριευομένων ὑπὸ τῶν παθῶν.

33. Διηγήσατο ἡμῖν ὁ ἀββᾶς Ἠσαΐας ὅτι καθεζομένου ποτὲ πλησίον τοῦ ἀββᾶ Μακαρίου ἦλθον ἑπτὰ ἀδελφοὶ ἀπὸ Ἀλεξανδρείας πειράζοντες αὐτὸν καί φασιν· Εἰπὲ ἡμῖν, πάτερ, πῶς σωθῶμεν; Λαβὼν δὲ ἐγὼ πτύχιον καθεσθεὶς κατ' ἰδίαν, ἔγραφον τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων αὐτῶν. Ὁ

34. Βλ. ὑποσημ. 7 σελ. 38.

35. Ὁ ὅρος ἀποταγή σημαίνει τήν ὁριστική ἐγκατάλειψη καί ἀπομάκρυνση, τροπική καί τοπική, ἀπό τόν κόσμο καί τά τοῦ κόσμου χάριν τῆς ἀγάπης τοῦ Θεοῦ.

36. Ὁ ὅρος σωματική ἤ σαρκική ἀνάπαυση πού μᾶς καθιστᾶ ἐχθρούς πρός τόν Θεό, δέν σημαίνει τήν ἱκανοποίηση ἁμαρτωλῶν μόνο ἐπιθυμιῶν,

30. Εἶπε ἐπίσης: «Ὁ κόπος ὁ σωματικός, ἡ πτωχεία, ἡ ξενιτεία[34], ἡ ψυχική γενναιότητα καί ἡ σιωπή γεννοῦν τήν ταπεινοφροσύνη. Καί ἡ ταπεινοφροσύνη προλαμβάνει πολλά σφάλματα. Ἀλλιῶς ἡ ἀποταγή[35] αὐτοῦ πού δέν τά τηρεῖ αὐτά, εἶναι μάταιη».

31. Εἶπε ἀκόμη: «Μίσησε ὅλα τά τοῦ κόσμου καί τή σωματική ἀνάπαυση[36], γιατί αὐτά σέ ἔκαναν ἐχθρό μέ τόν Θεό. Ὅπως ἀκριβῶς ἕνας ἄνθρωπος πού ἔχει κάποιον ἐχθρό, μάχεται ἐναντίον του, ἔτσι ὀφείλουμε κι ἐμεῖς νά πολεμοῦμε ἐναντίον τῶν ἀδυναμιῶν τοῦ σώματος γιά νά μήν τό ἀφήσουμε στό βόλεμά του».

32. Ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Ἠσαΐα γιά τή φράση τῆς προσευχῆς πού ὑπάρχει στό Εὐαγγέλιο: «Τί σημαίνει τό: Ἁγιασθήτω τό ὄνομά σου[37];» Κι ἐκεῖνος ἀποκρίθηκε: «Αὐτό ἀφορᾶ τούς τελείους. Εἶναι ἀδύνατο νά ἁγιασθεῖ τό ὄνομα τοῦ Θεοῦ ἀπό ἐμᾶς, ἐφόσον μᾶς ἐξουσιάζουν τά πάθη».

33. Μᾶς διηγήθηκε ὁ ἀββᾶς Ἠσαΐας ὅτι, ὅταν κάποτε ἀσκήτευε κοντά στόν ἀββᾶ Μακάριο, πῆγαν ἑπτά ἀδελφοί ἀπό τήν Ἀλεξάνδρεια μέ διάθεση νά τόν δοκιμάσουν καί τοῦ εἶπαν: «Πές μας, πάτερ, πῶς θά σωθοῦμε;» Κι ἐγώ (λέει ὁ ἀββᾶς Ἠσαΐας) πῆρα ἕνα διπλωμένο δελτάριο, κάθησα παράμερα κι ἔγραφα ὅσα ἔβγαιναν ἀπ' τά χείλη τους. Ὁ Γέ-

πού αὐτοδικαίως ἀπορρίπτονται. Ἀναφέρεται καί στίς ἐπιθυμίες πού καθαυτές δέν εἶναι ἁμαρτωλές, ὅταν κινοῦνται στά ὅρια τῆς θεραπείας τῶν σωματικῶν ἀναγκῶν (π.χ. τό φαγητό, τό ποτό, ὁ ὕπνος κλπ.). Ἐάν ὅμως ὑπερβοῦν τό ὅριο αὐτό καί στόχος τους γίνει ἡ ἀπόλαυση, ἡ ἡδονή, αὐτό ἀποτελεῖ τή σωματική ἀνάπαυση (βλ. Ρωμ. 8, 5-8· Γαλ. 5, 16-17).

37. Ματθ. 6, 9.

δὲ Γέρων στενάξας καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ τὸ πεφωτισμένον εἶπεν· Ὦ ἀδελφοί, ἕκαστος ὑμῶν οἶδε πῶς σῴζεται, ἀλλ᾽ οὐ θέλομεν σωθῆναι. Οἱ δὲ εἶπον πρὸς αὐτόν· Πολλὰ θέλομεν σωθῆναι, ἀλλ᾽ οὐκ ἐῶσιν ἡμᾶς οἱ πονηροὶ λογισμοί. Τί ποιήσωμεν;

Ὁ δὲ Γέρων εἶπεν· Εἰ μοναχοί ἐστε, διὰ τί γυρεύετε μετὰ τῶν κοσμικῶν ἢ πλησιάζετε ὅπου μένει κοσμικός; Οἱ ἀποταξάμενοι τῷ κόσμῳ καὶ φορέσαντες τὸ ἅγιον σχῆμα καί εἰσιν ἀναμέσον κοσμικῶν, ἑαυτοὺς φρεναπατῶσιν οἱ τοιοῦτοι. Εἰς μάτην ὁ κόπος αὐτῶν. Τί γὰρ κερδίσουσιν ἐκ τῶν κοσμικῶν, εἰ μὴ σαρκικὴν ἀνάπαυσιν; Ὅπου δέ ἐστι σαρκικὴ ἀνάπαυσις, ἐκεῖ οὐ δύναται φόβος Θεοῦ οἰκῆσαι, μάλιστα δὲ ἐν μοναχῷ.

Διὰ τί μοναχός; Ὅτι μόνος πρὸς τὸν Θεὸν νύκτα καὶ ἡμέραν ὁμιλεῖ. Ὁ δὲ μοναχὸς ὁ μετὰ κοσμικῶν ποιῶν πλεῖον ἡμέρας, ἤτοι γε τὸ πλεῖστον δύο διὰ τὸ μὴ δύνασθαι ζῆν ἄνευ τῆς χρείας αὐτοῦ, διὰ τὸ ἐργόχειρον αὐτοῦ πωλῆσαι καὶ ἐπάραι τὰς χρείας αὐτοῦ, καὶ ὑποστρέψας καὶ μετανοήσας γνησίως διὰ τὰς δύο ἡμέρας, ἃς ἐποίησεν ἐν τῇ πόλει πωλῶν τὸ ἐργόχειρον αὐτοῦ, οὐδὲν ὠφελήθη.

Μοναχὸς ὁ μετὰ κοσμικῶν διατρίβων ταύτας τὰς ἀρετὰς κερδαίνει. Πρὸ πάντων ὅτε εἰσέλθῃ ἡ ἀρχὴ αὐτοῦ, ὑπάρχει οὕτως· ἐγκρατὴς γλώσσης καὶ νηστεύων καὶ ταπεινῶν ἑαυτόν, ἕως οὗ γνωρισθῇ καὶ ἐκβῇ ἡ φήμη αὐτοῦ ὅτι ὁ δεῖνα ὁ μοναχὸς δοῦλος τοῦ Θεοῦ ὑπάρχει. Καὶ εὐθέως ὑποβάλλει ὁ Σατανᾶς τοὺς κοσμικοὺς φέρειν αὐτῷ ἅπασαν χρείαν, ἀπό τε οἴνου καὶ ἐλαίου καὶ χρυσίου καὶ παντὸς εἴδους καὶ λέγοντες· Ὁ ἅγιος, ὁ ἅγιος. Καὶ ὡς ἔθος ἐστὶ τῇ

38. Βλ. ὑποσημ. 36 σελ. 56.

ροντας, ἀφοῦ ἀναστέναξε, ἄνοιξε τό στόμα του τό φωτισμένο καί εἶπε: «Ἀδελφοί μου, ὁ καθένας ἀπό σᾶς ξέρει πῶς σώζεται, ἀλλά δέν θέλουμε νά σωθοῦμε». Κι ἐκεῖνοι τοῦ ἀποκρίθηκαν: «Πολύ τό θέλουμε νά σωθοῦμε, ἀλλά δέν μᾶς ἀφήνουν οἱ πονηροί λογισμοί· τί νά κάνουμε;»

Τότε ὁ Γέροντας εἶπε: «Ἄν εἶστε μοναχοί, γιατί τριγυρίζετε μέ κοσμικούς ἤ πλησιάζετε ὅπου μένουν κοσμικοί; Αὐτοί πού ἀπαρνήθηκαν τόν κόσμο καί φόρεσαν τό ἅγιο σχῆμα καί κυκλοφοροῦν ἀνάμεσα σέ κοσμικούς, ἐξαπατοῦν τόν ἑαυτό τους. Πάει χαμένος ὁ κόπος τους. Γιατί τί ἄλλο θά κερδίσουν ἀπ᾽ τούς κοσμικούς, παρά μόνο τή σαρκική ἀνάπαυση[38]; Ἐκεῖ ὅμως πού ὑπάρχει σαρκική ἀνάπαυση, δέν μπορεῖ νά κατοικήσει φόβος Θεοῦ, προπαντός στόν μοναχό.

Γιά ποιόν λόγο ὀνομάζεται μοναχός; Γιατί μόνος μιλάει στόν Θεό νύχτα καί μέρα. Ὁ μοναχός πού περνάει μέ τούς κοσμικούς περισσότερο ἀπό μία ἡμέρα ἤ τό πολύ-πολύ δυό, γιατί δέν μπορεῖ νά ζήσει χωρίς νά ἔχει τά ἀπαραίτητα γιά τή ζωή του καί εἶναι ἀνάγκη νά πουλήσει τό ἐργόχειρό του καί νά ἀποκτήσει αὐτά πού τοῦ χρειάζονται, ὅταν γυρίσει καί μετανοήσει εἰλικρινά γιά τίς δύο ἡμέρες πού πέρασε στήν πόλη, προκειμένου νά πουλήσει τό ἐργόχειρό του, διαπιστώνει ὅτι καθόλου δέν ὠφελήθηκε.

Μοναχός πού περνάει τόν καιρό του μέ κοσμικούς, αὐτές τίς ἀρετές κερδίζει· προπάντων ὅταν πρωτοξεκινάει, παρουσιάζεται κατ᾽ αὐτόν τόν τρόπο: Εἶναι ἐγκρατής στή γλώσσα, νηστεύει καί ταπεινώνει τόν ἑαυτό του, ὥσπου νά γίνει γνωστός καί νά διαδοθεῖ ἡ φήμη του ὅτι ὁ τάδε μοναχός εἶναι δοῦλος τοῦ Θεοῦ. Κι ἀμέσως ὑποκινεῖ ὁ Σατανᾶς τούς κοσμικούς νά τοῦ φέρουν ὅ,τι χρειάζεται καί ἀπό κρασί καί ἀπό λάδι καί χρήματα καί ἀπό κάθε εἶδος λέγοντας "ὁ ἅγιος, ὁ ἅγιος". Καί φουσκώνει ὁ ταπεινός μοναχός,

κενοδοξίᾳ, ἀκούων τὸ ἅγιος, φυσιοῦται ὁ ταπεινὸς μοναχός. Καὶ εὐθέως ἄρχεται καθέζεσθαι μετ' αὐτῶν, ἐσθίων καὶ πίνων καὶ ἀναπαυόμενος. Ἔπειτα δὲ ἀνιστάμενος ἐν τῇ ψαλμῳδίᾳ ὑψοῖ τὴν φωνὴν αὐτοῦ, ἕως οὗ εἴπωσιν οἱ κοσμικοὶ ὅτι ὁ δεῖνα ὁ μοναχὸς ψάλλει καὶ ἀγρυπνεῖ, ἕως οὗ ἐπαινέσωσιν αὐτόν. Καὶ πάλιν κενοδοξῶν ἐπαίρεται καὶ ὑψοῦται. Καὶ εὐθέως ἀπέρχεται ἡ ταπείνωσις ἐξ αὐτοῦ. Καὶ ἐάν τις εἴπῃ αὐτῷ λόγον τραχύν, ἀποκρίνεται αὐτῷ χεῖρον.

Ἔπειτα δὲ θεωρῶν τοὺς κοσμικοὺς τοξεύει αὐτὸν ὁ διάβολος εἰς γυναῖκας καὶ παιδία καὶ μέριμναν τοῦ βίου καὶ ὀχλεῖται, καθὼς καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν τῷ Εὐαγγελίῳ εἴρηκεν ὅτι· Πᾶς ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτήν, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. Εἰ δὲ καὶ μύθους λογιζόμεθα ταῦτα, ἀκούσωμεν τοῦ Κυρίου λέγοντος· Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν.

Ἔπειτα ἐπιχειρεῖ τὰς χρείας τοῦ ἐνιαυτοῦ· εἶθ' οὕτως διπλασιάζει καὶ ἐπιχειρεῖ σωρεύειν καὶ ἄσημον, ἕως οὗ ἐγχαλάσωσιν αὐτὸν οἱ δαίμονες εἰς τὴν ῥίζαν τῆς φιλαργυρίας. Κἂν τις φέρῃ αὐτῷ μικρόν, ἀποστρέφει αὐτὸ λέγων· Οὐ δέχομαι αὐτό, οὐ γὰρ λαμβάνω τίποτε. Εἶτα ἐάν τις φέρῃ αὐτῷ χρυσίον ἢ ἄσημον ἢ ἱματισμὸν ἤ τι ἀρέσκον αὐτῷ, εὐθέως μετὰ χαρᾶς δέχεται. Καὶ τίθησιν τράπεζαν καὶ ἄρχεται ἐσθίειν. Καὶ ὁ πτωχός, μᾶλλον δὲ ὁ Χριστός, ἔξω τῆς θύρας κρούει καὶ οὐδεὶς ὁ συνιών, οὐδεὶς ὁ ἀκροώμενος. Πρὸς τούτοις εἴρηκεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὅτι· Εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν ἢ πλούσιον εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν. Ἀλλ' ἴσως λέγομεν ὅτι·

39. Ματθ. 5, 28.
40. Ματθ. 24, 35.
41. Ἀποκ. 3, 20.
42. Λουκ. 18, 25.

ἀκούοντας τό "ἅγιος", ὅπως εἶναι φυσικό στήν κενοδοξία· ὁπότε ἀμέσως ἀρχίζει νά τούς συναναστρέφεται τρώγοντας, πίνοντας καί ἀπολαμβάνοντας. Κατόπιν, ὅταν σηκώνεται νά ψάλλει, ὑψώνει τή φωνή του, ἕως ὅτου ποῦν οἱ κοσμικοί ὅτι ὁ τάδε μοναχός ψάλλει καί ἀγρυπνεῖ· ἕως ὅτου δηλαδή τόν ἐπαινέσουν. Καί πάλι φουσκώνει καί ὑπερηφανεύεται ἀπό κενοδοξία καί τότε φεύγει ἀμέσως ἡ ταπείνωση ἀπ' αὐτόν. Καί ἐάν κάποιος τοῦ πεῖ σκληρό λόγο, τοῦ ἀποκρίνεται μέ χειρότερο τρόπο.

Στή συνέχεια καθώς βλέπει τούς κοσμικούς, τοῦ ρίχνει σαϊτιές ὁ διάβολος γιά τίς γυναῖκες, τά παιδιά καί γιά τά βιοτικά πράγματα καί ἀρχίζει νά ἐνοχλεῖται, ὅπως εἶπε καί ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός στό Εὐαγγέλιο ὅτι: "Ὁ καθένας πού θά δεῖ γυναίκα μέ πονηρή ἐπιθυμία, ἔχει κιόλας διαπράξει μέσα του μοιχεία μ' αὐτήν"[39]. Ἄν πάλι τά θεωροῦμε αὐτά παραμύθια, ἄς ἀκούσουμε τόν Κύριο πού λέει: "Ὁ οὐρανός καί ἡ γῆ, ὁ σημερινός κόσμος, θά πάψει νά ὑπάρχει, τά λόγια μου ὅμως ποτέ!"[40]

Κατόπιν ἀρχίζει νά φροντίζει γιά τίς ἀνάγκες τῆς χρονιᾶς· καί μέ τόν τρόπο αὐτό διπλασιάζει τή δραστηριότητα καί προσπαθεῖ νά συγκεντρώσει καί χρήματα, ἕως ὅτου τόν χαλαρώσουν οἱ δαίμονες στή ρίζα τῆς φιλαργυρίας. Καί ἄν τοῦ φέρει κάποιος κάτι μικρό, τό ἐπιστρέφει λέγοντας: "Δέν τό δέχομαι, δέν παίρνω τίποτε ἐγώ". Ἐνῶ, ἄν τοῦ φέρει κάποιος χρυσαφικό ἤ ἀσημικό ἤ ρουχισμό ἤ κάτι πού νά τοῦ ἀρέσει, ἀμέσως τό δέχεται εὐχαρίστως· καί στρώνει τραπέζι καί ἀρχίζουν νά τρῶνε. Κι ὁ φτωχός, καλύτερα ὁ Χριστός, χτυπάει ἔξω ἀπό τήν πόρτα καί κανένας δέν καταλαβαίνει, κανένας δέν τόν ἀκούει[41]. Πάνω σ' αὐτά ἔχει πεῖ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός ὅτι "εἶναι εὐκολότερο νά περάσει καμήλα ἀπ' τήν τρύπα τοῦ βελονιοῦ, παρά νά μπεῖ πλούσιος στή Βασιλεία τῶν Οὐρανῶν"[42]. Ἀλλά

Οὐκ ἀδικῶ τινα, ἐκ τοῦ ἐργοχείρου μου καὶ ἐξ ὧν πέμπει ὁ Θεὸς ἔχω.

Εἴπατέ μοι, πατέρες· οἱ ἄγγελοι ἐν τοῖς οὐρανοῖς χρυσίον ἢ ἄργυρον σωρεύουσιν ἢ δόξαν Θεοῦ; Καὶ ἡμεῖς, ἀδελφοί, διὰ τί ἐλάβομεν τὸ σχῆμα; Ἵνα χρήματα σωρεύωμεν καὶ ὕλας ἢ ἵνα γενώμεθα ἄγγελοι; Ἢ ἀγνοεῖτε ὅτι τὸ τάγμα τὸ πεσὸν ἐκ τῶν οὐρανῶν ἐκ τῶν μοναχῶν τελειοῦται; Λοιπόν, ἀδελφοί, διὰ τί ἀπεταξάμεθα τῷ κόσμῳ; Καὶ εἰ ἀπεταξάμεθα τῷ κόσμῳ, διὰ τί πάλιν χαυνωθέντες ἐστράφημεν ἐκ τῆς ὁδοῦ τῆς ταπεινώσεως; Ἢ οὐκ οἴδατε ὅτι οἶνος καὶ γυναῖκες καὶ χρυσίον καὶ σαρκικὴ ἀνάπαυσις καὶ τὸ πελάζεσθαι ἀναμέσον κοσμικῶν, ταῦτα πάντα χωρίζουσιν ἡμᾶς ἀπὸ Θεοῦ; Ῥίζα γὰρ πάντων τῶν κακῶν ἡ φιλαργυρία. Ὅσον ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, τοσοῦτον ἀπέχει φιλάργυρος μοναχὸς ἀπὸ τῆς δόξης τοῦ Θεοῦ. Ἔτι γε μὴν οὐκ ἔστι κακία ὑπὲρ κακίαν φιλαργύρου μοναχοῦ.

Μοναχὸς συντυγχάνων ὁμιλίαις κοσμικαῖς, ὁ τοιοῦτος εὐχὰς χρῄζει πολλὰς ἁγίων πατέρων. Ἢ οὐκ ἀκούομεν τοῦ μακαρίου Ἰωάννου λέγοντος· Μὴ ἀγαπᾶτε τὸν κόσμον, μηδὲ τὰ ἐν τῷ κόσμῳ. Ἐάν τις ἀγαπᾷ τὸν κόσμον, οὐκ ἔστιν ἡ ἀγάπη τοῦ Θεοῦ ἐν αὐτῷ. Ἰάκωβος δὲ πάλιν ὁμοίως· Εἴ τις δοκεῖ φίλος εἶναι τοῦ κόσμου, ἐχθρὸς τοῦ Θεοῦ καθίσταται. Φύγωμεν ἡμεῖς, ἀδελφοί, ἀπὸ τοῦ κόσμου, ὥσπερ φεύγει τις ἀπὸ ὄφεως. Ὁ γὰρ ὄφις ὅπου δ' ἂν κρούσῃ, μόλις ὑγιαίνει. Οὕτως καὶ ἡμεῖς, ἐὰν θέλωμεν γενέσθαι μοναχοί, φύγωμεν ἐκ τοῦ κόσμου. Συμφέρον ἐστίν, ἀδελφοί μου, ἕνα πόλεμον ἔχειν καὶ μὴ πολλοὺς καὶ ἀναριθμήτους.

---

43. Α΄ Ἰω. 2, 15. 44. Ἰακ. 4, 4.

ἴσως λέμε: "Δέν ἀδικῶ κάποιον· καί ὅσα ἔχω τά ἀπέκτησα ἀπ' τό ἐργόχειρό μου καί ἀπ' αὐτά πού δίνει ὁ Θεός".

Γιά πεῖτε μου, πατέρες, οἱ ἄγγελοι στούς οὐρανούς χρυσάφι καί ἀσήμι συγκεντρώνουν ἤ ἀπολαμβάνουν τή δόξα τοῦ Θεοῦ; Κι ἐμεῖς, ἀδελφοί, γιά ποιόν λόγο πήραμε τό σχῆμα; Γιά νά μαζεύουμε χρήματα καί ὑλικά ἀγαθά ἤ γιά νά γίνουμε ἄγγελοι; Ἤ μήπως σᾶς διαφεύγει ὅτι τό τάγμα τοῦ Ἑωσφόρου πού ξέπεσε ἀπ' τούς οὐρανούς ἀναπληρώνεται ἀπό τούς μοναχούς; Λοιπόν, ἀδελφοί, γιατί ἀπαρνηθήκαμε τόν κόσμο; Καί ἄν ἀπαρνηθήκαμε τόν κόσμο, γιατί πάλι χαλαρώσαμε καί ξεφύγαμε ἀπ' τό δρόμο τῆς ταπείνωσης; Ἤ δέν γνωρίζετε πώς τό κρασί καί οἱ γυναῖκες καί τό χρυσάφι καί ἡ ἀνάπαυση τῆς σάρκας καί ἡ συναναστροφή μέ τούς κοσμικούς, ὅλα αὐτά μᾶς χωρίζουν ἀπ' τόν Θεό; Καί ρίζα ὅλων τῶν κακῶν εἶναι ἡ φιλαργυρία. Ὅσο ἀπέχει ὁ οὐρανός ἀπό τή γῆ, τόσο πολύ ἀπέχει καί ὁ φιλάργυρος μοναχός ἀπό τή δόξα τοῦ Θεοῦ. Ἐπιπλέον βέβαια δέν ὑπάρχει μεγαλύτερο κακό ἀπ' τό ἐλάττωμα τοῦ φιλάργυρου μοναχοῦ.

Ὁ μοναχός πού ἔχει κοσμικές συναναστροφές, χρειάζεται πολλές εὐχές ἁγίων πατέρων. Ἤ δέν ἀκοῦμε τόν μακάριο Εὐαγγελιστή Ἰωάννη πού λέει: "Μήν ἀγαπᾶτε τόν κόσμο οὔτε αὐτά πού βρίσκονται στόν κόσμο. Ἄν κάποιος ἀγαπᾶ τόν κόσμο, δέν ὑπάρχει ἡ ἀγάπη τοῦ Θεοῦ σ' αὐτόν"[43]. Κι ὁ Ἰάκωβος πάλι τό ἴδιο λέγει: "Ἄν κάποιος θέλει νά εἶναι φίλος τοῦ κόσμου, γίνεται ἐχθρός τοῦ Θεοῦ"[44]. Ἄς ἀπομακρυνθοῦμε λοιπόν, ἀδελφοί, ἀπό τόν κόσμο, ὅπως ἀκριβῶς ἀπομακρύνεται κανείς ἀπό τό φίδι. Γιατί τό φίδι ὅποιον τσιμπήσει, μόλις πού γλυτώνει. Ἔτσι κι ἐμεῖς ἄν θέλουμε νά γίνουμε μοναχοί, ἄς ἀπομακρυνθοῦμε ἀπ' τόν κόσμο. Εἶναι συμφέρον, ἀδελφοί μου, ἕναν πόλεμο νά ἔχουμε κι ὄχι πολλούς καί ἀναρίθμητους.

Εἴπατέ μοι, πατέρες καὶ ἀδελφοί· οἱ πατέρες ἡμῶν ποῦ ἐκτήσαντο τὰς ἀρετάς, εἰς τὸν κόσμον ἢ εἰς τὴν ἔρημον; Λοιπὸν ἡμεῖς πῶς δυνάμεθα κτήσασθαι ἀρετὴν ἐν τῷ κόσμῳ ὄντες; Ἐὰν μὴ πεινάσωμεν, ἐὰν μὴ διψήσωμεν, ἐὰν μὴ ῥιγώσωμεν, ἐὰν μὴ μετὰ θηρίων οἰκήσωμεν καὶ τῷ σώματι ἀποθάνωμεν, πῶς ζήσωμεν τῇ ψυχῇ; Πῶς βουλόμεθα τὴν τῶν Οὐρανῶν Βασιλείαν κληρονομῆσαι, ἀναμέσον τῶν κοσμικῶν ὑπάρχοντες; Ἐμβλέψωμεν εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν· ὅτι ἐὰν μὴ πολεμήσῃ ὁ στρατιώτης καὶ νικήσῃ καὶ μετὰ ταῦτα δώσῃ χρήματα, οὐκ ἐπαίρει τὴν ἀξίαν. Πόσῳ μᾶλλον ἡμεῖς τρώγοντες καὶ πίνοντες καὶ ἀναμέσον τῶν κοσμικῶν ὄντες βουλόμεθα κληρονομῆσαι τὴν τῶν Οὐρανῶν Βασιλείαν!

Μὴ ὑποβάλλῃ ἡμῖν ὁ διάβολος λογισμοὺς πονηροὺς λέγων οὕτως ὅτι· Σωρεύω, ἵνα ποιῶ καὶ μισθόν. Ὅτι ὁ μὴ θέλων ἀπὸ κόδρας ποιῆσαι ἔλεος οὐδὲ ἀπὸ χιλίων δηναρίων. Μή, ἀδελφοί μου· ταῦτα κοσμικῶν εἰσιν. Οὐ θέλει ὁ Θεὸς ἡμᾶς τοὺς μοναχοὺς ἔχειν χρυσίον ἢ ἄργυρον καὶ ἱματισμὸν καὶ ὕλας. Ὁ Κύριος ἐνετείλατο λέγων· Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ ὅτι οὐ σπείρουσιν οὐδὲ θερίζουσιν οὐδὲ συνάγουσιν εἰς ἀποθήκας. Καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά. Μοναχὸς ὁ ἔχων χρυσίον ἢ ἀργύριον ἢ ὕλας οὐ πιστεύει ὅτι ὁ Θεὸς δύναται θρέψαι αὐτόν. Εἰ ἄρτον οὐ δύναται παρασχεῖν ἡμῖν, οὐδὲ τὴν Βασιλείαν αὐτοῦ δύναται δοῦναι ἡμῖν.

Τοῦτο δὲ γινώσκω, ὅτι, ὅτε ἔχω πρᾶγμα καὶ φέρει μοι ἄλλος ἐξ αὐτοῦ καὶ μάλιστα κοσμικός, ἐκεῖνο ἐξ ἐνεργείας

45. Πρβλ. Α' Κορ. 4, 11. 46. Πρβλ. Ρωμ. 8, 13.

47. Κόδρα-άντης: (Λατ. quadrans = 1/4 τοῦ ἀσσαρίου: Ματθ. 5, 26). Τό μικρότερο ὀρειχάλκινο ρωμαϊκό νόμισμα. Συχνά χρησιμοποιοῦνταν μέ τήν ἔννοια τοῦ ἀσήμαντου ποσοῦ, ὅπως λέμε: μιά πεντάρα, μιά δεκάρα.

Πεῖτε μου, πατέρες καί ἀδελφοί, οἱ πατέρες μας ποῦ ἀπέκτησαν τίς ἀρετές; Στόν κόσμο ἤ στήν ἔρημο; Καί πῶς μποροῦμε λοιπόν ἐμεῖς ν' ἀποκτήσουμε ἀρετές μένοντας στόν κόσμο; Ἄν δέν πεινάσουμε, ἄν δέν διψάσουμε, ἄν δέν κρυώσουμε[45], ἄν δέν συγκατοικήσουμε μέ τά θηρία καί ἄν δέν πεθάνουμε ὡς πρός τή σάρκα, πῶς θά ζήσουμε ὡς πρός τήν ψυχή[46]; Καί πῶς θέλουμε νά κληρονομήσουμε τή Βασιλεία τῶν Οὐρανῶν ζώντας ἀνάμεσα στούς κοσμικούς; Ἄς ἔχουμε στραμμένο τό βλέμμα μας στή Βασιλεία τῶν Οὐρανῶν· γιατί ὁ στρατιώτης, ἄν δέν πολεμήσει καί δέν νικήσει καί μάλιστα ἄν δέν δώσει καί χρήματα, δέν κερδίζει τήν τιμητική θέση. Πόσο μᾶλλον ἐμεῖς πού θέλουμε νά κληρονομήσουμε τή Βασιλεία τῶν Οὐρανῶν τρώγοντας καί πίνοντας καί περνώντας τίς ὧρες μας μέ τούς κοσμικούς!

Ἄς μή μᾶς ψιθυρίζει ὁ διάβολος πονηρούς λογισμούς λέγοντάς μας: "Μαζεύω, γιά νά κάνω ἐλεημοσύνη". Γιατί ἐκεῖνος πού δέν θέλει νά κάνει ἐλεημοσύνη μέ τόν κοδράντη[47], οὔτε μέ τά χίλια δηνάρια[48] θά κάνει. Μή, ἀδελφοί μου! Αὐτά τά κάνουν οἱ κοσμικοί. Δέν θέλει ὁ Θεός νά ἔχουμε ἐμεῖς οἱ μοναχοί χρυσάφι ἤ ἀσήμι καί ροῦχα καί ἄλλα ὑλικά ἀγαθά. Ὁ Κύριος ἔδωσε ἐντολή λέγοντας: "Ρίξτε τό βλέμμα σας στά πετεινά τοῦ οὐρανοῦ, διότι δέν σπέρνουν οὔτε θερίζουν οὔτε συγκεντρώνουν σέ ἀποθῆκες. Κι ὅμως ὁ Πατέρας ὁ οὐράνιος τά τρέφει"[49]. Μοναχός πού ἔχει χρυσάφι ἤ ἀσήμι ἤ ἄλλα ὑλικά ἀγαθά δέν πιστεύει ὅτι ὁ Θεός μπορεῖ νά τόν θρέψει. Καί, ἄν δέν μπορεῖ νά μᾶς δώσει ψωμί, οὔτε τή Βασιλεία του μπορεῖ νά μᾶς δώσει.

Γνωρίζω τούτη τήν ἀλήθεια, ὅτι δηλαδή, ὅταν ἔχω κάποιο πρᾶγμα καί μοῦ φέρει κάποιος ἄλλος ἀπ' αὐτό τό

48. Ἀργυρό ρωμαϊκό νόμισμα.

49. Ματθ. 6, 26.

τοῦ διαβόλου ὑπάρχει. Ἐὰν δὲ μὴ ἔχω καὶ ζητήσω ἅπαξ καὶ δίς, τότε γινώσκων ὁ Θεὸς ὅ,τι χρῄζω, φέρει ὥσπερ τῷ Δανιὴλ ἐν τῷ λάκκῳ τῶν λεόντων. Εἰ δὲ οὐ χρῄζω, ἀλλ᾽ ἔχω χρυσίον καὶ ἄσημον καὶ ὕλας καὶ οὐκ ἐκβάλλω, ἀλλὰ περιμένω ἵνα φέρῃ τις τὴν χρείαν μου, συγκοινωνὸς τότε γίνομαι Ἰούδα τοῦ Ἰσκαριώτου, ὅστις ἀφῆκε τὴν χάριν τὴν δοθεῖσαν αὐτῷ καὶ πρὸς τὴν ἐπιθυμίαν τῆς φιλαργυρίας ἔδραμεν. Ὅθεν ὁ μακάριος Ἀπόστολος τοῦτο γινώσκων, οὐ μόνον ῥίζαν πάντων τῶν κακῶν αὐτὴν εἴρηκεν, ἀλλὰ καὶ εἰδωλολατρίαν αὐτὴν ἐκάλεσεν.

Θεωρήσωμεν τοίνυν πρὸς πόσην κακίαν ἡ νόσος αὕτη τὸν μοναχὸν παρασύρει, ὡς καὶ εἰς εἰδωλολατρίαν ἐμβάλλειν αὐτόν· ἀπέστη γὰρ ὁ φιλάργυρος ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ καὶ εἴδωλα ἀνθρώπων ἐγγεγλυμμένα, ἤγουν τὸ χρυσίον, προσκυνεῖ.

Ὦ φιλαργυρία, ἡ χωρίζουσα τὸν μοναχὸν ἀπὸ τῆς δόξης τοῦ Θεοῦ! Ὦ φιλαργυρία, δεινὴ καὶ πικρά, ἡ χωρίζουσα τὸν μοναχὸν ἀπὸ τοῦ τάγματος τῶν ἀγγέλων! Ὦ φιλαργυρία, ῥίζα πάντων τῶν κακῶν, ἡ ποιοῦσα τὸν μοναχὸν πάντοτε μεριμνᾶν, ἕως οὗ ποιήσῃ τὸν μοναχὸν καταλιπεῖν τὴν ἀρχὴν τῶν οὐρανῶν καὶ κολληθῆναι τοῖς ἄρχουσι τῆς γῆς! Ὦ φιλαργυρία, πάσης κακίας χορηγέ, ἡ ἐξακονοῦσα τὴν γλῶσσαν τοῦ μοναχοῦ εἰς ὕβριν καὶ ὀνειδισμοὺς καὶ ταραχάς, ἕως οὗ ποιήσῃ αὐτὸν κρῖναι δίκας κοσμικῶν! Οὐαὶ ἐκείνῳ τῷ μοναχῷ τῷ διδόντι παρρησίαν τῷ δαίμονι τῆς φιλαργυρίας. Οὐαὶ τῷ μοναχῷ τῷ φιλαργύρῳ, διότι κατέλιπε τὴν ἐντολὴν τοῦ Σωτῆρος τοῦ εἰπόντος· Μὴ κτήσησθε χρυσὸν μήτε ἄργυρον.

---

50. Δαν. 6, 10-22. 51. Α΄ Τιμ. 6, 10.
52. Κολ. 3, 5. 53. Ματθ. 10, 9.

εἶδος καί προπάντων κοσμικός, εἶναι ἀπό ἐνέργεια διαβολική. Ἐάν ὅμως δέν ἔχω καί ζητήσω ἀπ᾽ τόν Θεό μιά καί δύο φορές, τότε ὁ Θεός γνωρίζοντας τί χρειάζομαι, μοῦ τό φέρνει, ὅπως ἀκριβῶς στόν Δανιήλ πού ἦταν στόν λάκκο τῶν λεονταριῶν[50]. Ἐάν ὅμως δέν μοῦ λείπει τίποτε, μάλιστα ἔχω καί χρυσάφι καί ἀσήμι καί ἄλλα ὑλικά ἀγαθά καί δέν τά διαθέτω, ἀλλά περιμένω νά μοῦ φέρει κάποιος τά χρειαζούμενα, τότε ἔχω τή μερίδα τοῦ Ἰούδα τοῦ Ἰσκαριώτη, πού ἄφησε τή χάρη πού τοῦ δόθηκε καί ὑποδουλώθηκε στήν ἐπιθυμία τῆς φιλαργυρίας. Γι᾽ αὐτό ὁ μακάριος Ἀπόστολος γνωρίζοντάς το αὐτό ὄχι μόνο ρίζα ὅλων τῶν κακῶν[51] χαρακτήρισε τή φιλαργυρία ἀλλά καί εἰδωλολατρία[52] τήν ἀποκάλεσε.

Ἄς προσέξουμε λοιπόν σέ πόσο μεγάλη ἠθική συμφορά ἡ ἀρρώστια αὐτή παρασύρει τόν μοναχό, ὥστε καί στήν εἰδωλολατρία ἀκόμη νά τόν ρίχνει. Γιατί ἀπομακρύνεται ὁ φιλάργυρος ἀπ᾽ τήν ἀγάπη τοῦ Θεοῦ καί προσκυνεῖ ἀνάγλυφα εἴδωλα τῶν ἀνθρώπων, δηλαδή τά χρυσά νομίσματα.

Ὦ φιλαργυρία, πού χωρίζεις τόν μοναχό ἀπό τή δόξα τοῦ Θεοῦ! Ὦ φιλαργυρία φοβερή καί πικρή, πού χωρίζεις τόν μοναχό ἀπό τό τάγμα τῶν ἀγγέλων! Ὦ φιλαργυρία, πού εἶσαι ἡ ρίζα ὅλων τῶν κακῶν, πού βάζεις τόν μοναχό σέ παντοτινή μέριμνα, ἕως ὅτου τόν κάνεις νά ἐγκαταλείψει τόν ἄρχοντα τῶν οὐρανῶν καί νά προσκολληθεῖ στούς ἄρχοντες τῆς γῆς. Ὦ φιλαργυρία, πού ἀνοίγεις τόν δρόμο σέ κάθε κακία, πού ἀκονίζεις τή γλώσσα τοῦ μοναχοῦ, ὥστε νά βρίζει καί νά κακολογεῖ καί νά προκαλεῖ ταραχές, ἕως ὅτου καταλήξει σέ δικαστήρια κοσμικῶν. Ἀλίμονο σέ κεῖνον τόν μοναχό πού ἐνθαρρύνει τόν δαίμονα τῆς φιλαργυρίας. Ἀλίμονο στόν μοναχό τόν φιλάργυρο πού περιφρόνησε τήν ἐντολή τοῦ Σωτῆρος πού εἶπε: "Μήν ἀποκτήσετε χρυσό καί ἀσήμι"[53].

Ἀλλὰ πολλάκις ὑποβάλλει αὐτῷ ὁ δαίμων λογισμὸν τοιοῦτον· Ἀνάστα, ποίησον ἀγρυπνίαν καὶ αὔριον κάλεσον ἀδελφοὺς καὶ ποίησον ἀγάπην. Εἶτα ἀπέρχεται ὁ δαίμων πρὸς τοὺς κληθέντας λέγων· Ἄρατε τὰς χρείας ὑμῶν μεθ' ὑμῶν. Τότε λέγει· Τὸν κανόνα οὐ παραλύω· ποιῶ καὶ τρίτην καὶ τὴν ἕκτην καὶ τὴν ἐνάτην, μὴ εἰδὼς ὅτι· Οὐ πᾶς ὁ λέγων μοι Κύριε, Κύριε εἰσελεύσεται εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν. Καὶ τί γὰρ βλάψει μοι τὸ χρυσίον ἢ τὸ ἀργύριον ἢ ἡ ὕλη; Μὴ εἰδὼς ὅτι, ὅπου χρυσὸς καὶ ἄργυρος καὶ ὕλαι, ἐκεῖ παρρησία δαιμόνων καὶ ἀπώλεια ψυχῆς καὶ σώματος, ἐκεῖ οὐαὶ διὰ παντός. Πῶς εἰσελεύσεται κατάνυξις εἰς φιλάργυρον μοναχόν; Ἀφεὶς γὰρ τὸ θέλημα τοῦ ποιήσαντος αὐτὸν καὶ καλοῦντος πρὸς ζωὴν αἰώνιον, τὸ χρυσίον σέβεται καὶ περιπτύσσεται. Πῶς εἰσελεύσεται εἰς τοιοῦτον ἄνδρα κατάνυξις;

Ἀλλὰ καὶ πολλάκις ὑποβάλλει αὐτῷ ὁ διάβολος δάκρυα καὶ στεναγμοὺς καὶ ποιεῖ αὐτὸν τύψαι τὸ στῆθος λέγων αὐτῷ· Ἰδοὺ ἔδωκέ σοι ὁ Θεὸς χρυσίον καὶ ἀργύριον καὶ κατάνυξιν, ἵνα ὅλως μὴ ἐκβάλῃ τὴν ῥίζαν τῆς φιλαργυρίας ἐξ αὐτοῦ.

Ὦ ἀδελφοί μου ἀγαπητοί, πῶς ἡμεῖς οἱ μοναχοὶ ἔχομεν χρυσίον καὶ ἀργύριον καὶ ἱματισμοὺς καὶ ὕλας καὶ ἀκμὴν οὐ παυόμεθα τοῦ σωρεύειν; Καὶ ὁ πτωχός, μᾶλλον δὲ ὁ Χριστός, ἀσθενῶν καὶ πεινῶν καὶ ῥιγῶν καὶ διψῶν, καὶ οὐδὲν τοιοῦτον εἰργάσασθε εἰς αὐτόν;

Τί ἀπολογησόμεθα ὑπὸ τοῦ σχήματος, ἀδελφοί, τῷ Δεσπότῃ Χριστῷ, ὅτι ἀποταξάμενοι τῷ κόσμῳ πάλιν εἰς αὐτὸν γυρεύομεν; Καὶ κλονούμεθα ἀπὸ τοῦ σχήματος, ὅτι ἀγγελικὸν ὑπάρχει. Καὶ ἐποιήσαμεν αὐτὸ βιωτικὸν ὑπὲρ τοῦ χρυσίου, ὅτι εἶχον καὶ οὐκ ἐδίδουν· εἰ δὲ καὶ πολλάκις ἐδί-

54. Ματθ. 7, 21 55. Πρβλ. Ματθ. 25, 42-43.

Ἀκόμη πολλές φορές τοῦ ὑποβάλλει ὁ δαίμονας λογισμό σάν κι αὐτόν: "Σήκω, ἀγρύπνησε καί αὔριο κάλεσε τούς ἀδελφούς καί κάνε τους τραπέζι". Μετά πάει ὁ δαίμονας στούς καλεσμένους καί τούς λέει: "Πάρτε μαζί σας ὅ,τι θά σᾶς χρειαστεῖ". Τότε λέει ὁ ἀδελφός: "Τόν κανόνα μου δέν τόν καταργῶ. Κάνω καί τρίτη καί τήν ἕκτη, καί τήν ἐνάτη" ἀγνοώντας τόν λόγο τοῦ Κυρίου ὅτι "δέν θά μπεῖ στή Βασιλεία τῶν Οὐρανῶν ὅποιος μοῦ λέει: Κύριε, Κύριε"[54]. "Καί σέ τί θά μέ βλάψει —συλλογίζεται— τό χρυσάφι ἤ τό ἀσήμι ἤ τά ὑλικά ἀγαθά;" Σάν νά μή γνωρίζει ὅτι, ὅπου ὑπάρχει χρυσάφι καί ἀσήμι καί ὑλικά ἀγαθά, ἐκεῖ ξεθαρρεύουν οἱ δαίμονες καί ἀκολουθεῖ ἡ καταστροφή τῆς ψυχῆς καί τοῦ σώματος, ἐκεῖ "ἀλίμονο" μιά γιά πάντα. Πῶς θά μπεῖ ἡ κατάνυξη στόν φιλάργυρο μοναχό, ἐφόσον περιφρόνησε τό θέλημα τοῦ Πλάστη του, πού τόν καλεῖ γιά τήν αἰώνια ζωή, καί λατρεύει καί ἀγκαλιάζει τό χρυσάφι; Πῶς θά μπεῖ κατάνυξη σ' ἕναν τέτοιο ἄνθρωπο;

Ἀλλά καί πολλές φορές τοῦ προκαλεῖ ὁ διάβολος δάκρυα καί στεναγμούς καί τόν κάνει νά χτυπᾶ τό στῆθος του λέγοντάς του: "Νά, σοῦ ἔδωσε ὁ Θεός χρυσάφι καί ἀσήμι καί κατάνυξη", γιά νά μήν πετάξει ποτέ ἀπό μέσα του τή ρίζα τῆς φιλαργυρίας.

Ἀγαπητοί μου ἀδελφοί, πῶς ἐμεῖς οἱ μοναχοί ἔχουμε χρυσάφι καί ἀσήμι καί ροῦχα καί ἄλλα ὑλικά ἀγαθά καί ἀκόμη δέν παύουμε νά μαζεύουμε; Καί ὁ φτωχός, καλύτερα ὁ Χριστός, εἶναι ἄρρωστος καί πεινάει καί κρυώνει καί διψάει· κι ὅμως τίποτε τέτοιο δέν κάνατε γι' αὐτόν[55].

Τί θά ἀπολογηθοῦμε, ἀδελφοί, στόν Δεσπότη Χριστό σάν μοναχοί πού, ἐνῶ ἀπαρνηθήκαμε τόν κόσμο, τόν γυροφέρνουμε πάλι; Καί ἀρχίζει νά κλονίζεται μέσα μας ἡ πίστη στό σχῆμα ὅτι εἶναι ἀγγελικό. Καί τό κάναμε βιωτικό ἀπό ἀγάπη στόν χρυσό· γιατί εἶχα καί δέν ἔδινα. Κι ἄν πολ-

δουν, ἐπὶ πάντων ἵνα ὅλως ἐπαινεθῶ. Μή, ἀδελφοί μου ἀγαπητοί· φύγωμεν ἐκ τοῦ κόσμου. Βία ἐστὶ τοῦ σωθῆναι ἐν τῇ ἐρήμῳ. Καὶ πῶς ἡμεῖς οὕτως ἀναμέσον τῶν κοσμικῶν ἐσόμεθα; Πάντως οὐ σωθησόμεθα, μάλιστα τοῦ Κυρίου λέγοντος ὅτι· Ὅστις οὐκ ἀποτάσσεται τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχὴν καὶ οὐκ αἴρει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος. Ζῶ γὰρ ἐγώ, λέγει Κύριος, ἐξέλθετε ἐκ μέσου αὐτῶν καὶ ἀφορίσθητε.

Ὁρᾶτε, ἀδελφοί μου ἀγαπητοί, πόσον ὄφελός ἐστι τὸ φεύγειν τὰς συντυχίας τῶν βιωτικῶν; Λυσιτελεῖ γὰρ καὶ ἡμῖν καὶ αὐτοῖς. Ἡ οὖν ὁμιλία αὐτῶν ἐστι περὶ πράσεως καὶ ἀγορᾶς καὶ γυναικῶν καὶ τέκνων καὶ κτηνῶν. Καὶ ἡ τοιαύτη συντυχία τὸν λογισμὸν ἀπὸ Θεοῦ χωρίζει. Καὶ εἰ ἡ ὁμιλία αὐτῶν μόνον τὸν λογισμὸν ἀπὸ τοῦ Θεοῦ χωρίζει, τὸ συνεσθίειν καὶ πίνειν μετ᾽ αὐτῶν πόσον βλάβος ἔχει;

Μὴ γὰρ ὅτι ἀκάθαρτοί εἰσι ταῦτα λέγω· μὴ γένοιτο· ἀλλ᾽ ὅτι αὐτοὶ ἐσθίουσιν ἅπαξ καὶ δὶς τῆς ἡμέρας πάντα τὰ ἐδώδιμα καὶ τὰ θύματα, ἡμεῖς δὲ ἀπεχόμεθα τῶν θυμάτων καὶ ἐδωδίμων· ἐσθίομεν δὲ καὶ ἅπαξ τῆς ἡμέρας. Ἐὰν γὰρ ἴδωσιν ἡμᾶς ἐσθίοντας τὸ αὔταρκες, εὐθέως κατακρίνουσιν ἡμᾶς καὶ λέγουσιν· Ἰδοὺ καὶ οἱ μοναχοὶ χορτάζουσι, καὶ οὐκ ἐνθυμοῦνται ὅτι καὶ ἡμεῖς σάρκα περικείμεθα ὡς καὶ αὐτοί. Καὶ ἐὰν πάλιν ἴδωσιν ἡμᾶς ἐγκρατευομένους ἐν τοῖς βρώμασιν, αὖθις κρίνουσιν ἡμᾶς λέγοντες· Ἰδοὺ ἀνθρωπάρεσκοί εἰσι, καὶ ἀπολλύασι τὰς ψυχὰς αὐτῶν δι᾽ ἡμᾶς. Ἐὰν δὲ πάλιν ἴδωσιν ἡμᾶς ἀνίπτοις χερσὶν ἐσθίοντας ἢ τὴν ἐσθῆτα ῥυπαρὰν ἔχοντας, αὖθις λέγουσιν· Ἰδοὺ ἀτσαλία. Ἐὰν δὲ πάλιν ἴδωσιν

56. Πρβλ. Λουκ. 14, 26-27 καί 33· Λουκ. 9, 23-25.
57. Β΄ Κορ. 6, 17.

λές φορές ἔδινα, τό ἔκανα ἐνώπιον ὅλων προπαντός γιά νά ἐπαινεθῶ. Πρός Θεοῦ, ἀγαπητοί μου ἀδελφοί, ἄς φύγουμε ἀπό τόν κόσμο. Καί στήν ἔρημο ἀκόμη εἶναι δύσκολο νά σωθεῖ κανείς. Πῶς λοιπόν ἐμεῖς θά μείνουμε ἔτσι ἀνάμεσα στούς κοσμικούς; Σίγουρα δέν θά σωθοῦμε, καθώς μάλιστα ὁ Κύριος εἶπε: "Ὅποιος δέν ἀπαρνεῖται τόν κόσμο καί ὅσα ὑπάρχουν σ᾽ αὐτόν, ἀκόμη καί τήν ἴδια του τή ζωή, καί δέν σηκώνει τόν σταυρό του νά μέ ἀκολουθήσει, γιά μένα δέν εἶναι ἄξιος"[56]. "Γιατί ἐγώ ζῶ, λέει ὁ Κύριος, φύγετε μακρυά ἀπ᾽ αὐτούς καί ξεχωρίστε"[57].

Προσέξτε, ἀγαπητοί ἀδελφοί, πόσο μεγάλο ὄφελος βγαίνει ἀπό τό νά ἀποφεύγει κανείς τίς συναντήσεις μέ τούς κοσμικούς. Συμφέρει σίγουρα καί σέ μᾶς καί σ᾽ αὐτούς. Ἡ συζήτησή τους στρέφεται γύρω ἀπό ἀγοραπωλησίες, τίς συζύγους, τά παιδιά καί τά ζῶα. Ἔτσι ἡ τέτοιου εἴδους συναναστροφή ἀπομακρύνει τή σκέψη ἀπ᾽ τόν Θεό. Καί ἐάν ἡ συνομιλία καί μόνο μ᾽ αὐτούς χωρίζει τόν λογισμό ἀπό τόν Θεό, τότε τό νά τρώει κανείς μαζί τους καί νά πίνει, πόση βλάβη προκαλεῖ;

Καί δέν τά λέω αὐτά, γιατί θεωρῶ τούς κοσμικούς ἀκάθαρτους. Πρός Θεοῦ! Ἀλλ᾽ ἐπειδή αὐτοί τρῶνε μία καί δύο φορές τήν ἡμέρα, ὅλες τίς τροφές καί τά κρέατα, ἐνῶ ἐμεῖς ἀπέχουμε ἀπ᾽ αὐτά, τρῶμε μάλιστα μία φορά τήν ἡμέρα. Ἐάν λοιπόν μᾶς δοῦν νά τρῶμε ἱκανοποιητικά, ἀμέσως μᾶς κατακρίνουν λέγοντας: "Νά καί οἱ μοναχοί χορταίνουν" κι οὔτε πού ἀναλογίζονται πώς κι ἐμεῖς οἱ μοναχοί φέρουμε σῶμα, ὅπως καί αὐτοί. Κι ἄν πάλι μᾶς δοῦν νά κάνουμε ἐγκράτεια στίς τροφές, πάλι μᾶς κατακρίνουν λέγοντας: "Δές, πόσο ἀνθρωπάρεσκοι εἶναι" καί ἔτσι κάνουν ζημιά στίς ψυχές τους ἐξαιτίας μας. Ἐάν ἐπίσης μᾶς δοῦν νά τρῶμε μέ ἄνιφτα χέρια ἤ νά ἔχουμε βρώμικα τά ροῦχα, πάλι λένε: "Δές ἀτσαλιά". Κι ὅταν μᾶς δοῦν νά

ἡμᾶς νενιμμέναις χερσὶν ἐσθίοντας, λέγουσιν· Ἰδοὺ καὶ οἱ μοναχοὶ παστρεύονται, καὶ ἀπολλύασιν ἑαυτοὺς δι' ἡμᾶς.

Καὶ γενόμεθα ἡμεῖς ἔνοχοι καὶ αἴτιοι τῆς ἀπωλείας αὐτῶν. Φεύγοντες φύγωμεν τὰς τραπέζας αὐτῶν. Ζητήσωμεν μᾶλλον τὸν ψόγον αὐτῶν καὶ μὴ τοὺς ἐπαίνους. Ὁ γὰρ ἔπαινος αὐτῶν κρίσεως πρόξενος ὑπάρχει. Ὁ δὲ ψόγος αὐτῶν στεφάνων πρόξενος. Τί μοι ὄφελος, ἵνα ἀνθρώποις ἀρέσω καὶ παροργίσω Κύριον τὸν Θεόν μου; Καὶ μάρτυς ὁ Ἀπόστολος Παῦλος· φησὶ γάρ· Εἰ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην.

Οὐκοῦν εὐξώμεθα ἐνώπιον Κυρίου λέγοντες· Ἰησοῦ ὁ Θεὸς ἡμῶν, ῥῦσαι καὶ ἐξελοῦ ἡμᾶς ἐκ τοῦ ἐπαίνου καὶ τοῦ ψόγου αὐτῶν. Καὶ μηδὲν ἐπιτελέσωμεν πρὸς τὸ ἀρέσαι αὐτοῖς· ὁ γὰρ ἔπαινος αὐτῶν οὐ δυνήσεται ἡμᾶς εἰσενεγκεῖν εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν, οὔτε πάλιν ὁ ψόγος αὐτῶν ἰσχύει ἀποκλεῖσαι ἡμῖν τὴν αἰώνιον ζωήν. Γνῶμεν, ἀδελφοὶ ἀγαπητοὶ καὶ εὐλογημένοι, ὅτι καὶ ὑπὲρ ἀργοῦ λόγου λόγον δώσομεν Κυρίῳ τῷ Θεῷ ἡμῶν.

34. Ἀδελφὸς παρέβαλε τῷ ἀββᾷ Ἠλίᾳ τῷ ἡσυχαστῇ τὸ κοινόβιον τοῦ σπηλαίου τοῦ ἀββᾶ Σάββα καὶ λέγει αὐτῷ· Ἀββᾶ, εἰπόν μοι ῥῆμα. Ὁ δὲ Γέρων λέγει τῷ ἀδελφῷ ὅτι· Ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν ἠγαπῶντο αἱ τρεῖς ἀρεταὶ αὗται: Ἡ ἀκτημοσύνη, ἡ πραότης καὶ ἡ ἐγκράτεια. Νῦν δὲ κρατεῖ εἰς τοὺς μοναχοὺς ἡ πλεονεξία καὶ ἡ γαστριμαργία καὶ ἡ θρασύτης. Εἴ τι θέλεις, κράτει.

58. Γαλ. 1, 10. 59. Ματθ. 12, 36.

τρῶμε μέ χέρια πλυμένα λένε: "Ὁρίστε, καί οἱ μοναχοί τό ρίχνουν στήν καθαριότητα" καί κάνουν ζημιά στήν ψυχή τους ἐξαιτίας μας.

Ἔτσι γινόμαστε ἐμεῖς ἔνοχοι καί αἴτιοι τῆς καταστροφῆς τους. Ἄς ἀποφεύγουμε μέ κάθε τρόπο τά τραπέζια τους. Καί προτιμότερο νά ζητοῦμε τήν κατηγόρια τους παρά τούς ἐπαίνους τους. Γιατί ὁ ἔπαινός τους μπορεῖ νά προκαλέσει τήν καταδίκη μας, ἐνῶ ἡ ἀποδοκιμασία τους εἶναι ἀφορμή γιά στεφάνι. Καί ποιό τό ὄφελός μου, νά ἀρέσω στούς ἀνθρώπους καί νά παροργίσω τόν Κύριο καί Θεό μου; Καταθέτει πάνω σ' αὐτό τή μαρτυρία του ὁ Ἀπόστολος Παῦλος, πού λέει: "Ἄν πράγματι ζητοῦσα νά ἀρέσω στούς ἀνθρώπους, δέν θά ἤμουν ὑπηρέτης τοῦ Χριστοῦ"[58].

Λοιπόν ἄς προσευχηθοῦμε μπροστά στόν Κύριο καί νά τοῦ ποῦμε: "Ἰησοῦ Θεέ μας, λύτρωσέ μας καί φύλαξέ μας ἀπ' τόν ἔπαινο καί τήν κατάκριση τῶν ἀνθρώπων". Καί στό ἑξῆς μήν κάνουμε τίποτε γιά νά ἀρέσουμε σ' αὐτούς. Γιατί οὔτε ὁ ἔπαινός τους εἶναι σέ θέση νά μᾶς εἰσαγάγει στή Βασιλεία τῶν Οὐρανῶν ἀλλά οὔτε καί ἡ ἀποδοκιμασία τους θά μπορέσει νά μᾶς ἀποκλείσει ἀπ' τήν αἰώνια ζωή. Καί ἄς γνωρίζουμε, ἀγαπητοί ἀδελφοί καί εὐλογημένοι, ὅτι ἀκόμη καί γιά κάθε ἀργό λόγο μας θά λογοδοτήσουμε στόν Θεό»[59].

34. Ἕνας ἀδελφός ἐπισκέφθηκε κάποτε τόν ἀββᾶ Ἠλία, τόν ἡσυχαστή, στό κοινόβιο τοῦ σπηλαίου τοῦ ἀββᾶ Σάββα καί τοῦ εἶπε: «Ἀββᾶ, πές μου κάποιον λόγο». Κι ὁ Γέροντας εἶπε στόν ἀδελφό: «Οἱ πατέρες μας στόν καιρό τους ἀγαποῦσαν τίς τρεῖς αὐτές ἀρετές: Τήν ἀκτημοσύνη, τήν πραότητα καί τήν ἐγκράτεια. Ἐνῶ τώρα ἐπικρατεῖ μεταξύ τῶν μοναχῶν ἡ πλεονεξία, ἡ λαιμαργία καί ἡ θρασύτητα. Ὅποιο ἀπό τά δυό θέλεις, κράτησέ το».

35. Ἔλεγον περὶ τοῦ ἀββᾶ Θεοδώρου τοῦ τῆς Φέρμης ὅτι τὰ τρία ταῦτα κεφάλαια εἶχεν ὑπὲρ πολλούς: Τὴν ἀκτημοσύνην, τὴν ἄσκησιν καὶ τὸ φεύγειν τοὺς ἀνθρώπους.

36. Εἶπεν ὁ ἀββᾶς Θεόδωρος ὁ τῆς Φέρμης ὅτι· Ἄνθρωπος στήκων εἰς μετάνοιαν, οὐ δέδεται εἰς ἐντολήν.

37. Ἠρώτησεν ἡ ἀμμᾶς Θεοδώρα τὸν πάπαν Θεόφιλον τὸ ῥητὸν τοῦ Ἀποστόλου, τὸ τί ἐστι· Τὸν καιρὸν ἐξαγοραζόμενοι. Ὁ δὲ λέγει αὐτῇ· Ἡ ἐπωνυμία δεικνύει τὸ κέρδος. Οἷον, καιρὸς ὕβρεώς σοι πάρεστιν· ἀγόρασον τῇ ταπεινοφροσύνῃ καὶ μακροθυμίᾳ τὸν τῆς ὕβρεως καιρὸν καὶ ἕλκυσον τὸ κέρδος πρὸς ἑαυτόν. Καιρὸς ἀτιμίας, τῇ ἀνεξικακίᾳ ἀγόρασον τὸν καιρὸν καὶ κέρδησον. Καὶ πάντα τὰ ἐναντία ἐὰν θέλωμεν, κέρδη γίνονται ἡμῖν.

38. Εἶπε πάλιν ἡ ἀμμᾶς Θεοδώρα· Ἀγωνίσασθε εἰσελθεῖν διὰ τῆς στενῆς πύλης. Ὃν τρόπον γὰρ τὰ δένδρα, ἐὰν μὴ λάβωσι χειμῶνας καὶ ὑετούς, καρποφορῆσαι οὐ δύνανται, οὕτως καὶ ἐν ἡμῖν, ὁ αἰὼν οὗτος χειμών ἐστι. Καὶ ἐὰν μὴ διὰ πολλῶν θλίψεων καὶ πειρασμῶν, οὐ δυνησόμεθα τῆς Βασιλείας τῶν Οὐρανῶν γενέσθαι κληρονόμοι.

60. Βουνό βόρεια τῆς Νιτρίας ὅπου ἀσκήτευαν ἀρκετοί μοναχοί.
61. Πατριάρχης Ἀλεξανδρείας (385-412). Ὁ τίτλος πάπας (ἤ πάππας) τούς πρώτους χριστιανικούς αἰῶνες εἶχε εὐρεία χρήση καί ἀποδιδόταν σέ ἐπισκόπους ἀλλά καί σέ πρεσβυτέρους. Τελικά ἐπικράτησε νά ἀποδίδεται ὁ τίτλος στόν ἐπίσκοπο Ἀλεξανδρείας καί τόν Ρώμης.

35. Ἔλεγαν γιά τόν ἀββᾶ Θεόδωρο* τῆς Φέρμης[60] ὅτι εἶχε σέ πολύ μεγάλη ἐκτίμηση τίς τρεῖς αὐτές ἀρετές: Τήν ἀκτημοσύνη, τήν ἄσκηση καί τό νά ἀποφεύγει τήν ἀναστροφή μέ τούς ἀνθρώπους.

36. Εἶπε κάποτε ὁ ἀββᾶς Θεόδωρος τῆς Φέρμης ὅτι: «Ἄνθρωπος πού βρίσκεται σέ συνεχή μετάνοια, δέν αἰσθάνεται δεμένος σέ ἐντολή».

37. Ρώτησε ἡ ἀμμᾶς Θεοδώρα τόν πάπα[61] Θεόφιλο γιά τό ρητό τοῦ Ἀποστόλου Παύλου, τί σημαίνει «Τόν καιρόν ἐξαγοραζόμενοι»[62]. Κι ἐκεῖνος τῆς ἀπαντᾶ: «Οἱ λέξεις πού χρησιμοποιεῖ δείχνουν τό κέρδος. Ἄς ποῦμε, σοῦ παρουσιάζεται περίπτωση νά σέ βρίσουν· ἀγόρασε τότε τήν εὐκαιρία τῆς βρισιᾶς μέ ταπεινοφροσύνη καί μακροθυμία καί πάρε τό κέρδος μέ τό μέρος σου. Σοῦ δίνεται εὐκαιρία γιά ἀτιμία, ἀγόρασε τήν εὐκαιρία μέ τήν ἀνεξικακία καί ἔχεις κέρδος. Καί ὅλα τά ἀντίθετα, ἄν θέλουμε, γίνονται γιά μᾶς κέρδη».

38. Εἶπε πάλι ἡ ἀμμᾶς Θεοδώρα: «Ἀγωνισθεῖτε νά μπεῖτε ἀπό τή στενή πύλη[63]. Γιατί ὅπως τά δένδρα, ἄν δέν χτυπηθοῦν ἀπό καταιγίδες καί δέν ποτισθοῦν μέ ἄφθονες βροχές, δέν μποροῦν νά φέρουν καρπό, τό ἴδιο συμβαίνει καί μέ μᾶς. Ἡ ζωή αὐτή εἶναι περίοδος καταιγίδων. Ἐάν δέν περάσουμε μέσα ἀπό πολλές θλίψεις καί πειρασμούς, δέν θά ἀξιωθοῦμε νά γίνουμε κληρονόμοι τῆς Βασιλείας τῶν Οὐρανῶν»[64].

62. Ἐφ. 5, 16. 63. Λουκ. 13, 14. 64. Πρ. 14, 22.

39. Εἶπε πάλιν ἡ αὐτὴ ὅτι· Ὁ διδάσκαλος ὀφείλει εἶναι ξένος φιλαρχίας καὶ ἀλλότριος κενοδοξίας, μακρὰν ὑπερηφανίας, μὴ ὑπὸ κολακείας ἐμπαιζόμενος ἢ ὑπὸ δώρων τυφλούμενος, μὴ ὑπὸ γαστρὸς ἡττώμενος, μὴ ὑπὸ ὀργῆς κρατούμενος, ἀλλὰ μακρόθυμος, ἐπιεικής, πάσῃ δυνάμει ταπεινόφρων, ἔγκριτος εἶναι καὶ ἀνεκτικός, κηδεμονικὸς καὶ φιλόψυχος.

40. Εἶπεν ὁ ἀββᾶς Ἰωάννης ὁ Κολοβός· Ἐγὼ θέλω μεταλαβεῖν τὸν ἄνθρωπον ἐκ πασῶν τῶν ἀρετῶν. Τοίνυν ἐφ' ἑκάστης ἡμέρας διανιστάμενος τῷ πρωὶ ἐπιλαβοῦ ἀρχῆς εἰς πᾶσαν ἀρετὴν καὶ ἐντολὴν Θεοῦ ἐν μεγίστῃ ὑπομονῇ μετὰ φόβου και μακροθυμίας, ἐν ἀγάπῃ Θεοῦ μετὰ πάσης προθυμίας ψυχῆς καὶ σώματος καὶ ταπεινώσεως πολλῆς, ἐν ὑπομονῇ θλίψεως καρδίας καὶ φυλακῆς, ἐν προσευχῇ πολλῇ καὶ πρεσβείαις μετὰ στεναγμῶν, ἐν ἁγνείᾳ γλώσσης καὶ φυλακῇ ὀφθαλμῶν.

Ἀτιμαζόμενος καὶ μὴ ὀργιζόμενος, εἰρηνεύων καὶ μὴ ἀνταποδιδοὺς κακὸν ἀντὶ κακοῦ, μὴ προσέχων πταίσμασιν ἑτέρων· μὴ ἑαυτὸν μετρεῖν, ἀλλ' εἶναί σε ὑποκάτω πάσης τῆς κτίσεως, ἐν ἀποταξίᾳ ὕλης καὶ τῶν κατὰ σάρκα, ἐν σταυρῷ, ἐν ἀγῶνι, ἐν πτωχείᾳ πνεύματος· ἐν προαιρέσει καὶ ἀσκήσει πνευματικῇ, ἐν νηστείᾳ, ἐν μετανοίᾳ καὶ κλαυθμῷ, ἐν ἀγῶνι πολέμου, ἐν διακρίσει, ἐν ἁγνείᾳ ψυχῆς, ἐν μεταλήψει χρηστῇ, ἐν ἡσυχίᾳ τὸ ἐργόχειρόν σου, ἐν ταῖς νυκτεριναῖς ἀγρυπνίαις, ἐν πείνῃ καὶ δίψῃ, ἐν ψύχει καὶ γυμνότητι, ἐν πόνοις, ἀποκλείων σου τὸν τάφον ὡς ἤδη τελευτήσας, ὡς δοκεῖν εἶναι ἐγγύς σου τὸν θάνατον κατὰ πᾶσαν ἡμέραν.

39. Εἶπε ἐπίσης ἡ ἴδια: «Αὐτός πού κάνει τό ἔργο τοῦ διδασκάλου, ὀφείλει νά εἶναι ξένος ὡς πρός τή φιλαρχία καί ὡς πρός τήν κενοδοξία καί μακριά ἀπό τήν ὑπερηφάνεια· νά μήν ἐμπαίζεται ἀπό τήν κολακεία ἤ νά τυφλώνεται ἀπό τά δῶρα, νά μή νικιέται ἀπό τήν γαστριμαργία, νά μήν εἶναι δοῦλος στήν ὀργή, ἀλλά (ὀφείλει) νά εἶναι μακρόθυμος, ἐπιεικής, ὅσο μπορεῖ πιό ταπεινός, ἀποδεκτός ἀπό τούς ἄλλους, ὑπομονητικός, προνοητικός καί στοργικός».

40. Εἶπε ὁ ἀββᾶς Ἰωάννης ὁ Κολοβός*: «Ἐγώ θά 'θελα νά μετέχει ὁ ἄνθρωπος σ' ὅλες τίς ἀρετές. Γι' αὐτό κάθε μέρα, μόλις σηκωθεῖς τό πρωί, βάζε ἀρχή σέ κάθε ἀρετή καί ἐντολή τοῦ Θεοῦ· καί νά συνοδεύεται αὐτή ἡ ἀρχή μέ τήν πιό μεγάλη ὑπομονή, μέ φόβο καί μακροθυμία, μέ ἀγάπη στόν Θεό καί μέ πολλή προθυμία ψυχῆς καί σώματος, μέ πολλή ταπείνωση, ὑπομένοντας τή θλίψη τῆς καρδιᾶς καί τήν ἐπαγρύπνηση, μέ πολλή προσευχή καί ἱκεσίες μέ ἀναστεναγμούς, μέ καθαρότητα γλώσσας καί ἐπιτήρηση τῶν ματιῶν.

Ὅταν σέ περιφρονοῦν νά μήν ὀργίζεσαι, νά διατηρεῖς τήν εἰρήνη σου καί νά μήν ἀνταποδίδεις κακό στό κακό, νά μήν προσέχεις τά σφάλματα τῶν ἄλλων. Μή θεωρεῖς τόν ἑαυτό σου πώς εἶσαι κάτι ἀλλά νά τόν ἔχεις χαμηλότερα ἀπ' ὅλα τά δημιουργήματα. Νά ἀποχωρίζεσαι ἀπό τά ὑλικά καί ἀπό κάθε τι πού ἔχει σχέση μέ τή σάρκα, μέ σταυρό καί ἀγῶνα, μέ πτωχεία πνεύματος, μέ ὁλόψυχη διάθεση καί ἄσκηση πνευματική, μέ νηστεία, μετάνοια καί δάκρυα, μέσα στήν προσπάθεια τοῦ πολέμου, μέ διάκριση καί ἁγνότητα ψυχῆς, μετέχοντας σέ κάθε ἀγαθή ἐνέργεια, κάνοντας τό ἐργόχειρό σου μέ ἡσυχία, μέ τίς νυκτερινές ἀγρυπνίες, μέ πείνα καί δίψα, μέ ψύχος καί γυμνότητα, μέσα σέ κόπους, σκεπάζοντας τόν τάφο σου σάν νά ἔχεις ἤδη πεθάνει, ὥστε νά νομίζεις ὅτι ὁ θάνατος εἶναι κοντά σου καθημερινά».

41. Εἶπεν ὁ ἀββᾶς Ἰωσὴφ ὁ Θηβαῖος ὅτι· Τρία πράγματά ἐστιν ἔντιμα ἐνώπιον τοῦ Κυρίου· ὅταν ἄνθρωπος ἀσθενῇ καὶ προστίθενται αὐτῷ πειρασμοὶ καὶ μετ' εὐχαριστίας προσδέχεται αὐτούς· τὸ δὲ δεύτερόν ἐστιν, ὅταν τις ποιῇ πάντα τὰ ἔργα αὐτοῦ καθαρὰ ἐνώπιον τοῦ Κυρίου, μηδὲν ἔχοντα ἀνθρώπινον· τὸ δὲ τρίτον, ὅταν τις ἐν ὑποταγῇ καθέζηται πατρὸς πνευματικοῦ καὶ πᾶσιν ἀποτάσσηται τοῖς ἰδίοις θελήμασι.

42. Διηγήσατο ὁ ἀββᾶς Κασσιανὸς περί τινος ἀββᾶ Ἰωάννου κοινοβιάρχου ὅτι μέγας ἦν ἐν τῷ βίῳ. Τοῦτον, φησί, τελευτᾶν μέλλοντα καὶ ἐκδημοῦντα ἱλαρῶς καὶ προθύμως πρὸς τὸν Θεόν, ἐκύκλωσαν οἱ ἀδελφοὶ ἀξιοῦντές τινα λόγον σύντομον καὶ σωτήριον ἐν κλήρου τάξει καταλιπεῖν αὐτοῖς, δι' οὗ δυνήσονται ἐπιβῆναι τῆς ἐν Χριστῷ τελειότητος. Ὁ δὲ στενάξας φησίν· Οὐδέποτε ἐποίησα τὸ ἴδιον θέλημα· οὐδέποτέ τινα ἐδίδαξα, ὅπερ πρότερον οὐκ ἐποίησα.

43. Εἶπεν ὁ μακάριος Ἰωάννης ὁ Χρυσόστομος· Καθεζομένου σου εἰς ἀνάγνωσιν λογίων Θεοῦ, πρῶτον ἐπικάλεσαι αὐτόν, ἵνα διανοίξῃ τοὺς ὀφθαλμοὺς τῆς καρδίας σου εἰς τὸ μὴ μόνον ἀναγινώσκειν τὰ γεγραμμένα, ἀλλὰ καὶ ποιεῖν, ἵνα μὴ εἰς κρῖμα ἑαυτῶν τοὺς τῶν ἁγίων βίους καὶ λόγους διεξερχόμεθα.

44. Ἔλεγεν ὁ ἀββᾶς Ἰωάννης ὁ Κίλιξ, ὁ ἡγούμενος τῆς Ῥαϊθοῦ, τοῖς ἀδελφοῖς· Τέκνα, ὡς ἐφύγομεν τὸν κόσμον, φύγωμεν καὶ τὰς ἐπιθυμίας τῆς σαρκός.

65. Ματθ. 5, 19.

41. Εἶπε ὁ ἀββᾶς Ἰωσήφ ὁ Θηβαῖος: «Τρία πράγματα ἔχουν μεγάλη ἀξία ἐνώπιον τοῦ Κυρίου: Ὅταν ὁ ἄνθρωπος ἀσθενεῖ καί τοῦ 'ρχονται ἐπί πλέον καί ἄλλοι πειρασμοί καί εὐχαρίστως τούς ἀποδέχεται, εἶναι τό ἕνα. Τό δεύτερο εἶναι νά κάνει κανείς ὅλα του τά ἔργα καθαρά ἐνώπιον τοῦ Κυρίου, χωρίς τίποτε τό ἀνθρώπινο. Καί τό τρίτο, νά ζεῖ ὡς ὑποτακτικός σέ πνευματικό πατέρα καί νά ἀπαρνεῖται κάθε δικό του θέλημα».

42. Διηγήθηκε ὁ ἀββᾶς Κασσιανός* γιά κάποιον ἀββᾶ Ἰωάννη κοινοβιάρχη ὅτι ὑπῆρξε σπουδαῖος στή ζωή του. Αὐτός, λέει, ὅταν κόντευε νά πεθάνει καί ἐκδημοῦσε μέ χαρά καί προθυμία πρός τόν Θεό, τόν περικύκλωσαν οἱ ἀδελφοί ζητώντας νά τούς ἀφήσει σάν κληρονομιά κάποιον σύντομο καί σωτήριο λόγο, πού θά τούς βοηθοῦσε νά φθάσουν στήν κατά Χριστόν τελειότητα.

Κι ἐκεῖνος ἀναστέναξε καί εἶπε: «Ποτέ δέν ἔκανα τό δικό μου θέλημα οὔτε δίδαξα σέ κάποιον κάτι πού προηγουμένως δέν τό τήρησα ἐγώ»[65].

43. Εἶπε ὁ μακάριος Ἰωάννης ὁ Χρυσόστομος*: «Ὅταν κάθεσαι νά διαβάσεις λόγο Θεοῦ, νά ἐπικαλεῖσαι στήν ἀρχή τόν Θεό ν' ἀνοίξει τά μάτια τῆς ψυχῆς σου, ὥστε νά μήν περιοριστεῖς στό νά διαβάζεις μόνο αὐτά πού γράφτηκαν ἀλλά καί νά τά ἐκτελεῖς, καί ἔτσι νά μή γίνει καταδίκη μας ἡ μελέτη τοῦ βίου καί τῶν λόγων τῶν ἁγίων»[66].

44. Ὁ ἀββᾶς Ἰωάννης ὁ Κίλικας, ὁ ἡγούμενος τῆς Ραϊθοῦ[67], ἔλεγε στούς ἀδελφούς: «Παιδιά μου, ὅπως ἀποφύγαμε τόν κόσμο, ἄς ἀποφύγουμε καί τίς σαρκικές ἐπιθυμίες».

66. Πρβλ. Λουκ. 12, 47 καί Ἰακ. 1, 23-25.

45. Εἶπε πάλιν· Μιμησώμεθα τοὺς πατέρας ἡμῶν, μετὰ ποίας σκληραγωγίας καὶ ἡσυχίας ἐκάθησαν ὧδε.

46. Εἶπε πάλιν· Μὴ ῥυπώσωμεν, τέκνα, τὸν τόπον τοῦτον, ὃν οἱ πατέρες ἡμῶν ἐκαθάρισαν ἀπὸ δαιμόνων.

47. Εἶπε πάλιν· Ὁ τόπος οὗτος ἀσκητῶν ἐστιν, οὐ πραγματευτῶν.

48. Ἀνερχομένων ἡμῶν ἀπὸ τῆς Γεθσημανῆς ἐν τῷ ὄρει τῶν Ἐλαιῶν, μοναστήριόν ἐστι τοῦ ἀββᾶ Ἀβραμίου. Ἐν τούτῳ τῷ μοναστηρίῳ ἦν ἡγούμενος ὁ ἀββᾶς Ἰωάννης ὁ Κυζικηνός. Ἠρωτήσαμεν οὖν αὐτὸν ἐν μιᾷ λέγοντες· Πῶς κτᾶταί τις, ἀββᾶ, ἀρετήν; Καὶ ἀπεκρίθη ὁ Γέρων λέγων· Ἐὰν θέλῃ τις ἀρετὴν κτήσασθαι, ἐὰν μὴ μισήσῃ τὴν ἀντιδιάμετρον αὐτῆς κακίαν, οὐ δύναται αὐτὴν κτήσασθαι.

Ἐὰν οὖν θέλῃς ἔχειν τὸ πένθος ἀεί, μίσησον τὸν γέλωτα.

Θέλεις ταπείνωσιν ἔχειν, μίσησον ὑπερηφανίαν.

Θέλεις ἐγκρατὴς εἶναι, μίσησον τὴν λαιμαργίαν.

Θέλεις σωφρονεῖν, μίσησον τὴν λαγνείαν.

Θέλεις ἀκτήμων εἶναι, μίσησον τὴν φιλαργυρίαν.

Ὁ θέλων οἰκεῖν τὴν ἔρημον, μισεῖ τὰς πόλεις διὰ τὰ σκάνδαλα.

Ὁ θέλων ἡσυχίαν ἔχειν, μισεῖ τὴν παρρησίαν.

Ὁ θέλων ξένος εἶναι, μισεῖ τὸ φανητιᾶν.

67. Ραϊθώ ἤ Ραϊθοῦ: Βρίσκεται στή ΝΔ παραλία τῆς χερσονήσου Σινᾶ, ὅπου ἦταν οἱ δώδεκα πηγές καί τά ἑβδομήντα φοινικόδεντρα (Ἐξ. 15, 27). Ἀπό τόν 4ο αἰ. ὑπῆρχε Μονή πού καταστράφηκε τό 373 ἀπό τούς Βλεμμύ-

45. Εἶπε ἐπίσης: «Ἄς μιμηθοῦμε τούς πατέρες μας στήν τόσο μεγάλη σκληραγωγία καί ἡσυχία πού εἶχαν, ὅταν ἀσκήτευσαν σ᾽ αὐτόν ἐδῶ τόν τόπο».

46. Εἶπε ἀκόμη: «Ἄς μή μολύνουμε, παιδιά μου, τόν τόπο αὐτό πού τόν καθάρισαν οἱ πατέρες μας ἀπό τούς δαίμονες».

47. Καί πάλι: «Ὁ τόπος αὐτός ἀνήκει στούς ἀσκητές, ὄχι στούς πραγματευτές».

48. Ἀνηφορίζοντας ἀπό τή Γεθσημανῆ στό ὄρος τῶν Ἐλαιῶν, συναντᾶ κανείς τό μοναστήρι τοῦ ἀββᾶ Ἀβραμίου. Σ᾽ αὐτό τό μοναστήρι ἡγούμενος ἦταν ὁ ἀββᾶς Ἰωάννης ὁ Κυζικηνός. Τόν ρωτήσαμε λοιπόν κάποια μέρα:

«Ἀββᾶ, πῶς μπορεῖ νά ἀποκτήσει κανείς ἀρετή;» Καί μᾶς ἀπάντησε ὁ Γέροντας: «Ἄν θέλει κανείς ν᾽ ἀποκτήσει μιά ἀρετή, δέν μπορεῖ νά τήν κάνει κτῆμα του, ἄν δέν μισήσει τήν κακία πού εἶναι ὁ ἀντίποδάς της.

Ἄν λοιπόν θέλεις νά ἔχεις πάντοτε πένθος στήν ψυχή σου, μίσησε τό γέλιο.

Θέλεις νά ἔχεις ταπείνωση; Μίσησε τήν ὑπερηφάνεια.

Θέλεις νά εἶσαι ἐγκρατής; Μίσησε τή λαιμαργία.

Θέλεις νά εἶσαι σώφρων; Μίσησε τήν ἀκόλαστη ζωή.

Θέλεις νά εἶσαι ἀκτήμων; Μίσησε τή φιλαργυρία.

Αὐτός πού θέλει νά εἶναι κάτοικος τῆς ἐρήμου, μισεῖ τίς πόλεις ἐξαιτίας τῶν πειρασμῶν.

Αὐτός πού θέλει νά ἔχει ἡσυχία, μισεῖ τήν παρρησία.

Αὐτός πού θέλει νά ζεῖ ἄγνωστος, μισεῖ τήν τάση γιά ἐπίδειξη.

ους. Τό 540 ξανακτίσθηκε καί ὀχυρώθηκε ἀπό τόν Ἰουστινιανό καί γνώρισε μεγάλη ἀκμή μέχρι τά τέλη τοῦ 7ου αἰ.

Ὁ θέλων ἐγκρατὴς εἶναι τῆς ὀργῆς, μισεῖ τὸ μετὰ πολλῶν διάγειν.

Ὁ θέλων ἀμνησίκακος εἶναι, μισεῖ τὰς λοιδορίας.

Ὁ θέλων ἀπερίσπαστος εἶναι, κατὰ μόνας μένει.

Ὁ θέλων κρατῆσαι γλώσσης, φραξάτω τὰ ὦτα αὐτοῦ μὴ ἀκούειν πολλά.

Ὁ θέλων τὸν φόβον τοῦ Θεοῦ ἔχειν ἀεί, μισήσει τὴν σωματικὴν ἀνάπαυσιν καὶ ἀγαπήσει τὴν θλῖψιν καὶ τὴν στενοχωρίαν.

49. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ἰωσὴφ λέγων· Ἐὰν γένηται διωγμός, καλὸν φυγεῖν εἰς τὴν ἔρημον ἢ εἰς τὴν οἰκουμένην; Καὶ εἶπεν ὁ Γέρων· Ὅπου ἀκούεις ὀρθοδόξους, ἐκεῖ ὕπαγε ἔγγιστα αὐτῶν καὶ μὴ ἔχε φιλίαν μετὰ παιδίου τὸ σύνολον μήτε μείνῃς μετ᾽ αὐτοῦ. Καὶ ἐὰν δυνηθῇς καθίσαι ἔσω εἰς τὸ κελλίον σου, τοῦτο καλόν. Καὶ φιλοκάλει τὸ λάχανόν σου, παρὰ τὸ ὑπάγειν σε πρός τινα αἰτεῖσθαι.

Πάλιν λέγει ὁ ἀδελφός· Θέλω καθίσαι μετά τινος κοινόβιον, ἵνα ἡσυχάζω εἰς τὸ κελλίον μόνος καὶ παρέχῃ μοι τὸ ἐργόχειρόν μου καὶ αὐτὸς φροντίζῃ μου. Καὶ λέγει ὁ Γέρων· Οἱ πατέρες ἡμῶν οὐκ ἠθέλησαν τὸ πρᾶγμα τοῦτο· εἰ δὲ μή γε, οὐ παρέχεις τινὶ ἄρτον, ὅτι οὐκ ἀφίησιν ὁ σατανᾶς.

68. Βλ. ὑποσημ. 36 σελ. 56.

69. Πιθανότατα ἡ ἀπάντηση τοῦ ἀββᾶ σημαίνει ὅτι ὁ τρόπος μοναχικῆς ζωῆς, τό νά ζεῖ δηλαδή κανείς περίπου ὡς ἔγκλειστος καί κάποιος διακονητής νά τόν φροντίζει, ἁρμόζει σ' αὐτούς πού ἔχουν φθάσει σέ κάποια μέτρα ἁγιότητος. Ἀλλιῶς, ἂν ὁ μοναχός εἶναι ἀνώριμος φαίνεται νά εἶναι στήν περίπτωση αὐτή ἀπό τ.ό πρῶτο σκέλος τοῦ ἀποφθέγματος— κινδυνεύει πειραζόμενος ἀπό τόν Σατανᾶ νά ἀποτύχει καί νά μήν ὠφελήσει κανέναν μέ τόν τρόπο αὐτό. Γι' αὐτό καί τόν ἀποτρέπει.

Αὐτός πού θέλει νά κυριαρχεῖ στήν ὀργή, μισεῖ νά περνάει τίς ὧρες του μαζί μέ πολλούς.

Αὐτός πού θέλει νά ἔχει ἀμνησικακία, ἀποφεύγει νά κακολογεῖ τούς ἄλλους.

Αὐτός πού θέλει νά εἶναι ἀπερίσπαστος, μένει στή μοναξιά.

Αὐτός πού θέλει νά κυριαρχεῖ στή γλώσσα, ἄς κλείνει τ' αὐτιά του νά μήν ἀκούει πολλά.

Αὐτός πού θέλει νά ἔχει τόν φόβο τοῦ Θεοῦ πάντοτε, θά μισήσει τή σωματική ἀνάπαυση[68] καί θά ἀγαπήσει τή θλίψη καί τή στενοχώρια».

49. Κάποιος ἀδελφός ρώτησε τόν ἀββᾶ Ἰωσήφ: «Ἐάν γίνει διωγμός, εἶναι σωστό νά καταφύγει κανείς στήν ἔρημο ἤ νά πάει σέ κατοικημένους τόπους;» Καί ὁ Γέροντας ἀπάντησε: «Ὅπου ἀκοῦς ὅτι εἶναι ὀρθόδοξοι, ἐκεῖ πήγαινε καί μεῖνε κοντά σ' αὐτούς· ἀλλά μή δημιουργεῖς φιλίες μέ παιδί διόλου οὔτε νά κατοικήσεις μαζί μέ παιδί. Καί ἐάν μπορέσεις νά μείνεις μέσα στό κελί σου, αὐτό εἶναι τό προτιμότερο. Καί νά καλλιεργεῖς τά λαχανικά πού σοῦ χρειάζονται, ἀντί νά πηγαίνεις καί νά ζητᾶς ἀπό κάποιον ἄλλο».

Πάλι τοῦ λέει ὁ ἀδελφός: «Ἐπιθυμία μου εἶναι νά κάνω τή μοναχική μου ζωή μαζί μέ κάποιον ἄλλο κοινοβιακά, γιά νά μπορῶ νά ἡσυχάζω στό κελί μόνος, καί αὐτός νά μοῦ προμηθεύει ὅ,τι εἶναι ἀνάγκη γιά τό ἐργόχειρό μου καί ὁ ἴδιος νά μέ διακονεῖ». Καί τοῦ λέει ὁ Γέροντας: «Οἱ πατέρες μας δέν τό ἐπιδοκίμασαν αὐτό τό πράγμα. Ἐάν δέν τό λάβεις ὑπόψιν σου, δέν θά προσφέρεις ψωμί σέ κανέναν, γιατί δέν θά σέ ἀφήσει ὁ Σατανᾶς»[69].

50. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἰσαὰκ ὅτι μέλλοντος αὐτοῦ τελευτᾶν, συνῆλθον πρὸς αὐτὸν οἱ Γέροντες καὶ ἔλεγον· Τί ποιήσομεν μετὰ σέ, πάτερ; Ὁ δὲ εἶπεν· Ἴδετε πῶς ἐπορεύθην ἐνώπιον ὑμῶν. Ἐὰν θέλητε καὶ ὑμεῖς ἀκολουθῆσαι καὶ φυλάξαι τὰς ἐντολὰς τοῦ Θεοῦ, πέμπει τὴν χάριν αὐτοῦ καὶ φυλάσσει τὸν τόπον τοῦτον. Ἐὰν δὲ μὴ φυλάξητε, οὐ μὴ μείνητε εἰς τὸν τόπον τοῦτον. Καὶ ἡμεῖς γάρ, ὅταν ἔμελλον ἀποθανεῖν οἱ πατέρες ἡμῶν, ἐλυπούμεθα, ἀλλὰ τὰς ἐντολὰς τοῦ Κυρίου καὶ αὐτῶν τὰς παραγγελίας τηροῦντες, ἑστήκαμεν ὡς αὐτῶν ὄντων μεθ' ἡμῶν. Οὕτως καὶ ὑμεῖς ποιήσατε καὶ σῴζεσθε.

51. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ἱέρακα λέγων· Εἰπέ μοι λόγον πῶς σωθῶ. Λέγει αὐτῷ ὁ Γέρων· Κάθου εἰς τὸ κελλίον σου· ἐὰν πεινᾷς, φάγε· ἐὰν διψᾷς, πίε· καὶ μὴ κακολογήσῃς τινὰ καὶ σῴζῃ.

52. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Κρόνιον· Τί ποιήσω τῇ λήθῃ τῇ αἰχμαλωτιζούσῃ τὸν νοῦν μου καὶ οὐκ ἐᾷ με αἰσθάνεσθαι, μέχρι με ἐνέγκῃ κατ' αὐτῆς τῆς ἁμαρτίας; Καὶ λέγει ὁ Γέρων· Ὅτε ἔλαβον τὴν κιβωτὸν οἱ ἀλλόφυλοι διὰ τὴν κακὴν πρᾶξιν τῶν υἱῶν Ἰσραήλ, ἔσυραν αὐτήν, ἕως οὗ ἤνεγκαν αὐτὴν εἰς τὸν οἶκον Δαγὼν τοῦ θεοῦ αὐτῶν.

70. Λήθη: Πρόκειται γιά τή λησμοσύνη τῆς ψυχῆς πού ὀφείλεται στή ραθυμία καί τήν ἀμέλεια. Εἶναι τό ἀντίθετο τῆς νήψης, τῆς ἐπαγρύπνησης τοῦ νοῦ καί τῆς καρδιᾶς.

Ὁ ἀββᾶς Μάρκος ὁ Ἀσκητής* λέει ὅτι ἡ λησμοσύνη, ἡ ραθυμία καί ἡ ἄγνοια εἶναι ὑποστηλώματα τῶν δαιμόνων μέσω τῶν ὁποίων ἐπιστρέφουν καί

50. Διηγοῦνταν γιά τόν ἀββᾶ Ἰσαάκ ὅτι, ὅταν ἐπρόκειτο νά πεθάνει, συγκεντρώθηκαν κοντά του οἱ Γέροντες καί τοῦ ἔλεγαν: «Τί θά κάνουμε ἐμεῖς, ὅταν φύγεις ἐσύ, πάτερ;» Κι ἐκεῖνος εἶπε: «Δεῖτε πῶς πέρασα τή ζωή μου ἐδῶ μαζί σας. Ἐάν θέλετε κι ἐσεῖς νά κάνετε τό ἴδιο καί τηρήσετε τίς ἐντολές τοῦ Θεοῦ, θά στείλει ὁ Θεός τή χάρη του καί θά προστατεύει τόν τόπο αὐτόν. Ἐάν ὅμως δέν τίς τηρήσετε, δέν μπορεῖτε νά μείνετε στόν τόπο αὐτόν. Καί ἐμεῖς βέβαια, ὅταν ἐπρόκειτο νά πεθάνουν οἱ πατέρες μας, αἰσθανόμασταν λύπη, ἀλλά τηρώντας τίς ἐντολές τοῦ Κυρίου καί τίς παραγγελίες τους μείναμε στηριγμένοι σάν νά ἦταν οἱ ἴδιοι μαζί μας. Τό ἴδιο κάντε κι ἐσεῖς καί θά πετύχετε τή σωτηρία».

51. Κάποιος ἀδελφός παρακάλεσε τόν ἀββᾶ Ἱέρακα: «Πές μου κάποιο λόγο πῶς μπορῶ νά σωθῶ;» Καί ὁ Γέροντας τοῦ λέει: «Μένε στό κελί σου. Ἐάν πεινᾶς, πάρε νά φᾶς· ἐάν διψᾶς, πάρε νά πιεῖς νερό· ἀλλά μήν πεῖς κακιά κουβέντα γιά κανένα· ἔτσι θά σωθεῖς».

52. Ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Κρόνιο: «Τί νά κάνω μέ τή λήθη[70] πού αἰχμαλωτίζει τόν νοῦ μου καί δέν μ' ἀφήνει νά ἀντιλαμβάνομαι, ἕως ὅτου μέ πλησιάσει στήν ἁμαρτία;» Τοῦ ἀπαντᾶ ὁ Γέροντας: «Ὅταν πῆραν τήν κιβωτό οἱ ἀλλόφυλοι, ἐξαιτίας τῆς κακῆς συμπεριφορᾶς τῶν Ἰσραηλιτῶν, τήν ἔσυραν, ὥσπου τήν ἔφεραν στόν οἶκο τοῦ Δαγών[71], τοῦ θεοῦ τους».

τά ὑπόλοιπα πάθη τῆς κακίας (Φιλοκαλία τ. Α΄. *Πρός Νικόλαον μονάζοντα*).

71. Θεός τῶν Φιλισταίων. Γιά τό περιστατικό τῆς αἰχμαλωσίας τῆς κιβωτοῦ ἀπό τούς Φιλισταίους καί τῆς μεταφορᾶς της στόν ναό τοῦ θεοῦ τους Δαγών βλ. Α΄ Βασ. 4, 3-22 καί 5, 1-2.

Καὶ τότε ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ καὶ λέγει ὁ ἀδελφός· Τί ἐστι τοῦτο; Ὁ δὲ Γέρων εἶπεν ὅτι· Ἐὰν φθάσωσιν αἰχμαλωτίσαι τὸν νοῦν τοῦ ἀνθρώπου διὰ τῶν ἰδίων ἀφορμῶν αὐτοῦ, οὕτως ὑποσύρουσιν αὐτόν, ἕως ἂν ἐνέγκωσιν αὐτὸν ἐπάνω τοῦ ἀοράτου πάθους· ἐν ἐκείνῳ οὖν τῷ τόπῳ ἐὰν στραφῇ ὁ νοῦς καὶ ζητήσῃ τὸν Θεὸν καὶ μνημονεύσῃ τῆς αἰωνίου κρίσεως, εὐθὺς τὸ πάθος πίπτει καὶ ἀφανὲς γίνεται· γέγραπται γάρ, ὅταν ἀποστραφεὶς στενάξῃς, τότε σωθήσῃ καὶ γνώσῃ ποῦ ἦσθα.

53. Εἶπεν ὁ ἀββᾶς Κρόνιος ὅτι· Εἰ μὴ ἤγαγε Μωυσῆς τὰ πρόβατα ἐπὶ τὸ ὄρος Σινᾶ, οὐκ ἂν ἔβλεπε τὸ πῦρ ἐν τῇ βάτῳ· ἠρώτησε δὲ ἀδελφὸς τὸν Γέροντα· Εἰς τί λαμβάνεται ἡ βάτος; Καὶ λέγει αὐτῷ ὅτι· Ἡ βάτος λαμβάνεται εἰς τὴν σωματικὴν πρᾶξιν· γέγραπται γὰρ ὅτι ὁμοία ἐστὶν ἡ Βασιλεία τῶν Οὐρανῶν θησαυρῷ κεκρυμμένῳ ἐν ἀγρῷ.

Λέγει ὁ ἀδελφὸς τῷ Γέροντι· Οὐκοῦν ἐκτὸς καμάτου σωματικοῦ οὐ προκόπτει ἄνθρωπος εἴς τινα τιμήν; Λέγει αὐτῷ ὁ Γέρων· Τέως γέγραπται· Ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν, ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς ὑπέμεινε σταυρόν. Καὶ πάλιν Δαβὶδ λέγει· Εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου καὶ τοῖς βλεφάροις μου νυσταγμὸν καὶ τὰ ἑξῆς.

72. Ἐννοεῖ τούς δαίμονες ἐδῶ, πού καιροφυλακτοῦν πάντοτε νά αἰχμαλωτίσουν τήν ψυχή, ἰδιαίτερα ὅταν ἡ ἴδια ἡ ψυχή ἀπό δική της ὑπαιτιότητα, τρόπον τινά, τούς προκαλεῖ.

73. Ἡσ. 30, 15. 74. Ματθ. 13, 14.

75. Ἑβρ. 12, 2.

Ἔπεσε τότε μέ τό πρόσωπο στή γῆ ὁ ἀδελφός καί εἶπε: «Τί σημαίνει αὐτό;» Καί ὁ Γέροντας ἀποκρίθηκε: «Ἐάν οἱ ἀλλόφυλοι τῆς ψυχῆς[72] προλάβουν νά αἰχμαλωτίσουν τόν νοῦ τοῦ ἀνθρώπου ἀπό ἀφορμές πού δίνει ὁ ἴδιος, τόν σέρνουν κατά τόν ἴδιο τρόπο, ἕως ὅτου τόν φέρουν πάνω στό ἀόρατο πάθος. Σ' ἐκεῖνο τό σημεῖο ἀκριβῶς, ἄν κάνει στροφή ὁ νοῦς καί ζητήσει τόν Θεό ἐνθυμούμενος μάλιστα τήν αἰώνια κρίση, εὐθύς τό πάθος πέφτει καί ἐξαφανίζεται. Ἔχει γραφεῖ ἄλλωστε ὅτι, "ἐάν ἀπομακρυνθεῖς ἀπό τόν δρόμο σου καί στενάξεις μετανοώντας, τότε μόνο θά σωθεῖς καί θά καταλάβεις σέ τί κατάπτωση βρισκόσουν"[73]».

53. Εἶπε ὁ ἀββᾶς Κρόνιος: «Ἐάν ὁ Μωυσῆς δέν ὁδηγοῦσε τά πρόβατα στό ὄρος Σινᾶ, δέν θά ἔβλεπε τή φωτιά στή βάτο».

Ρώτησε τότε ἕνας ἀδελφός τόν Γέροντα: «Τί σημαίνει ἡ βάτος;» Καί τοῦ λέει: «Ἡ βάτος συμβολίζει ἐδῶ τή σωματική ἐργασία. Γιατί ἡ Γραφή ἀναφέρει ὅτι ἡ Βασιλεία τῶν Οὐρανῶν μοιάζει μέ θησαυρό κρυμμένο μέσα στό χωράφι»[74].

Λέει ὁ ἀδελφός στόν Γέροντα: «Λοιπόν, χωρίς τόν σωματικό κόπο δέν μπορεῖ νά κάνει κανείς κάποια πρόοδο ἀξιόλογη;» Καί τοῦ ἀπαντᾶ ὁ Γέροντας: «Ἀπό καιρό εἶναι γραμμένο: "Ἄς ἔχουμε στραμμένα τά μάτια στόν Ἰησοῦ, τόν ἀρχηγό τῆς πίστεώς μας πού μᾶς τελειοποιεῖ σ' αὐτήν καί ὁ ὁποῖος, ἀντί τῆς χαρᾶς πού θά μποροῦσε νά ἔχει, ὑπέμεινε σταυρικό θάνατο"[75]. Ἐπίσης καί ὁ Δαβίδ λέει: "Δέν θά δώσω ὕπνο στά μάτια μου καί νύστα στά βλέφαρά μου" κλπ.»[76]

76. Ψαλμ. 131, 2-5.

Στήν ἐρώτηση τοῦ ἀδελφοῦ ἄν χωρίς τόν σωματικό κόπο δέν μπορεῖ κανείς νά προοδεύσει, ὡς ἀπάντηση ὁ ἀββᾶς προβάλλει τό πρῶτο καί μέγιστο ὑπόδειγμα, τόν Κύριο, ὁ ὁποῖος «ἀντί τῆς προκειμένης αὐτῷ χαρᾶς, ὑπέμεινε

54. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Κρόνιον· Εἰπέ μοι ῥῆμα. Καὶ λέγει αὐτῷ ὅτι· Ἐν τῷ ἐλθεῖν τὸν Ἐλισσαῖον πρὸς τὴν Σωμανῖτιν, εὗρεν αὐτὴν μὴ ἔχουσαν πρᾶγμα μετά τινος· συνέλαβεν οὖν καὶ ἔτεκε διὰ τῆς παρουσίας Ἐλισσαίου. Λέγει αὐτῷ ὁ ἀδελφός· Τί ἐστι τὸ ῥῆμα τοῦτο; Καὶ λέγει ὁ Γέρων ὅτι· Ἡ ψυχὴ ἐὰν νήψῃ καὶ συστείλῃ ἑαυτὴν ἀπὸ τοῦ περισπασμοῦ καὶ καταλείψῃ τὰ θελήματα αὐτῆς, τότε τὸ Πνεῦμα τοῦ Θεοῦ παραβάλλει αὐτῇ καὶ δύναται λοιπὸν γεννῆσαι, ἐπειδὴ στεῖρά ἐστιν.

55. Εἶπεν ὁ ἀββᾶς Μακάριος· Μὴ κοιμηθῇς εἰς κελλίον ἀδελφοῦ ἔχοντος κακὴν φήμην.

56. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Μακάριον τὸν μέγαν περὶ τελειότητος καὶ ἀποκριθεὶς ὁ Γέρων εἶπεν· Ἐὰν μὴ κτή-

σταυρόν», καί τόν προφήτη Δαβίδ, ἄνθρωπο πού βρῆκε «κατά τὴν καρδίαν του» ὁ Θεός, ὁ ὁποῖος πλημμυρισμένος ἀπό ἀγάπη στόν Θεό καί ἱερό ζῆλο ὑπόσχεται ὅτι δέν θά ἐπιτρέψει στόν ἑαυτό του τήν παραμικρή ἀνάπαυση, πρίν ἑτοιμάσει κατάλληλο τόπο γιά τήν κιβωτό τοῦ Θεοῦ, γιά τόν οἶκο δηλαδή τοῦ Θεοῦ.

Στά ἴχνη τοῦ Κυρίου βάδισαν οἱ Ἀπόστολοι καί ὅλος ὁ χορός τῶν ἁγίων, τῶν ὁσίων καί μαρτύρων τῆς Ἐκκλησίας.

Τόν σωματικό κόπο πρέπει νά τόν ἐννοήσουμε μέ τίς δυό του ὄψεις: Ἡ μία εἶναι ὁ κόπος πού καταβάλλει καθημερινά ὁ μοναχός στήν ἄσκηση τῶν μοναχικῶν του καθηκόντων. Τή μεγάλη ὥρα καθιερώσεώς του ἄκουσε ἀπό τόν πνευματικό του πατέρα πού τόν προσέφερε ἐν μυστηρίῳ στόν Θεό, ὅτι καλεῖται νά ἑτοιμασθεῖ «μὴ πρὸς ἄνεσιν, μὴ πρὸς ἀμεριμνίαν, μὴ πρὸς τρυφάς... ἀλλά πρὸς ἀγῶνας πνευματικούς, πρὸς ἐγκράτειαν σαρκός... καὶ πρὸς πάντα τά λυπηρά καί ἐπίπονα τῆς χαροποιοῦ κατά Θεὸν ζωῆς» (ἀπό τήν Ἀκολουθία τοῦ μεγάλου ἀγγελικοῦ σχήματος). Καί θά πεινάσει καί θά διψάσει καί θά ἀγρυπνήσει καί θά εἶναι ἕτοιμος νά ὑποστεῖ μετά χαρᾶς ὁποιονδήποτε κόπο καί πόνο θά τοῦ ζητήσει ὁ Θεός στόν δρόμο τῆς μοναχικῆς του ζωῆς.

54. Ἕνας ἀδελφός παρακάλεσε τόν ἀββᾶ Κρόνιο: «Πές μου κάποιον ὠφέλιμο λόγο». Καί τοῦ λέει: «Ὅταν ὁ Ἐλισαῖος πῆγε στή Σωμανίτιδα, τή βρῆκε νά εἶναι ἄτεκνη. Μέ τήν εὐλογημένη ὅμως παρουσία τοῦ Ἐλισαίου καί σύμφωνα μέ τόν προφητικό του λόγο ἀπέκτησε παιδί»[77].

Τόν ρωτάει ὁ ἀδελφός: «Τί σημαίνουν αὐτά;» Καί τοῦ ἀπαντᾶ ὁ Γέροντας: «Ἐάν ἡ ψυχή βρεθεῖ σέ νηφάλια κατάσταση[77α] καί συμμαζέψει τόν ἑαυτό της ἀπό τούς περισπασμούς καί ἐγκαταλείψει τά θελήματά της, τότε τήν ἐπισκέπτεται τό Πνεῦμα τοῦ Θεοῦ καί μπορεῖ νά γεννήσει, γιατί ἀλλιῶς εἶναι στεῖρα».

55. Εἶπε ὁ ἀββᾶς Μακάριος*: «Μήν κοιμηθεῖς σέ κελί ἀδελφοῦ πού ἔχει κακή φήμη».

56. Ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Μακάριο τόν μέγα σχετικά μέ τήν τελειότητα. Καί ἀπάντησε ὁ Γέροντας τά ἑξῆς:

Ἡ δεύτερη ὄψη τοῦ σωματικοῦ κόπου εἶναι ἡ πρακτική ἐργασία. Εἶναι πολύ χαρακτηριστικά αὐτά πού λέει ὁ ἅγιος Κασσιανός ὁ Ρωμαῖος: «Ἔχοντας ὑπόψιν τους τίς ἀποστολικές διαταγές οἱ ἅγιοι πατέρες τῆς Αἰγύπτου, δέν ἀφήνουν ποτέ νά μένουν ἀργοί οἱ μοναχοί καί μάλιστα οἱ νεώτεροι, ἐπειδή γνωρίζουν ὅτι μέ τήν ὑπομονή τῆς ἐργασίας καί τήν ἀκηδία διώχνουν καί τήν τροφή τους προμηθεύονται καί βοηθοῦν ὅσους ἔχουν ἀνάγκη». Καί προσθέτει παρακάτω: «Λένε ἐπίσης οἱ πατέρες ὅτι ὁ ἐργαζόμενος πολεμᾶ μ' ἕναν δαίμονα, πολλές φορές, καί θλίβεται ἀπ' αὐτόν, ἐνῶ ὁ ἀργός αἰχμαλωτίζεται ἀπό χιλιάδες πονηρά πνεύματα» (Φιλοκαλία τ. Α΄. *Πρὸς Κάστορα ἐπίσκοπον* κεφ. 6ο, Περί ἀκηδίας). Πρβλ. Β΄ Θεσσ. 3, 6-12. Βλ. καί ἀπόφθ. Β 75.

77. Δ΄ Βασ. 4, 8-37.

77α. Οἱ ὅροι νήφω, νῆψις, νηφάλιος στά πατερικά κείμενα δηλώνουν τήν ἐπαγρύπνηση τοῦ νοῦ καί τῆς καρδιᾶς πρός ἀποφυγήν τῆς ἁμαρτίας καί παντός πράγματος πού ἀντίκειται στό θέλημα τοῦ Θεοῦ. Ἡ νήψη ἀποτελεῖ ἀπαραίτητη προϋπόθεση γιά τήν τελείωση τοῦ Χριστιανοῦ καί ἡ πρακτική της ὄψη εἶναι αὐτοσυγκέντρωση μετά εὐχῆς καί προσευχῆς.

σηται ἄνθρωπος ταπείνωσιν μεγάλην ἐν τῇ καρδίᾳ καὶ ἐν τῷ σώματι·

καὶ τὸ μὴ μετρεῖν ἑαυτὸν ἐν μηδενὶ πράγματι, ἀλλὰ μᾶλλον τιθέναι ἑαυτὸν ἐν ταπεινώσει ὑποκάτω πάσης τῆς κτίσεως, καὶ τὸ μὴ κρίνειν ὅλως τινὰ εἰμὴ ἑαυτὸν μόνον, καὶ τὸ ὑποφέρειν ὕβριν καὶ τὸ ἀπορρίπτειν ἀπὸ τῆς καρδίας πᾶσαν κακίαν·

καὶ τὸ βιάζεσθαι ἑαυτὸν εἶναι μακρόθυμον, χρηστὸν καὶ φιλάδελφον, σώφρονα, ἐγκρατῆ· γέγραπται γάρ· Βιαστῶν ἐστὶν ἡ Βασιλεία τῶν Οὐρανῶν καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν·

καὶ τὸ ὀρθὰ βλέπειν τοῖς ὀφθαλμοῖς καὶ τὸ φυλακὴν ἔχειν τῆς γλώσσης καὶ ἀποστροφὴν πάσης ἀκοῆς ματαίας καὶ ψυχοφθόρου·

καὶ τὴν τῶν χειρῶν δικαιοσύνην καὶ τὸ τῆς καρδίας καθαρὸν πρὸς τὸν Θεὸν καὶ τὸ τοῦ σώματος ἄσπιλον καὶ τὸ ἔχειν τὴν μνήμην τοῦ θανάτου πρὸ ὀφθαλμῶν καθ' ἡμέραν καὶ ἀποταγὴν τῆς κατὰ πνεῦμα ὀργῆς καὶ κακίας·

ἀποταγὴν τῆς ὕλης καὶ τῶν κατὰ σάρκα ἡδονῶν καὶ ἀποταγὴν τῷ διαβόλῳ καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ, συνταγὴν δὲ βεβαίαν τῷ παμβασιλεῖ Θεῷ καὶ πάσαις ταῖς ἐντολαῖς αὐτοῦ καὶ τὸ ἀδιαλείπτως προσεύχεσθαι καὶ τὸ ἐν παντὶ καιρῷ καὶ πράγματι καὶ ἐν παντὶ ἔργῳ παρεδρεύειν Θεῷ, οὐ δύναται τέλειος εἶναι.

57. Εἶπεν ὁ ἀββᾶς Μᾶρκος· Ὁ νόμος τῆς ἐλευθερίας διδάσκει πᾶσαν ἀλήθειαν καὶ οἱ μὲν πολλοὶ τοῦτον κατὰ γνῶσιν ἀναγινώσκουσιν, ὀλίγοι δὲ νοοῦσιν αὐτὸν κατὰ ἀνα-

«Δέν μπορεῖ νά εἶναι κανείς τέλειος, ἐάν δέν ἀποκτήσει ταπείνωση μεγάλη στήν καρδιά καί στό σῶμα· ἐάν δέν μάθει δηλαδή:

νά μήν ὑπολογίζει τόν ἑαυτό του σέ καμιά περίπτωση ἀλλά νά προτιμᾶ νά βάζει ταπεινά τόν ἑαυτό του χαμηλότερα ἀπ' ὅλη τήν κτίση· νά μήν κρίνει διόλου κάποιον, παρά μόνο τόν ἑαυτό του· νά ὑπομένει τήν καταφρόνια καί νά ἀποστρέφεται ὁλόψυχα κάθε κακία·

νά βιάζει τόν ἑαυτό του νά 'ναι μακρόθυμος, ἀγαθός, ν' ἀγαπᾶ τούς ἀδελφούς, νά εἶναι σώφρων, νά κυριαρχεῖ στόν ἑαυτό του, γιατί λέει ἡ ἁγία Γραφή "ἡ Βασιλεία τῶν Οὐρανῶν ἀνήκει σ' αὐτούς πού ἀσκοῦν βία στόν ἑαυτό τους καί αὐτοί οἱ ἀγωνιστές τήν κερδίζουν"[78]·

νά βλέπει ἴσια μέ τά μάτια· νά φρουρεῖ τή γλώσσα καί ν' ἀποφεύγει ν' ἀκούει μάταια πράγματα πού φθείρουν τήν ψυχή·

τά χέρια νά κινοῦνται γιά νά κάνουν τό θέλημα τοῦ Θεοῦ· ἡ καρδιά νά εἶναι καθαρή ἔναντι τοῦ Θεοῦ καί τό σῶμα ἀμόλυντο· νά ἔχει τή μνήμη τοῦ θανάτου καθημερινά· ν' ἀποκηρύσσει τήν ἐσωτερική ὀργή καί κακία·

νά ἀποτάσσεται τά ὑλικά καί τίς σαρκικές ἡδονές· νά ἀποτάσσεται τόν διάβολο καί ὅλα τά ἔργα αὐτοῦ καί νά συντάσσεται σταθερά μέ τόν Βασιλιά τῶν πάντων Θεό καί μ' ὅλες τίς ἐντολές του· νά προσεύχεται ἀδιάκοπα καί νά παραμένει κοντά στόν Θεό πάντοτε, σέ κάθε περίσταση καί σέ κάθε ἐργασία».

57. Εἶπε ὁ ἀββᾶς Μάρκος*: «Ὁ νόμος τῆς ἐλευθερίας διδάσκει ὅλη τήν ἀλήθεια. Ὅμως οἱ περισσότεροι αὐτόν τόν νόμο τόν διαβάζουν, γιά νά τόν γνωρίζουν, καί λίγοι

78. Ματθ. 11, 12

λογίαν τῆς ἐργασίας τῶν ἐντολῶν· μὴ ζήτει αὐτοῦ τὴν τελειότητα ἐν ἀρεταῖς ἀνθρωπίναις· τέλειος γὰρ ἐν αὐταῖς οὐχ εὑρίσκεται, ἡ γὰρ τελειότης αὐτοῦ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ ἐγκέκρυπται.

58. Ἀδελφὸς παρέβαλεν εἰς τὴν Σκήτην πρὸς τὸν ἀββᾶν Μωυσῆν αἰτούμενος παρ' αὐτοῦ λόγον. Λέγει αὐτῷ ὁ Γέρων· Ὕπαγε, κάθισον εἰς τὸ κελλίον σου καὶ τὸ κελλίον διδάσκει σε πάντα.

59. Εἶπεν ὁ ἀββᾶς Μωυσῆς· Ὁ ἔχων ἔγγιστα αὐτοῦ τὸν Ἰησοῦν καὶ ἀδολεσχῶν εἰς αὐτόν, καλῶς ποιεῖ μὴ εἰσφέρων ἄνθρωπον εἰς τὸ κελλίον αὐτοῦ.

60. Εἶπε πάλιν· Ἀδύνατον κτήσασθαί τινα τὸν Ἰησοῦν εἰ μὴ διὰ κόπου καὶ ταπεινώσεως καὶ προσευχῆς ἀπαύστου.

61. Εἶπεν ὁ ἀββᾶς Ματώης ὅτι τρεῖς Γέροντες ἀπῆλθον πρὸς τὸν ἀββᾶν Παφνούτιον τὸν λεγόμενον Κεφαλᾶν, ἵνα ἐρωτήσωσι λόγον, καὶ εἶπεν αὐτοῖς ὁ Γέρων· Τί θέλετε εἴπω ὑμῖν, πνευματικὸν ἢ σωματικόν; Λέγουσιν αὐτῷ· Πνευματικόν. Λέγει αὐτοῖς ὁ Γέρων· Ὑπάγετε, ἀγαπήσατε τὴν θλῖψιν

79. Ἰακ. 1, 25. 80. Ἰω. 8, 31-32 καί 36.
81. Βλ. Εἰσαγ. σελ. 22.
82. Ἀδολεσχῶ-ἀδολεσχία: Σπάνια στά ἱερά κείμενα συναντῶνται οἱ λέξεις αὐτές μέ τήν ἀρχική τους ἔννοια, τήν ἀρνητική, ὡς πολυλογία, φλυαρία ἤ καί ἀνήσυχη σκέψη.

τόν καταλαβαίνουν σέ ἀναλογία μέ τήν πραγματοποίηση τῶν ἐντολῶν τοῦ Θεοῦ[79].

Μή ζητᾶς τήν τελειότητα τοῦ νόμου αὐτοῦ στίς ἀνθρώπινες ἀρετές. Γιατί μ' αὐτές δέν μπορεῖ νά γίνει κανείς τέλειος. Ἡ τελειότητά του εἶναι κρυμμένη βαθιά μέσα στόν σταυρό τοῦ Χριστοῦ»[80].

58. Ἕνας ἀδελφός ἦρθε στή Σκήτη[81] καί συνάντησε τόν ἀββᾶ Μωυσῆ* παρακαλώντας τον νά τοῦ πεῖ ἕναν λόγο. Καί τοῦ λέει ὁ Γέροντας: «Πήγαινε, κάθησε στό κελί σου καί τό κελί θά σοῦ τά διδάξει ὅλα».

59. Εἶπε ὁ ἀββᾶς Μωυσῆς: «Αὐτός πού ἔχει πολύ κοντά του τόν Ἰησοῦ καί ἀδολεσχεῖ[82] σ' αὐτόν, καλά κάνει πού δέν βάζει ἄνθρωπο μέσα στό κελί του».

60. Εἶπε ἐπίσης: «Εἶναι ἀδύνατο νά ἀποκτήσει κανείς τόν Ἰησοῦ, παρά μόνο μέ κόπο, μέ ταπείνωση καί μέ προσευχή ἀκατάπαυστη».

61. Εἶπε ὁ ἀββᾶς Ματώης ὅτι τρεῖς Γέροντες πῆγαν καί βρῆκαν τόν ἀββᾶ Παφνούτιο* τόν ἐπονομαζόμενο Κεφαλᾶ, γιά νά τοῦ ζητήσουν νά τούς πεῖ κάποιον λόγο, καί τούς εἶπε ὁ Γέροντας: «Τί θέλετε νά σᾶς πῶ, λόγο πού ἀφορᾶ τήν πνευματική ζωή ἤ τήν ὑλική;» «Τήν πνευματική» τοῦ ἀπαντοῦν. Καί τούς λέει ὁ Γέροντας: «Πηγαίνετε,

Συνηθέστατα χρησιμοποιοῦνται μέ τήν ἔννοια τῆς στροφῆς καί παραμονῆς τοῦ νοῦ καί τῆς καρδιᾶς στόν Θεό, στίς ἐντολές του καί σέ ὁποιο ἄλλο ἱερό θέμα, γιά βαθύτερη μελέτη καί βίωση αὐτοῦ. Ὁπότε μποροῦμε νά ποῦμε ὅτι εἶναι συνώνυμες μέ τίς λέξεις καί φράσεις: παραμένω μέ τόν λογισμό ἤ καί τήν καρδιά σέ κάτι, εἶμαι προσηλωμένος, μελετῶ, ἐμβαθύνω, ἐντρυφῶ· καθώς καί μέ ἄλλες λέξεις πού ἔχουν παρόμοια σημασία.

ὑπὲρ τὴν ἀνάπαυσιν καὶ τὴν ἀτιμίαν πλέον τῆς δόξης καὶ τὸ διδόναι μᾶλλον ἢ λαμβάνειν.

62. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Ποῖον καλὸν πρᾶγμά ἐστιν, ἵνα ποιήσω καὶ ζήσομαι ἐν αὐτῷ; Καὶ εἶπεν ὁ Γέρων· Ὁ Θεὸς οἶδε τὸ καλόν, ἀλλ᾽ ἤκουσα ὅτι ἠρώτησέ τις τῶν πατέρων τὸν ἀββᾶν Νισθερῶον τὸν μέγαν, τὸν φίλον τοῦ ἀββᾶ Ἀντωνίου, καὶ εἶπεν αὐτῷ· Ποῖον καλὸν ἔργον ἐστὶν ἵνα ποιήσω; Καὶ εἶπεν αὐτῷ· Οὐκ εἰσὶ πᾶσαι αἱ ἀρεταὶ ἴσαι; Ἡ γὰρ Γραφὴ λέγει ὅτι Ἀβραὰμ φιλόξενος ἦν καὶ ὁ Θεὸς μετ᾽ αὐτοῦ ἦν καὶ Ἠλίας ἠγάπα τὴν ἡσυχίαν καὶ ὁ Θεὸς ἦν μετ᾽ αὐτοῦ καὶ ὁ Δαβὶδ ταπεινὸς ἦν καὶ ὁ Θεὸς ἦν μετ᾽ αὐτοῦ· ὃ οὖν θεωρεῖς τὴν ψυχήν σου θέλουσαν κατὰ Θεόν, τοῦτο ποίησον καὶ τήρει τὴν καρδίαν σου.

63. Ἔλεγεν ὁ ἀββᾶς Ποιμὴν περὶ τοῦ ἀββᾶ Νισθερώου ὅτι, ὥσπερ ὁ ὄφις ὁ χαλκοῦς ὃν ἐποίησε Μωυσῆς εἰς θεραπείαν τοῦ λαοῦ, οὕτως ἦν ὁ Γέρων· πᾶσαν ἀρετὴν ἔχων καὶ σιγῶν πάντας ἐθεράπευεν. Ἐρωτηθεὶς δὲ ὁ ἀββᾶς Νισθερῶος παρὰ τοῦ ἀββᾶ Ποιμένος πόθεν ἐκτήσατο τὴν ἀρετὴν ταύτην, ὅτι, ὁτεδήποτε συνέβη θλῖψις εἰς τὸ κοινόβιον, οὐκ ἐλάλει οὐδὲ ἐμέσαζεν, ἀπεκρίθη· Συγχώρησόν μοι, ἀββᾶ, ὅτε εἰσῆλθον ἀρχὴν εἰς τὸ κοινόβιον, εἶπον τῷ λογισμῷ μου ὅτι σὺ καὶ ὁ ὄνος ἓν ἔσται· ὥσπερ ὁ ὄνος δέρεται καὶ οὐ λαλεῖ, ὑβρίζεται καὶ οὐδὲν ἀποκρίνεται, οὕτως καὶ

83. Πρ. 20, 35.

ἀγαπῆστε τή θλίψη παραπάνω ἀπό τήν ἀνάπαυση, τήν καταφρόνια περισσότερο ἀπό τή δόξα, καθώς καί τό νά δίνετε παρά νά παίρνετε[83]».

62. Ἕνας ἀδελφός ρώτησε κάποιον Γέροντα: «Ποιό καλό πράγμα ὑπάρχει, γιά νά τό κάνω καί νά βρῶ ζωή μέσα σ᾽ αὐτό;» Καί εἶπε ὁ Γέροντας: «Ὁ Θεός γνωρίζει τό καλό. Ὅμως ἄκουσα ὅτι κάποιος ἀπό τούς πατέρες ρώτησε τόν ἀββᾶ Νισθερῶο τόν μεγάλο, τόν φίλο τοῦ ἀββᾶ Ἀντωνίου· "Ποιό θεωρεῖται ἔργο καλό γιά νά τό κάνω;" Κι ἐκεῖνος τοῦ εἶπε: Ὅλες οἱ ἀρετές δέν εἶναι ἰσοδύναμες; Ἡ ἁγία Γραφή λέει ὅτι ὁ Ἀβραάμ ὑπῆρξε φιλόξενος καί εἶχε τόν Θεό μαζί του. Ὁ Ἠλίας ἀγαποῦσε τήν ἡσυχία καί ὁ Θεός ἦταν μαζί του. Ὁ Δαβίδ ἦταν ταπεινός καί ὁ Θεός ἦταν μαζί του. Ὅ,τι λοιπόν καταλαβαίνεις νά θέλει ἡ ψυχή σου πού εἶναι σύμφωνο μέ τό θέλημα τοῦ Θεοῦ, αὐτό κάνε καί κράτα ἄγρυπνη τήν καρδιά σου».

63. Ἔλεγε ὁ ἀββᾶς Ποιμήν* γιά τόν ἀββᾶ Νισθερῶο ὅτι, ὅπως ἀκριβῶς ἦταν τό χάλκινο φίδι πού ἔκανε ὁ Μωυσῆς γιά τή θεραπεία τοῦ λαοῦ[84], τό ἴδιο συνέβαινε καί μέ τόν Γέροντα. Προικισμένος μέ ὅλες τίς ἀρετές καί σιωπηλός ὅλους τούς θεράπευε.

Κάποτε λοιπόν ρώτησε ὁ ἀββᾶς Ποιμήν τόν ἀββᾶ Νισθερῶο πῶς ἀπέκτησε τήν ἀρετή αὐτή, γιατί ὅσες φορές συνέβη κάποια στενοχώρια μέσα στό κοινόβιο, δέν μιλοῦσε οὔτε ἔπαιρνε μέρος, κι ἐκεῖνος ἀπάντησε: «Συγχώρα με, ἀββᾶ, ὅταν πρωτομπῆκα στό κοινόβιο, εἶπα στόν λογισμό μου ὅτι ἐσύ καί ὁ γάϊδαρος τό ἴδιο θά εἶστε. Ὅπως ἀκριβῶς τό γαϊδούρι τό δέρνουν καί δέν μιλάει, τό βρίζουν

84. Ἀρ. 21, 9.

σύ, καθὼς ὁ ψαλμὸς λέγει· Κτηνώδης ἐγενήθην παρὰ σοί· κἀγὼ διὰ παντὸς μετὰ σοῦ.

64. Εἶπεν ὁ ἀββᾶς Ποιμὴν ὅτι· Τὸ φυλάσσειν καὶ ἑαυτῷ προσέχειν καὶ ἡ διάκρισις, αἱ τρεῖς αὗται ἀρεταὶ ὁδηγοί εἰσι τῆς ψυχῆς.

65. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων· Πῶς ὀφείλει ἄνθρωπος πολιτεύσασθαι; Λέγει αὐτῷ ὁ Γέρων· Ὁρῶμεν τὸν Δανιὴλ ὅτι οὐχ ηὕρηται κατ' αὐτοῦ κατηγορία εἰ μὴ ἐν ταῖς λειτουργίαις τοῦ Θεοῦ αὐτοῦ.

66. Εἶπε πάλιν· Ἡ πενία καὶ ἡ θλῖψις καὶ ἡ διάκρισις, ταῦτά εἰσι τὰ ἐργαλεῖα τοῦ μονήρους βίου. Γέγραπται γὰρ ὅτι· Ἐὰν ὦσιν οἱ τρεῖς οὗτοι ἄνδρες, Νῶε, Ἰὼβ καὶ Δανιήλ, ζῶ ἐγὼ λέγει ὁ Κύριος. Νῶε πρόσωπόν ἐστι τῆς ἀκτημοσύνης, Ἰὼβ δὲ τοῦ πόνου καὶ Δανιὴλ τῆς διακρίσεως. Ἐὰν οὖν ὦσιν αἱ τρεῖς αὗται πράξεις ἐν τῷ ἀνθρώπῳ, ὁ Θεὸς οἰκεῖ ἐν αὐτῷ.

67. Εἶπε πάλιν ὅτι· Ἐὰν δύο πράγματα μισῇ ὁ μοναχός, δύναται ἐλεύθερος γενέσθαι ἀπὸ τοῦ κόσμου. Καὶ εἶπεν ὁ

85. Ψαλμ. 72, 22.

86. Συνάδελφοι τοῦ Δανιήλ, ἀξιωματοῦχοι, κινούμενοι ἀπό φθόνο ἤθελαν νά τόν κατηγορήσουν στόν βασιλιά τῶν Περσῶν Δαρεῖο, ὥστε νά ἀποβάλει τήν ἐκτίμηση πού τοῦ εἶχε καί νά τόν καθαιρέσει ἀπό τό ὑψηλό ἀξίωμα πού τοῦ εἶχε ἀναθέσει· ἀλλά δέν μπόρεσαν νά βροῦν ἀφορμή, γιατί ἦταν ἄμεμπτος στό ἦθος. Γι' αὐτό ἐπινόησαν νά προκαλέσουν διαταγή, βάσει τῆς

καί τίποτε δέν ἀπαντάει, ἔτσι θά 'σαι κι ἐσύ, ὅπως κι ὁ ψαλμός τό λέει: Ἔγινα ἐνώπιόν σου ὅμοιος μέ κτῆνος· καί πιστός σέ σένα, θά εἶμαι πάντοτε μαζί σου[85]».

64. Εἶπε ὁ ἀββᾶς Ποιμήν: «Ἡ ἐπαγρύπνηση καί ἡ προσοχή στόν ἑαυτό μας καί ἡ διάκριση, αὐτές οἱ τρεῖς ἀρετές εἶναι ὁδηγοί τῆς ψυχῆς».

65. Ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Ποιμένα: «Πῶς πρέπει ὁ ἄνθρωπος νά συμπεριφέρεται;» Καί τοῦ λέει ὁ Γέροντας: «Βλέπουμε τόν Δανιήλ ὅτι καμιά κατηγορία δέν βρέθηκε ἐναντίον του παρά μόνο μές στή διακονία τοῦ Θεοῦ του[86]».

66. Εἶπε ἐπίσης: «Ἡ φτώχεια, ἡ θλίψη καί ἡ διάκριση, αὐτά εἶναι τά ἐργαλεῖα τοῦ μοναχικοῦ βίου. Γιατί εἶναι γραμμένο: "Ἐάν ὑπάρχουν οἱ τρεῖς αὐτοί ἄνδρες, ὁ Νῶε, ὁ Ἰώβ καί ὁ Δανιήλ, 'ζῶ ἐγώ' λέει ὁ Κύριος"[87]. Τό ὄνομα Νῶε ἐκπροσωπεῖ τήν ἀκτημοσύνη, τό ὄνομα Ἰώβ τόν πόνο καί τό ὄνομα Δανιήλ τή διάκριση. Ἐάν λοιπόν ὑπάρχουν οἱ τρεῖς αὐτές λειτουργίες μέσα στόν ἄνθρωπο, κατοικεῖ μέσα σ' αὐτόν ὁ Θεός».

67. Εἶπε ἄλλη φορά ὁ ἀββᾶς Ποιμήν: «Ἐάν δύο πράγματα μισεῖ ὁ μοναχός, μπορεῖ νά ἀποδεσμευθεῖ ἀπό τόν κό-

ὁποίας ὁποιος κατά τήν διάρκεια τριάντα ἡμερῶν ζητήσει κάτι ἀπό ὁποιονδήποτε ἄλλο θεό ἤ ἄνθρωπο ἐκτός τοῦ Δαρείου, νά ρίχνεται στόν λάκκο τῶν λεόντων. Ἦταν βέβαιοι ὅτι ὁ Δανιήλ δέν θά πρόδιδε τήν διακονία του πρός τόν Θεό πού πίστευε καί ἔτσι ἡ ἐπιβουλή τους θά ἔφερνε τό ποθούμενο ἀποτέλεσμα· ὅπως καί ἔγινε (Δαν. 6, 5 κ.ἑ.).

87. Ἰεζ. 14, 14.

ἀδελφός· Ποῖα ταῦτα; Καὶ ἀπεκρίθη· Τὴν σαρκικὴν ἀνάπαυσιν καὶ τὴν κενοδοξίαν.

Καὶ εἶπεν ὁ ἀδελφός· Εἰπέ μοι ἄλλο ῥῆμα. Ἀποκρίνεται ὁ Γέρων· Ὅσον δύνῃ, ἐργάζου ἐργόχειρον, ἵνα ἐξ αὐτοῦ ποιήσῃς ἔλεος· γέγραπται γὰρ ὅτι ἐλεημοσύνη καὶ πίστις καθαίρουσιν ἁμαρτίας. Λέγει ὁ ἀδελφός· Τί ἐστι πίστις; Λέγει ὁ Γέρων· Πίστις ἐστι τὸ ἐν ταπεινοφροσύνῃ διάγειν καὶ ποιεῖν ἔλεος.

68. Εἶπε πάλιν· Ἄνθρωπον εἰς ὃν ἡ καρδία σου οὐ πληροφορεῖται, μὴ πιστεύσῃς αὐτῷ τὴν συνείδησίν σου.

69. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων· Τί ποιήσω ταῖς ἀκερδέσι μου φιλίαις ἃς ἔχω; Ὁ δὲ εἶπεν· Ἔστιν ἄνθρωπος ῥέγχων εἰς τὸ ἀποθανεῖν καὶ προσέχων φιλίαις τοῦ κόσμου τούτου; Μὴ ἐγγίσῃς μηδὲ ἅψῃ αὐτῶν καὶ ἀφ᾽ ἑαυτῶν ἀλλοτριοῦνται.

70. Εἶπε πάλιν ὅτι· Ὅταν μέλλῃ ἄνθρωπος οἰκοδομῆσαι οἶκον, πολλὰς χρείας συνάγει, ὅπως δυνηθῇ στῆσαι τὸν οἶκον, καὶ διάφορα δὲ εἴδη συνάγει· οὕτως καὶ ἡμεῖς λάβωμεν πρὸς μικρὸν ἀπὸ πασῶν τῶν ἀρετῶν.

71. Ὁ αὐτὸς εἶπεν ὅτι Δαβὶδ ἔγραψε τῷ Ἰωὰβ ὅτι· Κάτεχε τοῦ πολέμου καὶ καταδυναστεύσει τῆς πόλεως καὶ καταστρέψεις αὐτήν.

88. Πρβλ. Παροιμ. 15, 27 καί Γαλ. 3, 11.

σμο». «Καί ποιά εἶναι αὐτά;» ρώτησε ὁ ἀδελφός. Ἀπάντησε ὁ Γέροντας: «Τή σαρκική ἀνάπαυση καί τήν κενοδοξία».

Δευτέρωσε ὁ ἀδελφός: «Πές μου κι ἄλλο λόγο». Ἀποκρίθηκε ὁ Γέροντας: «Ὅσο μπορεῖς κάνε ἐργόχειρο, γιά νά ἀσκεῖς τήν ἐλεημοσύνη μέ τά ἔσοδά σου· γιατί εἶναι γραμμένο, ὅτι ἡ ἐλεημοσύνη καί ἡ πίστη ἐξαλείφουν ἁμαρτίες[88]». Καί ρωτᾶ ὁ ἀδελφός: «Τί εἶναι πίστη;» «Πίστη —λέει ὁ Γέροντας— εἶναι νά ζεῖ κανείς μέ ταπείνωση καί νά ἐλεεῖ».

68. Εἶπε ἀκόμη: «Γιά ἄνθρωπο πού ἡ καρδιά σου δέν ἔχει πληροφορία, μήν τοῦ ἐμπιστευθεῖς τή συνείδησή σου».

69. Ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Ποιμένα: «Τί νά κάνω μέ τίς ἀνώφελες φιλίες πού ἔχω;» Κι ἐκεῖνος εἶπε: «Ὑπάρχει ἄνθρωπος πού φθάνει σέ ρόγχο θανάτου καί εἶναι προσηλωμένος ἀκόμη στίς φιλίες τοῦ κόσμου αὐτοῦ; Ἀπόφευγέ τις, οὔτε νά τίς ἀγγίζεις καί ἀπό μόνες τους θά ἀποξενωθοῦν».

70. Εἶπε ἀκόμη ὅτι, ὅταν πρόκειται ἕνας ἄνθρωπος νά χτίσει σπίτι, πολλά εἶναι τά χρειαζούμενα πού συγκεντρώνει, γιά νά μπορέσει νά τό στήσει τό σπίτι, ἀλλά καί εἴδη διάφορα συγκεντρώνει· ἔτσι κι ἐμεῖς ἄς ἀποκτήσουμε λίγο, ἔστω, ἀπ᾽ ὅλες τίς ἀρετές.

71. Ὁ ἴδιος εἶπε ὅτι ὁ Δαβίδ ἔγραψε στόν Ἰωάβ: «Νά εἶσαι κύριος τοῦ πολέμου καί θά κουρσέψεις τήν πόλη καί θά τήν καταστρέψεις»[89].

89. Β΄ Βασ. 11, 25.



'Ασκητήρια σέ βραχώδεις περιοχές



72. Εἶπεν ὁ ἀββᾶς Ποιμήν· Ἐὰν ἴδῃς θεάματα καὶ ἀκοὰς ἀκούσῃς, μὴ διηγοῦ αὐτὰ τῷ πλησίον σου· ἀνατροπὴ γάρ ἐστι πολέμου.

73. Εἶπε πάλιν· Τὸ πρῶτον φύγε ἅπαξ, τὸ δεύτερον φύγε, τὸ τρίτον γενοῦ ῥομφαία.

74. Εἶπεν ὁ ἀββᾶς Ποιμὴν τῷ ἀββᾷ Ἰσαάκ· Κούφισον μέρος τῆς δικαιοσύνης σου καὶ ἕξεις ἀνάπαυσιν τὰς ὀλίγας ἡμέρας σου.

75. Ἠρώτησεν ὁ ἀββᾶς Βιτίμιος τὸν ἀββᾶν Ποιμένα λέγων· Ἐάν τις ἔχῃ πρὸς ἐμὲ λύπην καὶ μετανοήσω αὐτῷ καὶ μὴ πεισθῇ, τί ποιήσω; Λέγει αὐτῷ ὁ Γέρων· Λάβε μετὰ σοῦ ἄλλους δύο ἀδελφοὺς καὶ μετανόησον αὐτῷ, καὶ ἐὰν μὴ πεισθῇ, λάβε ἄλλους πέντε· ἐὰν δὲ καὶ τούτοις μὴ πεισθῇ, λάβε πρεσβύτερον, ἐὰν δὲ καὶ οὕτως μὴ πεισθῇ, ἀταράχως λοιπὸν εὖξαι τῷ Θεῷ, ἵνα αὐτὸς πληροφορήσῃ αὐτὸν καὶ ἀμεριμνήσῃς.

76. Ἀδελφὸς ὑπάγων εἰς τὴν ἀγορὰν ἠρώτησε τὸν ἀββᾶν Ποιμένα· Τί θέλεις ποιήσω; Λέγει αὐτῷ ὁ Γέρων· Γενοῦ φίλος τοῦ ἑαυτὸν βιαζομένου καὶ μετὰ ἀναπαύσεως πωλεῖς τὰ σκεύη σου.

77. Εἶπε πάλιν· Ταύτην τὴν πολιτείαν ἔδωκεν ὁ Θεὸς τῷ Ἰσραήλ, τὸ ἀπέχεσθαι τῶν παρὰ φύσιν· ὀργῆς, θυμοῦ, ζήλου,

90. Ἡ λέξη δικαιοσύνη τοῦ ἀρχαίου κειμένου ἐδῶ, μπορεῖ νά ἐκληφθεῖ κατά δύο ἐκδοχές. Κατά τή μία ἐκδοχή μπορεῖ νά σημαίνει τήρηση τοῦ νόμου τοῦ Θεοῦ, ἀρετή, ἁγιότητα, ὁπότε γίνεται σύσταση στόν ἀββᾶ Ἰσαάκ νά μειώσει λίγο τή σκληρή του ἄσκηση, ἡ ὁποία ἐνδεχομένως τοῦ δημιουργοῦσε πρόβλημα. Δεύτερη ἐκδοχή εἶναι νά σημαίνει τήν αὐτομεμψία, ὁπότε ἡ σύσταση στόν ἀββᾶ εἶναι νά ἐλαττώσει τήν αὐτομεμψία του, γιά νά εἰρηνεύσει ἡ ψυχή του.

72. Εἶπε ὁ ἀββᾶς Ποιμήν: «Ἐάν δεῖς ἤ ἀκούσεις κάποια πράγματα, μήν τά διηγεῖσαι αὐτά στόν πλησίον σου· γιατί μπορεῖ νά τοῦ ἀνατρέψουν τόν ἀγώνα».

73. Εἶπε ἄλλη φορά: «Στήν ἀρχή φύγε μιά φορά, τή δεύτερη φύγε ὁπωσδήποτε, τήν τρίτη γίνε σπαθί».

74. Εἶπε ὁ ἀββᾶς Ποιμήν στόν ἀββᾶ Ἰσαάκ: «Μείωσε λίγο τήν ἄσκησή σου καί θά βρεῖς ἀνάπαυση τίς λίγες μέρες τῆς ζωῆς σου»[90].

75. Ρώτησε ὁ ἀββᾶς Βιτίμιος τόν ἀββᾶ Ποιμένα: «Ἐάν κάποιος εἶναι λυπημένος ἐξαιτίας μου καί τοῦ βάλω μετάνοια καί δέν πεισθεῖ, τί νά κάνω;» Τοῦ λέει ὁ Γέροντας: «Πάρε μαζί σου ἄλλους δύο ἀδελφούς καί βάλε του μετάνοια καί, ἐάν δέν πεισθεῖ, πάρε ἄλλους πέντε· ἄν ὅμως καί μ' αὐτούς δέν πεισθεῖ, πάρε ἕναν ἱερέα· σέ περίπτωση πού δέν θά πεισθεῖ καί μ' αὐτόν τόν τρόπο, νά προσεύχεσαι στό ἑξῆς ἀτάραχος στόν Θεό, γιά νά τοῦ δώσει ὁ Θεός πληροφορία στήν ψυχή του καί ἐσύ νά εἶσαι ξένοιαστος[91]».

76. Ἕνας ἀδελφός πηγαίνοντας στήν ἀγορά ρώτησε τόν ἀββᾶ Ποιμένα: «Τί ὁρίζεις νά κάνω;» Κι ὁ Γέροντας τοῦ λέει: «Νά γίνεις φίλος μέ μοναχό πού βιάζει τόν ἑαυτό του γιά ἀγώνα καί θά πουλᾶς τήν πραμάτειά σου ἀναπαυμένος».

77. Εἶπε ἀκόμη: «Ὁ Θεός αὐτόν τόν τρόπο ζωῆς ἔδωσε στόν λαό τοῦ Ἰσραήλ. Νά ἀπομακρύνονται ἀπό τά παρά

91. Πρβλ. Ματθ. 18, 15-17.

μίσους, καταλαλιᾶς κατὰ τοῦ ἀδελφοῦ καὶ τὰ λοιπὰ τῆς παλαιότητος.

78. Εἶπε πάλιν· Ποίησον τὴν δύναμίν σου μὴ κακοποιῆσαί τινα τὸ σύνολον καὶ ἁγνὴν τήρησον τὴν καρδίαν σου μετὰ παντὸς ἀνθρώπου.

79. Ἦλθε πρὸς τὸν ἀββᾶν Παλλάδιον ὁ ἄρχων θέλων θεάσασθαι αὐτόν· ἐνηχήθη γὰρ τὰ περὶ αὐτοῦ καὶ λαβὼν ταχυγράφον ἐνετείλατο αὐτῷ λέγων· Ἐγὼ εἰσέρχομαι πρὸς τὸν ἀββᾶν, σὺ οὖν τὰ ὑπ᾽ αὐτοῦ πρός με λεγόμενα σημείωσαι ἐν πάσῃ ἀσφαλείᾳ.

Εἰσελθὼν δὲ ὁ ἄρχων λέγει τῷ Γέροντι· Εὖξαι ὑπὲρ ἐμοῦ, ἀββᾶ, ὅτι ἔχω πολλὰς ἁμαρτίας. Λέγει ὁ Γέρων· Μόνος ἀναμάρτητος Ἰησοῦς ὁ Χριστός. Λέγει ὁ ἄρχων· Ἆρα, ἀββᾶ, περὶ ἑκάστης ἁμαρτίας ἔχομεν δοῦναι δίκην; Λέγει ὁ Γέρων· Γέγραπται ὅτι· Σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Λέγει ὁ ἄρχων· Ἑρμήνευσόν μοι τὸν λόγον. Λέγει ὁ Γέρων· Αὐθερμήνευτος ὑπάρχει, ἀλλ᾽ ὅμως ἄκουσον λεπτομερῶς. Ἔθλιψας τὸν πλησίον, ἐκδέχου τὸ ἴσον. Ἥρπασας τῶν ὑποδεεστέρων, κατεκονδύλισας πένητα, ἔλαβες πρόσωπον ἐν κρίσει, κατῄσχυνας, ἐλοιδόρησας, ἐσυκοφάντησας, κατεψεύσω, ἀλλοτρίοις ἐπεβούλευσας γάμοις, ἐπιόρκησας, ὅρια πατέρων μετέθηκας, κτήμασιν ὀρφανῶν ἐπῆλθες, χήρας ἐξέθλιψας, τὴν παροῦσαν ἡδονὴν τῶν ἐν ἐπαγγελίαις ἀγαθῶν προετίμησας; Ἐκδέχου τούτων τὴν ἀντιμέτρησιν· οἷα γὰρ

92. Ψαλμ. 61, 13.

φύσιν, δηλαδή ἀπό τήν ὀργή, τόν θυμό, τή ζήλεια, τό μῖσος, τήν κατηγόρια ἐναντίον τοῦ ἀδελφοῦ καί ὅλα τά ἄλλα πού ἀνήκουν στήν παλαιά ἁμαρτωλή φύση τοῦ ἀνθρώπου».

78. Εἶπε πάλι: «Προσπάθησε ὅσο μπορεῖς νά μήν κακομεταχειρισθεῖς γενικῶς κανένα· καί καθαρή κράτησε τήν καρδιά σου στίς σχέσεις σου μέ κάθε ἄνθρωπο».

79. Κάποτε ὁ ἄρχοντας τοῦ τόπου ἐπισκέφθηκε τόν ἀββᾶ Παλλάδιο*, γιατί ἤθελε νά τόν δεῖ. Εἶχε ἀκούσει βέβαια τά σχετικά μ᾽ αὐτόν· καί εἶχε πάρει μαζί του καί ἕναν στενογράφο, στόν ὁποῖο ἔδωσε τήν ἑξῆς ἐντολή: «Ἐγώ τώρα μπαίνω νά δῶ τόν ἀββᾶ, ἐσύ λοιπόν ὅσα θά μοῦ πεῖ, νά τά γράψεις μέ ἀκρίβεια».

Μπαίνει μέσα ὁ ἄρχοντας καί λέει στόν Γέροντα: «Προσευχήσου γιά μένα, ἀββᾶ, γιατί ἔχω πολλές ἁμαρτίες». «Μόνο ὁ Ἰησοῦς Χριστός εἶναι ἀναμάρτητος» ἀποκρίνεται ὁ Γέροντας. Τόν ρωτᾶ ὁ ἄρχοντας: «Ἄραγε, ἀββᾶ, θά τιμωρηθοῦμε γιά κάθε ἁμαρτία;» Κι ἀπαντᾶ ὁ Γέροντας: «Γράφει στήν ἁγία Γραφή: Ἐσύ θά ἀνταποδώσεις στόν καθένα σύμφωνα μέ τά ἔργα του[92]». «Ἐξήγησέ μου τόν λόγο αὐτόν» παρακαλεῖ ὁ ἄρχοντας. «Τό νόημά του εἶναι ὁλοφάνερο» ἀποκρίνεται ὁ Γέροντας, «ἀλλ᾽ ὅμως ἄκουσε καί λεπτομερῶς. Στενοχώρησες τόν πλησίον; Περίμενε ἀπό κάποιον νά πάθεις τό ἴδιο. Ἅρπαξες ἀπό τούς κατωτέρους σου, γρονθοκόπησες φτωχό, ἤσουν προσωπολήπτης σέ δικαστήριο, ντρόπιασες, κακολόγησες, συκοφάντησες, εἶπες ψέματα ἐναντίον κάποιου, ἐπιβουλεύθηκες τήν οἰκογενειακή τιμή τῶν ἄλλων, ὁρκίστηκες ψευδόμενος, μετέθεσες ὅρια πατρικῶν χωραφιῶν, πρόσβαλες κτήματα ὀρφανῶν, καταστενοχώρησες χῆρες, προτίμησες τήν ἐδῶ πρόσκαιρη ἡδονή ἀπό τά μελλοντικά ἀγαθά; Περίμενε τήν ἀνταπόδο-

σπείρει ἄνθρωπος, τοιαῦτα καὶ θερίσει· καὶ μέντοι καὶ εἴ τι τῶν ἀγαθῶν πέπρακταί σοι, κἀκείνων ἐκδέχου πολλαπλασίονας τὰς ἀνταποδόσεις, ὅτι· Σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Ταύτης μεμνημένος παρὰ πάντα τὸν βίον τῆς ἀποφάσεως, δυνήσει τὰ πολλὰ τῶν ἁμαρτημάτων διαφυγεῖν.

Λέγει ὁ ἄρχων· Καὶ τί δεῖ ποιεῖν, ἀββᾶ; Λέγει ὁ Γέρων· Λογίζου τὰ αἰώνια καὶ ἀτελεύτητα καὶ ἀδιάδοχα, ἐν οἷς οὐκ ἔνι νύξ· ὅπου οὐκ ἔνι ὕπνος, τὸ τοῦ θανάτου μίμημα, ἐν ᾗ οὐκ ἔνι βρῶσις, οὐκ ἔνι πόσις, τὰ τῆς ἀσθενείας ἡμῶν ὑπηρετήματα, οὐκ ἔνι νόσος, οὐκ ἔνι ἀλγήματα, οὐκ ἰατρεῖα, οὐ δικαστήρια, οὐκ ἐμπορίαι, οὐ χρήματα, τῶν κακῶν ἡ ἀρχή, τῶν πολέμων ἡ ὕπαρξις, ἡ ῥίζα τῆς ἔχθρας, ἀλλὰ χώρα ζώντων, οὐκ ἀποθνῃσκόντων διὰ τῆς ἁμαρτίας, ἀλλὰ ζώντων τὴν ἀληθινὴν ζωὴν ἐν Χριστῷ Ἰησοῦ. Καὶ στενάξας ὁ ἄρχων ἔφη· Ἀληθῶς, ἀββᾶ, οὕτως ἐστὶν ὡς εἴρηκας. Καὶ ὠφεληθεὶς πάνυ ἀπῆλθεν εἰς τὰ ἴδια εὐχαριστῶν τῷ Θεῷ.

80. Διηγήσαντο περὶ τοῦ ἀββᾶ Παμβώ, ὅτι τελευτῶν, κατ᾽ αὐτὴν τὴν ἡμέραν τοῦ ἐκλιμπάνειν, εἶπε τοῖς παρεστῶσιν αὐτῷ ἁγίοις ἀνδράσιν ὅτι· Ἀφ᾽ οὗ ἦλθον εἰς τὸν τόπον τοῦτον τῆς ἐρήμου καὶ ᾠκοδόμησά μου τὴν κέλλαν καὶ ᾤκησα ἐν αὐτῇ, ἐκτὸς τῶν χειρῶν μου οὐ μέμνημαι ἄρτον φαγεῖν· οὐδὲ μεταμεμέλημαι ἐπὶ λόγῳ ᾧ ἐλάλησα, ἕως τῆς

ση αὐτῶν. Γιατί ὅ,τι λογῆς ἔργα σπείρει ὁ ἄνθρωπος, τέτοια καί θά θερίσει. Καί βέβαια ἐάν ἔχεις κάνει καί κάποια καλά ἔργα, νά περιμένεις νά σοῦ ἀνταποδοθοῦν κι αὐτά πολλαπλάσια, γιατί “Ἐσύ θά ἀνταποδώσεις στόν καθένα σύμφωνα μέ τά ἔργα του”. Ἔχοντας στόν νοῦ σου, σ᾽ ὅλη τή διάρκεια τῆς ζωῆς σου, αὐτή τήν τελική ἀπόφαση, θά μπορέσεις νά ἀποφύγεις τά περισσότερα ἁμαρτήματα».

«Καί τί πρέπει νά κάνω, ἀββᾶ;» ρωτάει ὁ ἄρχοντας. «Νά συλλογιέσαι —τοῦ ἀπαντᾶ ὁ Γέροντας— τά αἰώνια, τά ἀτελεύτητα, τά συνεχόμενα, στά ὁποῖα δέν πέφτει τό σκοτάδι τῆς νύχτας· δέν ὑπάρχει ἐκεῖ ὕπνος, πού μοιάζει μέ θάνατο· ἐκεῖ δέν ὑπάρχει φαγητό, δέν ὑπάρχει ποτό, πράγματα πού ὑπηρετοῦν στόν κόσμο αὐτό τήν ἀνθρώπινη ἀδυναμία μας· δέν ὑπάρχει ἀρρώστια, δέν ὑπάρχουν πόνοι, οὔτε ἰατρεῖα οὔτε δικαστήρια οὔτε ἐμπορικές συναλλαγές οὔτε χρήματα πού εἶναι ἡ ἀρχή τῶν συμφορῶν, πού προκαλοῦν τούς πολέμους, πού δημιουργοῦν τήν ἐχθρότητα. Εἶναι χώρα ζώντων πού δέν κινδυνεύουν νά πεθάνουν ἐξαιτίας τῆς ἁμαρτίας, ἀλλά ζοῦν τήν ἀληθινή ζωή ἑνωμένοι μέ τόν Χριστό».

Στέναξε τότε ὁ ἄρχοντας καί εἶπε: «Πράγματι, ἀββᾶ, ἔτσι εἶναι ὅπως τά εἶπες»· καί ξεκίνησε νά ἐπιστρέψει στό σπίτι του εὐχαριστώντας τόν Θεό γιά τή μεγάλη ὠφέλεια πού πῆρε.

80. Διηγήθηκαν γιά τόν ἀββᾶ Παμβώ* ὅτι, ὅταν κόντευε νά πεθάνει, τήν ἴδια μέρα πού τούς ἐγκατέλειπε, εἶπε στούς ἁγίους ἄνδρες πού τόν παρέστεκαν: «Ἀπό τότε πού ἦλθα στόν τόπο αὐτό τῆς ἐρήμου καί ἔχτισα τό κελί μου καί κατοίκησα σ᾽ αὐτό, δέν θυμᾶμαι νά ἔφαγα ψωμί πού δέν τό ἔβγαλαν τά χέρια μου[93] καί δέν μεταμελήθηκα γιά

---

93. Β΄ Θεσσ. 3, 8.

ἄρτι ὥρας· καὶ οὕτως ἀπέρχομαι πρὸς τὸν Θεόν, ὡς μηδὲ ἀρξάμενος θεοσεβεῖν.

Τοῦτο δὲ εἶχεν ὑπὲρ πολλούς, ὅτι, εἰ ἠρωτᾶτο λόγον γραφικὸν ἢ πνευματικόν, οὐκ ἀπεκρίνατο εὐθύς, ἀλλ' ἔλεγε μὴ εἰδέναι τὸν λόγον καὶ ἐπὶ μῆνα καὶ πλέον οὐκ ἐδίδου ἀπόκρισιν.

81. Εἶπεν ὁ ἀββᾶς Παμβώ· Εἰ ἔχεις καρδίαν, δύνασαι σωθῆναι.

82. Ἔλεγον περὶ τῶν πατέρων, τοῦ ἀββᾶ Παμβὼ καὶ τοῦ ἀββᾶ Βησσαρίωνος καὶ τοῦ ἀββᾶ Ἠσαΐου καὶ τοῦ ἀββᾶ Παϊσίου, ὅτι δυνατοὶ ἦσαν σφόδρα· συντυχόντες ἅμα τῷ ἀββᾷ Ἀθρὲ τούτους ἠρώτησεν ὁ πρεσβύτερος τοῦ ὄρους τῆς Νιτρίας· Πῶς ὀφείλουσιν οἱ ἀδελφοὶ διάγειν; Οἱ δὲ εἶπον· Ἐν μεγάλῃ ἀσκήσει καὶ τηροῦντες τὴν συνείδησιν ἀπὸ τοῦ πλησίον.

83. Ἠρώτησεν ἀδελφὸς τὸν ἀββᾶν Παμβὼ λέγων· Διατί κωλύουσί με τὰ πνεύματα ἀγαθοποιῆσαι τῷ πλησίον; Λέγει αὐτῷ ὁ Γέρων· Μὴ λέγε οὕτως· εἰ δὲ μή γε, τὸν Θεὸν ψεύστην ἀποκαλεῖς, ἀλλὰ μᾶλλον εἰπέ· Οὐ θέλω ὅλως ποιῆσαι ἔλεος. Προλαβὼν γὰρ ὁ Θεὸς εἶπεν· Ἔδωκα ὑμῖν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ.

84. Ὁ ἀββᾶς Παμβὼ ἀπέστειλε τὸν μαθητὴν αὐτοῦ ἐν Ἀλεξανδρείᾳ τῇ πόλει πρὸς τὸ πωλῆσαι τὸ ἐργόχειρον αὐτοῦ· ποιήσας δὲ ἡμέρας δεκαὲξ ἐν τῇ πόλει, ὡς ἔλεγεν ἡμῖν, τὰς

λόγο πού εἶπα ὥς αὐτή τήν ὥρα· καί ὅμως φεύγω νά πάω στόν Θεό σάν νά μήν ἄρχισα ἀκόμη νά τόν εὐλαβοῦμαι».

Καί ἰδιαίτερα ἐφάρμοζε τό ἑξῆς: Ὅταν τόν ρωτοῦσαν νά τούς πεῖ γιά κάποιο ρητό ἀπό τήν ἁγία Γραφή ἤ ἄλλο πνευματικό θέμα, δέν ἀπαντοῦσε ἀμέσως· ἔλεγε ὅτι δέν τό γνωρίζει καί ὁλόκληρο μῆνα καί περισσότερο δέν ἔδινε ἀπάντηση.

81. Εἶπε ὁ ἀββᾶς Παμβώ: «Ἐάν ἔχεις καρδιά, μπορεῖς νά σωθεῖς».

82. Ἔλεγαν γιά τούς πατέρες, τόν ἀββᾶ Παμβώ, τόν ἀββᾶ Βησσαρίωνα, τόν ἀββᾶ Ἠσαΐα καί τόν ἀββᾶ Παΐσιο, ὅτι ἦταν πάρα πολύ δυνατοί. Συνάντησαν τυχαῖα ἐκεῖνον τόν καιρό καί τόν ἀββᾶ Ἀθρέ. Αὐτούς τούς ρώτησε ὁ πρεσβύτερος τῆς Νιτρίας: «Πῶς ὀφείλουν νά ζοῦν οἱ ἀδελφοί;» Καί αὐτοί εἶπαν: «Μέ μεγάλη ἄσκηση καί φυλάγοντας τή συνείδησή τους καθαρή ἀπέναντι στόν πλησίον».

83. Ρώτησε κάποιος ἀδελφός τόν ἀββᾶ Παμβώ: «Γιατί μέ ἐμποδίζουν τά πονηρά πνεύματα νά κάνω καλό στόν πλησίον;» Καί τοῦ λέει ὁ Γέροντας: «Μή μιλᾶς κατ' αὐτόν τόν τρόπο, γιατί ἔτσι ἀποκαλεῖς ψεύτη τόν Θεό. Καλύτερα πές: "Δέν θέλω καθόλου νά ἐλεῶ". Γιατί ὁ Θεός ἔχει πεῖ ἤδη: Σᾶς ἔδωσα τήν ἐξουσία νά πατᾶτε πάνω σέ φίδια καί σκορπιούς καί σ' ὅλη τή δύναμη τοῦ ἐχθροῦ[94]».

84. Ἔστειλε κάποτε ὁ ἀββᾶς Παμβώ τόν μαθητή του στήν πόλη τῆς Ἀλεξάνδρειας, γιά νά πουλήσει τό ἐργόχειρό του. Καί ἐπειδή ἔκανε δεκαέξι ἡμέρες στήν πόλη, ὅπως μᾶς

---

94. Λουκ. 10, 19.

νύκτας ἐκάθευδεν ἐν τῷ νάρθηκι τῆς ἐκκλησίας ἐν τῷ ναῷ τοῦ ἁγίου Μάρκου· καὶ ἰδὼν τὴν ἀκολουθίαν τῆς καθολικῆς ἐκκλησίας ἀνέκαμψε πρὸς τὸν Γέροντα· ἔμαθε δὲ καὶ τροπάρια. Λέγει οὖν αὐτῷ ὁ Γέρων· Ὁρῶ σε, τέκνον, τεταραγμένον· μή τι πειρασμός σοι συνέβη ἐν τῇ πόλει; Λέγει ὁ ἀδελφὸς τῷ Γέροντι· Φύσει, ἀββᾶ, ἐν ἀμελείᾳ δαπανῶμεν τὰς ἡμέρας ἡμῶν ἐν τῇ ἐρήμῳ ταύτῃ καὶ οὔτε κανόνας οὔτε τροπάρια ψάλλομεν· ἀπελθόντος γάρ μου ἐν Ἀλεξανδρείᾳ εἶδον τὰ τάγματα τῆς ἐκκλησίας πῶς ψάλλουσι καὶ ἐν λύπῃ γέγονα πολλῇ· διὰ τί καὶ ἡμεῖς οὐ ψάλλομεν κανόνας καὶ τροπάρια;

Λέγει οὖν αὐτῷ ὁ Γέρων· Οὐαὶ ἡμῖν, τέκνον, ὅτι ἔφθασαν αἱ ἡμέραι ἐν αἷς καταλείψουσιν οἱ μοναχοί τὴν στερεὰν τροφὴν τὴν διὰ τοῦ ἁγίου Πνεύματος ῥηθεῖσαν καὶ ἐξακολουθήσουσιν ᾄσματα καὶ ἤχους· ποία γὰρ κατάνυξις, ποῖα δάκρυα τίκτονται ἐκ τῶν τροπαρίων; Ποία κατάνυξις τῷ μοναχῷ, ὅτε ἐν ἐκκλησίᾳ ἢ ἐν κελλίῳ ἵσταται καὶ ὑψοῖ τὴν φωνὴν αὐτοῦ ὡς οἱ βόες; Εἰ γὰρ ἐνώπιον Θεοῦ παριστάμεθα, ἐν πολλῇ κατανύξει ὀφείλομεν ἵστασθαι καὶ οὐχὶ ἐν μετεωρισμῷ· καὶ γὰρ οὐκ ἐξῆλθον οἱ μοναχοὶ ἐν τῇ ἐρήμῳ ταύτῃ, ἵνα παρίστανται τῷ Θεῷ καὶ μετεωρίζωνται καὶ μελῳδῶσιν ᾄσματα καὶ ῥυθμίζωσιν ἤχους καὶ σείωσι χεῖρας καὶ μεταβαίνωσι πόδας. Ἀλλ᾽ ὀφείλομεν ἐν φόβῳ πολλῷ καὶ ἐν τρόμῳ δάκρυσί τε καὶ στεναγμοῖς, μετὰ εὐλαβείας καὶ εὐκατανύκτου καὶ μετρίας ταπεινῆς φωνῆς προσευχὰς τῷ Θεῷ προσφέρειν.

Ἰδοὺ γὰρ λέγω σοι, τέκνον, ὅτι ἐλεύσονται ἡμέραι, ὅτε φθεροῦσιν οἱ χριστιανοὶ τὰς βίβλους τῶν ἁγίων Εὐαγγελίων

---

95. Οἱ μοναχοί μέχρι καί τόν 6ο αἰ. κατεδίκαζαν τήν χρήση ὕμνων στή λατρεία καί δέν χρησιμοποιοῦσαν τήν ὑμνογραφία, ὡς παγίδα τοῦ πονηροῦ· γιατί διέβλεπαν τόν κίνδυνο ἀφενός ἡ αἰσθητική ὀμορφιά τῆς μελωδίας νά φυγαδεύει τήν κατάνυξη ἀπ᾽ τήν ψυχή τῶν προσευχομένων καί ἀφετέρου ἡ

ἔλεγε, τίς νύχτες κοιμόταν στό νάρθηκα τοῦ ναοῦ τοῦ Ἁγίου Μάρκου. Ἔτσι, εἶδε πῶς γίνεται ἡ ἀκολουθία τῆς ἐκκλησίας στίς πόλεις, ἔμαθε μάλιστα καί μερικά τροπάρια καί γύρισε πίσω πάλι στόν Γέροντα. Τοῦ λέει λοιπόν ὁ Γέροντάς του: «Σέ βλέπω, παιδί μου, ταραγμένο· μήπως σοῦ συνέβη κάποιος πειρασμός στήν πόλη;» Κι ὁ ἀδελφός τοῦ ἀπαντᾶ: «Πραγματικά, ἀββᾶ, μέ ἀδιαφορία σπαταλοῦμε τόν καιρό μας σ᾽ αὐτήν ἐδῶ τήν ἔρημο· οὔτε κανόνες οὔτε τροπάρια ψάλλουμε. Γιατί, ὅταν βρέθηκα στήν Ἀλεξάνδρεια, εἶδα τήν τάξη τῆς ἐκκλησίας πῶς ψάλλουν καί μ᾽ ἔπιασε μεγάλη λύπη· γιατί δέν ψάλλουμε κι ἐμεῖς κανόνες καί τροπάρια;»

Τοῦ λέει τότε ὁ Γέροντας: «Ἀλίμονό μας, παιδί μου, γιατί ἔφθασαν οἱ μέρες πού οἱ μοναχοί θ᾽ ἀφήσουν τή στερεά τροφή, πού ὑπαγόρευσε τό Ἅγιο Πνεῦμα, καί θά ἀκολουθήσουν ψαλσίματα καί μελωδίες. Ποιά ἀλήθεια κατάνυξη καί τί λογῆς δάκρυα μποροῦν νά προέλθουν ἀπό τά τροπάρια; Τί κατάνυξη μπορεῖ νά ἔχει ὁ μοναχός, ὅταν στέκεται στήν ἐκκλησία ἤ στό κελί καί ὑψώνει τή φωνή του ὅπως τά βόδια; Τήν ὥρα πού παρουσιαζόμαστε μπροστά στόν Θεό, ὀφείλουμε μέ πολλή κατάνυξη νά στεκόμαστε καί ὄχι μέ ἔπαρση. Σίγουρα δέν βγῆκαν οἱ μοναχοί στήν ἔρημο αὐτή γιά νά παρουσιάζονται στόν Θεό καί νά παίρνουν ὑπερήφανη στάση, νά ψάλλουν τροπάρια καί νά ρυθμίζουν μελωδίες, νά κουνᾶνε ἐδῶ κι ἐκεῖ τά χέρια καί νά μετακινοῦν τά πόδια. Ἀντίθετα, ὀφείλουμε μέ πολύ φόβο καί τρόμο, μέ δάκρυα καί στεναγμούς, μέ εὐλάβεια, καί μέ χαμηλή καί ταπεινή φωνή, πού δημιουργεῖ κατάνυξη, νά προσφέρουμε τίς προσευχές μας στόν Θεό[95].

Καί νά, σοῦ τό λέω, παιδί μου, ὅτι θά ρθοῦν ἡμέρες κατά τίς ὁποῖες οἱ χριστιανοί θά καταστρέφουν τά βιβλία

ἐκτέλεση τῆς ψαλμωδίας νά προκαλεῖ στόν ψάλλοντα λογισμούς ὑπεροψίας.

καὶ τῶν ἁγίων Ἀποστόλων καὶ τῶν θεσπεσίων προφητῶν λειαίνοντες τὰς ἁγίας γραφὰς καὶ γράφοντες τροπάρια καὶ ἑλληνικοὺς λόγους καὶ χυθήσεται ὁ νοῦς εἰς τροπάρια καὶ εἰς τοὺς λόγους τῶν Ἑλλήνων. Καὶ διὰ τοῦτο οἱ πατέρες ἡμῶν εἰρήκασι, ἵνα μὴ γράφωσιν οἱ ἐν τῇ ἐρήμῳ ταύτῃ ὄντες καλλιγράφοι τοὺς βίους καὶ λόγους τῶν πατέρων ἐν μεμβράναις, ἀλλ' ἐν χάρταις· μέλλει γὰρ ἡ ἐρχομένη γενεὰ λειαίνειν τοὺς βίους τῶν ἁγίων πατέρων καὶ γράφειν κατὰ τὸ θέλημα αὐτῶν.

Καὶ εἶπεν αὐτῷ ὁ ἀδελφός· Τί οὖν, ἀλλαχθήσονται τὰ ἔθη καὶ αἱ παραδόσεις τῶν χριστιανῶν καὶ οὐκ ἔσονται ἱερεῖς ἐν τῇ ἐκκλησίᾳ, ἵνα ταῦτα γένηται; Καὶ εἶπεν ὁ Γέρων· Ἐν τοιούτοις καιροῖς ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν καὶ ἔσται θλῖψις οὐκ ὀλίγη· ἐθνῶν ἐπιδρομαί, λαῶν κίνησις, βασιλέων ἀκαταστασίαι, ἀρχόντων ἀταξία· ἱερέων σπατάλη, μοναζόντων ἀμέλεια. Ἔσονται οἱ ἡγούμενοι καταφρονοῦντες τῆς ἑαυτῶν σωτηρίας καὶ τοῦ ποιμνίου· πρόθυμοι πάντες καὶ σπουδαῖοι εἰς τὰς τραπέζας καὶ μαχιμάριοι καὶ ὀκνηροὶ εἰς τὰς εὐχὰς καὶ ἕτοιμοι εἰς καταλαλιάς, πρόχειροι τοῦ κατακρίνειν· βίους Γερόντων καὶ λόγους μήτε μιμούμενοι μήτε ἀκούοντες, ἀλλὰ μᾶλλον ληροῦντες καὶ λέγοντες ὅτι· Εἰ ἦμεν ἐν ταῖς ἡμέραις αὐτῶν, ἠγωνισάμεθα ἂν καὶ ἡμεῖς.

96. Οἱ λέξεις μεμβράνη, διφθέρα καί περγαμηνή δηλώνουν τό ἴδιο ἀντικείμενο. Ἦταν δέρματα ἐπεξεργασμένα διαφόρων ζώων, κυρίως ὅμως μοσχαριοῦ, κατσίκας, ἀρνιοῦ ἤ προβατίνας, πού χρησίμευαν ὡς φύλλα χαρτιοῦ πάνω στά ὁποῖα ἔγραφαν.

Ἡ σπανιότητα τῆς μεμβράνης ἀνάγκαζε συχνά τούς ἀνθρώπους νά ξεπλένουν ἤ νά ἀποξέουν τίς γραμμένες ἤδη μεμβράνες, γιά νά μποροῦν νά τίς χρησιμοποιοῦν καί πάλι ὡς γραφική ὕλη. Ἔτσι δημιουργήθηκαν καί οἱ ἀποκαλούμενοι παλίμψηστοι κώδικες (ἀπό τίς λέξεις πάλιν + ψάω = πάλι τρίβω). Μέ τή λείανση αὐτή ἔσβηνε ἡ ὑπάρχουσα γραφή.

97. Πάπυρος: ὑλικό γραφῆς παρασκευασμένο ἀπό τό φυτό πάπυρο, πού

τῶν ἁγίων Εὐαγγελίων, τῶν ἁγίων Ἀποστόλων καί τῶν θαυμασίων προφητῶν, σβήνοντας τίς ἅγιες γραφές καί γράφοντας τροπάρια καί λόγους ἑλληνικούς, ὁπότε θά διασκορπίζεται ὁ νοῦς σέ τροπάρια καί στίς θεωρίες τῶν Ἑλλήνων. Γι' αὐτό ἐξάλλου εἶπαν οἱ πατέρες μας, νά μή γράφουν οἱ καλλιγράφοι, πού βρίσκονται σ' αὐτή τήν ἔρημο, τούς βίους καί λόγους τῶν ἁγίων πάνω σέ μεμβράνη[96] ἀλλά σέ πάπυρο[97]· γιατί σκοπεύει ἡ γενεά πού ἔρχεται νά σβήνουν τούς βίους τῶν ἁγίων πατέρων καί νά γράφουν αὐτά πού θέλουν αὐτοί».

Τοῦ εἶπε τότε ὁ ἀδελφός: «Ἀλήθεια, θά ἀλλάξουν οἱ συνήθειες καί οἱ παραδόσεις τῶν χριστιανῶν καί δέν θά ὑπάρχουν ἱερεῖς στήν ἐκκλησία, ὥστε νά μποροῦν νά γίνονται τέτοια πράγματα;»

Καί ὁ Γέροντας ἀπάντησε: «Ἐκεῖνο τόν καιρό θά ψυχρανθεῖ ἡ ἀγάπη τῶν πολλῶν[98] καί θά πέσει μεγάλη θλίψη· θά γίνουν ἐπιδρομές ἐθνῶν, μετακινήσεις λαῶν, ἀστάθεια στούς βασιλεῖς, ἀνωμαλία στούς κυβερνῆτες, οἱ ἱερεῖς θά γίνουν ἄσωτοι καί οἱ μοναχοί θά ζοῦν μέ ἀμέλεια. Οἱ ἡγούμενοι θά ἀδιαφοροῦν γιά τή δική τους σωτηρία ἀλλά καί τοῦ ποιμνίου τους· θά εἶναι ὅλοι τους πρόθυμοι καί πρῶτοι στά τραπέζια καί ἐριστικοί· ὀκνηροί στίς προσευχές ἀλλά πρόθυμοι στήν καταλαλιά, ἕτοιμοι γιά κατηγόρια· δέν θά θέλουν οὔτε νά μιμοῦνται οὔτε νά ἀκοῦνε βίους καί λόγους Γερόντων, ἀλλά κυρίως θά φλυαροῦν καί θά λένε "ἄν ζούσαμε κι ἐμεῖς στίς μέρες τους, θά ἀγωνιζόμασταν κι ἐμεῖς".

φύτρωνε παλαιότερα στήν κοιλάδα τοῦ Νείλου, στή Συρία, Μεσοποταμία καί Παλαιστίνη. Ἦταν ὑλικό πού θρυμματιζόταν εὔκολα καί δέν ἄντεχε στή διαδικασία λείανσης καί δεύτερης ἤ καί τρίτης γραφῆς, ὅπως γινόταν μέ τίς μεμβράνες· ὁπότε μέ τή χρήση τοῦ παπύρου θά ἐξέλιπε καί ὁ κίνδυνος ἄμεσης καταστροφῆς τῶν γραπτῶν ἱερῶν κειμένων.

98. Πρβλ. Ματθ. 24, 12.

Οἱ δὲ ἐπίσκοποι τῶν καιρῶν ἐκείνων ἔσονται αἰδούμενοι πρόσωπα δυνατῶν, κρίνοντες τὰς κρίσεις ἐν δώροις, μὴ ὑπερασπίζοντες τῶν πτωχῶν ἐν κρίμασι, θλίβοντες χήρας, καταπονοῦντες ὀρφανούς.

Εἰσελεύσεται δὲ καὶ εἰς τὸν λαὸν ἀπιστία, ἀσωτία, μῖσος, ἔχθρα, ζῆλος, ἐρίθεια, κλοπή, μέθη, κῶμαι, μοιχεῖαι, πορνεῖαι, φόνοι, διαρπαγαί. Καὶ εἶπεν ὁ ἀδελφός· Τί οὖν ποιήσει τις ἐν τοῖς τοιούτοις καιροῖς καὶ χρόνοις; Καὶ εἶπεν ὁ Γέρων· Τέκνον, ἐν ταῖς τοιαύταις ἡμέραις σῴζει ὁ σῴζων τὴν ἑαυτοῦ ψυχὴν καὶ μέγας κληθήσεται ἐν τῇ Βασιλείᾳ τῶν Οὐρανῶν.

85. Ἔλεγεν ὁ ἀββᾶς Πιτυρίων, ὁ μαθητὴς τοῦ ἀββᾶ Ἀντωνίου ὅτι· Ὁ βουλόμενος ἀπελαύνειν δαίμονας, πρότερον τὰ πάθη δουλώσεται· οὗου γὰρ ἂν πάθους περιγένηταί τις, τούτου καὶ τὸν δαίμονα ἀπελαύνει· ἕπεται, φησί, δαίμων τῇ ὀργῇ; Ἐὰν τῆς ὀργῆς κρατήσῃς, ἀπελήλαται ταύτης ὁ δαίμων, ὁμοίως καὶ περὶ ἑκάστου πάθους.

86. Εἶπεν ὁ ἀββᾶς Σισόης· Γενοῦ ἐξουθενωμένος καὶ τὸ θέλημά σου ὀπίσω σου βάλε καὶ γενοῦ ἀμέριμνος καὶ ἕξεις ἀνάπαυσιν.

87. Ὁ αὐτὸς εἶπεν· Εἰσί τινες ἐν ἀμελείᾳ τὰς ἑαυτῶν ἡμέρας δαπανῶντες καὶ λόγῳ μὲν καὶ λογισμῷ ζητοῦσι σωθῆναι, ἔργῳ δὲ οὐκ ἐπιτηδεύουσιν· ἀλλὰ τοὺς μὲν βίους τῶν πατέρων ἀναγινώσκουσι, τὴν δὲ ταπείνωσιν αὐτῶν καὶ ἀκτημοσύνην, εὐχήν τε καὶ ἀγρυπνίαν, ἐγκράτειάν τε καὶ

98α. Πρβλ. Λουκ. 17, 10.

Οἱ ἐπίσκοποι πάλι τῶν καιρῶν ἐκείνων θά δείχνουν δουλικότητα πρός τούς ἰσχυρούς· θά βγάζουν τίς ἀποφάσεις ἀνάλογα μέ τά δῶρα πού θά παίρνουν καί δέν θά ὑπερασπίζονται τούς φτωχούς, ὅταν θά κρίνονται· θά θλίβουν τίς χῆρες καί θά καταταλαιπωροῦν τά ὀρφανά.

Ἀκόμη θά εἰσχωρήσει καί στόν λαό ἀπιστία, ἀσωτία, μίσος, ἔχθρα, ζήλεια, φιλονικία, κλεψιά, μέθη, ἔξαλλες διασκεδάσεις, μοιχεία, πορνεία, φόνοι καί διαρπαγές». Εἶπε τότε ὁ ἀδελφός: «Καί τί θά μπορεῖ νά κάνει κανείς σέ τέτοιους δύσκολους καιρούς;» Καί ἀπάντησε ὁ Γέροντας: «Παιδί μου, σέ τέτοιες μέρες θά σωθεῖ ἐκεῖνος πού θέλει καί προσπαθεῖ νά σώσει τήν ψυχή του καί αὐτός θά ὀνομαστεῖ μέγας στή Βασιλεία τῶν Οὐρανῶν».

85. Ἔλεγε ὁ ἀββᾶς Πιτυρίων*, ὁ μαθητής τοῦ ἀββᾶ Ἀντωνίου: «Ἐκεῖνος πού θέλει νά διώχνει δαίμονες, προηγουμένως νά ὑποδουλώσει τά πάθη του. Γιατί ὅποιο πάθος μπορέσει νά νικήσει κανείς, αὐτοῦ τοῦ πάθους καί τόν δαίμονα διώχνει. Ἀκολουθεῖ, λέει, δαίμονας τήν ὀργή; Ἄν νικήσεις τήν ὀργή, διώχθηκε ὁ δαίμονας τῆς ὀργῆς. Τό ἴδιο ἰσχύει καί γιά κάθε πάθος».

86. Εἶπε ὁ ἀββᾶς Σισόης*: «Νά θεωρεῖς τόν ἑαυτό σου εὐτελή[98α], νά μή προβάλλεις τό θέλημά σου, νά εἶσαι ἀμέριμνος καί θά ἔχεις ἀνάπαυση».

87. Ὁ ἴδιος εἶπε: «Ὑπάρχουν μερικοί πού περνοῦν τόν καιρό τους μέ ἀμέλεια· μέ τά λόγια βέβαια καί τή σκέψη θέλουν νά σωθοῦν, ἀλλά στήν πράξη δέν φροντίζουν. Ἀπ' τή μιά διαβάζουν τούς βίους τῶν πατέρων, ἀπ' τήν ἄλλη ὅμως δέν μιμοῦνται τήν ταπείνωσή τους, τήν ἀκτημοσύνη τους, τήν προσευχή καί τήν ἀγρύπνια τους, τήν ἐγκράτεια

ἡσυχίαν, χαμαικοιτίαν καὶ γονυκλισίαν οὐ μιμοῦνται, ἀλλὰ ψευδοποιοῦσι τοὺς τῶν πατέρων βίους τῇ αὐτῶν οἰήσει, ἀδύνατον λέγοντές τινα τοιαῦτα ὑπομεῖναι, μὴ λογιζόμενοι ὅτι, ὅπου ὁ Θεὸς κατοικεῖ, διὰ τῆς τοῦ θείου βαπτίσματος χάριτος καὶ τῆς τῶν ἐντολῶν ἐργασίας, ὑπὲρ φύσιν τὰ πράγματα καὶ τὰ χαρίσματα γίνεται.

88. Ἔλεγον περὶ τοῦ ἀββᾶ Χωμέ, ὅτι μέλλων τελευτᾶν εἶπε τοῖς υἱοῖς αὐτοῦ· Μὴ οἰκήσητε μετὰ αἱρετικοῦ, μηδὲ σχῆτε γνῶσιν μετὰ ἀρχόντων· μηδὲ ἔστωσαν αἱ χεῖρες ὑμῶν ἡπλωμέναι εἰς τὸ συνάγειν, ἀλλὰ μᾶλλον ἡπλωμέναι εἰς τὸ διδόναι.

89. Εἶπε Γέρων· Γύμνωσον τὴν ῥομφαίαν σου. Καὶ εἶπεν ὁ ἀδελφός· Ἀλλ᾽ οὐκ ἐῶσί με τὰ πάθη. Λέγει ὁ Γέρων· Γέγραπται· Ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου καὶ ἐξελοῦμαί σε καὶ δοξάσεις με· ἐπικαλοῦ οὖν αὐτὸν καὶ ἐξελεῖταί σε ἀπὸ παντὸς πειρασμοῦ.

90. Ἔλεγον οἱ Γέροντες ὅτι· Τὸ κουκούλιον σημεῖον ἐστὶ τῆς ἀκακίας, ὁ ἀνάλαβος τοῦ σταυροῦ, ἡ δὲ ζώνη τῆς ἀνδρείας· πολιτευσώμεθα οὖν πρὸς τὸ σχῆμα ἡμῶν πάντα μετὰ σπουδῆς ποιοῦντες, ἵνα μὴ φανῶμεν ἀλλότριον σχῆμα φοροῦντες.

99. Πρ. 20, 35. 100. Ψαλμ. 49, 15.

101. Κατά τόν ἀββᾶ Δωρόθεο τό *κουκούλι* εἶναι σύμβολο ταπείνωσης καί ἀκακίας. Γιατί τά βρέφη φοροῦν κουκούλια, ὄχι ὁ μεγάλος ἄνθρωπος... Πρέπει νά μιμούμαστε τά νήπια στήν ἀκακία. Τό νήπιο ἄν τό ἐξευτελίσουν, δέν θυμώνει, κι ἄν τό τιμήσουν, δέν κενοδοξεῖ. Ἄν τοῦ πάρει κανείς ὅ,τι ἔχει, δέν στενοχωριέται, γιατί εἶναι ἄκακο. Δέν ἀντιδικεῖ, δέν ἐπιζητεῖ τή δόξα. Ἀλλά τό κουκούλι εἶναι καί σύμβολο τῆς θείας χάριτος. Ὅπως τό κουκούλι σκεπάζει καί προστατεύει τό κεφάλι τοῦ παιδιοῦ, ἔτσι καί ἡ χάρη τοῦ Θεοῦ σκεπάζει τόν ἡγεμόνα νοῦ... καί περιθάλπει τήν παιδική ἀκακία, πού μᾶς χαρί-

καί τήν ἡσυχία τους, τόν ὕπνο τους κατάχαμα καί τίς μετάνοιές τους. Ἀντίθετα, ἐμφανίζουν ὡς μή ἀληθινούς τούς βίους τῶν πατέρων μέ τήν οἴηση πού ἔχουν, καί λένε πώς εἶναι ἀδύνατο νά τά ὑπομείνει κανείς αὐτά, χωρίς νά λογαριάζουν ὅτι, ὅπου κατοικεῖ ὁ Θεός, μέ τή χάρη τοῦ ἁγίου βαπτίσματος καί τήν τήρηση τῶν ἐντολῶν του, συμβαίνουν τά πράγματα ἔτσι πού ξεπερνοῦν τά ἀνθρώπινα μέτρα καί ἀποκτῶνται τά χαρίσματα».

88. Ἔλεγαν γιά τόν ἀββᾶ Χωμέ ὅτι, ὅταν ἐπρόκειτο νά πεθάνει, εἶπε στά πνευματικά του παιδιά: «Μή συγκατοικήσετε μέ αἱρετικό, οὔτε νά ἔχετε γνωριμίες μέ ἄρχοντες. Τά χέρια σας ἄς μήν εἶναι ἁπλωμένα γιά νά μαζεύουν, προτιμότερο νά εἶναι ἁπλωμένα γιά νά δίνουν[99]».

89. Εἶπε κάποιος Γέροντας: «Ἔχε ἕτοιμο το σπαθί σου γιά ἀγώνα». Καί ὁ ἀδελφός ἀπάντησε: «Τό θέλω ἀλλά δέν μ᾽ ἀφήνουν τά πάθη». Καί ὁ Γέροντας πρόσθεσε: «Ἡ ἁγία Γραφή λέει: "Ζήτησέ με, ὅταν θλίβεσαι, καί θά σέ ἀπαλλάξω καί θά μέ δοξάσεις"[100]. Νά ἐπικαλεῖσαι λοιπόν Αὐτόν καί θά σέ λυτρώσει ἀπό κάθε πειρασμό».

90. Ἔλεγαν οἱ Γέροντες ὅτι τό κουκούλι συμβολίζει τήν ἀκακία, ὁ ἀνάλαβος τόν σταυρό, καί ἡ ζώνη τήν ἀνδρεία[101]. Ἄς ζήσουμε λοιπόν σύμφωνα μέ τό σχῆμα πού πήραμε ἐκτελώντας ὅλα τά καθήκοντά μας μέ ζῆλο, γιά νά μή φανοῦμε ὅτι φορᾶμε σχῆμα ξένο σέ μᾶς.

91. Ἀδελφὸς ἠρώτησέ τινα Γέροντα λέγων· Πῶς τις γίνεται μωρὸς διὰ τὸν Κύριον; Λέγει αὐτῷ ὁ Γέρων· Παιδίον ἦν εἰς κοινόβιον καὶ ἐδόθη Γέροντι καλῷ, ἵνα ἀνάγῃ αὐτὸ καὶ διδάσκῃ τὸν φόβον τοῦ Θεοῦ· καὶ ἔλεγεν αὐτῷ ὁ Γέρων· Ὅταν ὑβρίσῃ σέ τις, εὐλόγησον αὐτὸν καί, ἐὰν καθίσῃς ἐπὶ τραπέζης, φάγε τὰ σαπρὰ καὶ ἄφες τὰ καλὰ καί, ἐὰν πρόκειται ἱμάτιον ἐκλέξασθαι, ἄφες τὸ καλὸν καὶ λάβε τὸ σαπρόν. Λέγει αὐτῷ τὸ παιδίον· Μωρός εἰμι ὅτι λέγεις μοι ταῦτα ποιεῖν; Λέγει ὁ Γέρων· Διὰ τοῦτο λέγω σοι ποιεῖν ταῦτα, ἵνα γένῃ μωρὸς διὰ τὸν Κύριον, ἵνα σοφίσῃ σε ὁ Κύριος. Ἰδοὺ ἔδειξεν ὁ Γέρων τί ποιῶν τις γίνεται μωρὸς διὰ τὸν Κύριον.

92. Εἶπε Γέρων· Στῶμεν ἐπὶ τὴν πέτραν καὶ ῥασσέσθω ὁ ποταμός, μὴ δειλιάσῃς· καὶ οὐ μή σε βάλῃ κάτω· ψάλλε ἐν ἡσυχίᾳ λέγων· Οἱ πεποιθότες ἐπὶ Κύριον ὡς ὄρος Σιὼν· οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἱερουσαλήμ.

ζει ὁ Χριστός, καί τήν προστατεύει ἀπό ἐκείνους πού συνεχῶς ἐπιχειροῦν νά τήν κτυποῦν καί νά τήν πληγώνουν.

Ὁ ἀνάλαβος (λέγεται καί πολυσταύρι) φοριέται σταυρωτά πάνω στούς ὤμους μας σύμφωνα μέ τό «Ἆρον τὸν σταυρόν σου καὶ ἀκολούθει μοι». Καί ὁ σταυρός τί ἄλλο σημαίνει παρά τήν τέλεια νέκρωση πού κατορθώνεται μέσα μας μέ τήν πίστη μας στόν Χριστό.

Ἡ ζώνη συμβολίζει ἀφενός ὅτι εἴμαστε ἕτοιμοι νά διακονοῦμε, ὅπως αὐτός πού θέλει νά δουλέψει, πρῶτα ζώνεται καί μετά ἀρχίζει τή δουλειά. Ἀλλά συμβολίζει καί τή νέκρωση τῆς ἄλογης ἐπιθυμίας. Καθώς δηλαδή ἡ ζώνη γίνεται ἀπό νεκρωμένο δέρμα καί τή φοροῦμε στή μέση, ὅπου βρίσκονται τά νεφρά (πού θεωροῦνταν ὡς ἕδρα τῶν ἐπιθυμιῶν τῆς ψυχῆς), ἔτσι κι ἐμεῖς καλούμαστε νά νεκρώσουμε τή φιληδονία (Ἀββᾶ Δωροθέου *Ἔργα ἀσκητικά*. Διδασκαλία 1η, κεφ. 15-19).

102. Ψαλμ. 124, 1. Βλ. Καλλίστου πατριάρχου: «Ἱερουσαλὴμ τόπος εἰρή-

91. Ἕνας ἀδελφός ρώτησε κάποτε ἕναν Γέροντα: «Πῶς μπορεῖ νά γίνει κάποιος μωρός γιά τήν ἀγάπη τοῦ Κυρίου;» Κι ὁ Γέροντας τοῦ εἶπε: «Ὑπῆρχε κάποτε σ᾿ ἕνα κοινόβιο ἕνα παιδί καί τό παρέδωσαν σ᾿ ἕναν καλό Γέροντα γιά νά τό διαπαιδαγωγήσει καί νά τοῦ διδάξει τόν φόβο τοῦ Θεοῦ· τοῦ ᾿λεγε λοιπόν ὁ Γέροντάς του: "Ὅταν σέ βρίσει κάποιος, νά πεῖς καλό λόγο γι᾿ αὐτόν· ἄν καθήσεις σέ τραπέζι, νά φᾶς τά ἄχρηστα καί νά ἀφήσεις τά καλά καί, ἄν πρόκειται νά διαλέξεις ροῦχο, ἄσε τό ὄμορφο καί πάρε τό ἄσχημο"· ὁπότε τοῦ λέει τό παιδί· "Ἀνόητος εἶμαι καί μοῦ λές νά κάμω αὐτά;" Κι ὁ Γέροντας τοῦ ἀπαντᾶ: "Γι᾿ αὐτό σοῦ λέω νά κάνεις αὐτά, γιά νά φανεῖς ἀνόητος γιά τήν ἀγάπη τοῦ Κυρίου, κι ὁ Κύριος μέ τή σειρά του νά σέ κάνει σοφό". Νά, λοιπόν, πού ἔδειξε ὁ Γέροντας τί κάνοντας κάποιος μπορεῖ νά γίνει μωρός γιά τήν ἀγάπη τοῦ Κυρίου».

92. Εἶπε κάποιος Γέροντας: «Ἄς σταθοῦμε στέρεοι πάνω στόν βράχο καί ἄς ξεσπάσει ὁρμητικά τό ποτάμι· μή δειλιάσεις· δέν πρόκειται νά σέ γκρεμίσει· ψάλλε ἤρεμα λέγοντας: Ὅσοι ἔχουν τήν πεποίθησή τους στόν Κύριο, μοιάζουν μέ τό μεγαλόπρεπο ὄρος Σιών· γιατί ὅπως ἐκεῖνο, ἔτσι καί αὐτός πού μένει στήν Ἱερουσαλήμ δέν θά κλονισθεῖ ποτέ[102]».

νης ἑρμηνεύεται καὶ ἔστι τύπος τόπου Θεοῦ· δῆλον ὅτι ψυχῆς εἰρήνην ἀγούσης τὴν ἐν Χριστῷ. Οὐ τῆς τυχούσης δὲ ἐστι ψυχῆς εἰρήνην ἄγειν τὴν ἐν Χριστῷ καὶ εἰρήνης ὄνομα ἐπικεῖσθαι αὐτῇ, ἀλλὰ τῆς ὡς πόλεως οἰκοδομουμένης, τῆς τὸν ἀκρογωνιαῖον λίθον ἐχούσης» (Φιλοκαλία τ. Δ΄. *Κεφάλαια περὶ προσευχῆς*, νγ΄).

Λέει ὁ ἱερός πατήρ ὅτι ἡ λέξη Ἱερουσαλήμ ἐξηγεῖται τόπος εἰρήνης καί συμβολίζει τόπο ὅπου μένει ὁ Θεός. Φανερό λοιπόν εἶναι ὅτι ἐννοεῖ τήν ψυχή πού ζεῖ τήν εἰρήνη πού φέρνει ἡ παρουσία τοῦ Χριστοῦ μέσα της. Καί δέν μπορεῖ ὁποιαδήποτε ψυχή νά ζεῖ τήν εἰρήνη τοῦ Χριστοῦ καί νά ἔχει τό ὄνομα τῆς εἰρήνης, παρά ἐκείνη πού, σάν μιά πόλη πού χτίζεται, ἔχει στά θεμέλιά της τό ἀσάλευτο ἀγκωνάρι, τόν Χριστό.

93. Εἶπε πάλιν· Διὰ σέ, ἐγεννήθη ὁ Χριστός, ἄνθρωπε, διὰ τοῦτο ἦλθεν ὁ Υἱὸς τοῦ Θεοῦ, ἵνα σὺ σωθῇς· γέγονε παῖς, γέγονεν ἄνθρωπος, Θεὸς ὤν. Ποτὲ μὲν ἀναγνώστης, λαβὼν τὸ βιβλίον ἐν τῇ συναγωγῇ ἀνέγνω λέγων· Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με. Ὑποδιάκονος, ποιήσας φραγγέλιον ἐκ σχοινίου πάντας ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ, τά τε πρόβατα καὶ τοὺς βόας καὶ τὰ λοιπά. Διάκονος, διαζωσάμενος λέντιον ἔνιψε τοὺς πόδας τῶν μαθητῶν αὐτοῦ ἐντειλάμενος αὐτοῖς νίπτειν τοὺς πόδας τῶν ἀδελφῶν. Πρεσβύτερος, καθεσθεὶς ἐν μέσῳ τῶν πρεσβυτέρων ἐδίδασκε τὸν λαόν. Ἐπίσκοπος, λαβὼν ἄρτον καὶ εὐλογήσας ἔδωκε τοῖς μαθηταῖς αὐτοῦ.

Ἐμαστιγώθη διὰ σέ, καὶ σὺ δι' αὐτὸν οὐδὲ ὕβριν φέρεις· ἐτάφη καὶ ἀνέστη ὡς Θεός· πάντα δι' ἡμᾶς κατὰ τάξιν καὶ ἀκολουθίαν ἔπαθεν, ἵνα ἡμᾶς σώσῃ· νήψωμεν, γρηγορήσωμεν, ἐν προσευχαῖς σχολάσωμεν, τὰ ἀρεστὰ αὐτῷ ποιήσωμεν.*

94. Πρὸς τοὺς κακοποιοὺς λογισμοὺς ἀπεκρίνατο Γέρων· Παρακαλῶ, ἀδελφοί, ἵνα, ὡς ἐπαύσαμεν τὰς πράξεις, παύσωμεν καὶ τὰς ἐνθυμήσεις.

95. Εἶπε Γέρων· Ἐὰν γένηται ἀναμέσον σοῦ καὶ ἄλλου λόγος λυπηρὸς καὶ ἀρνήσηται λέγων· Οὐκ εἶπον τὸν λόγον τοῦτον, μὴ ἐρίσῃς μετ' αὐτοῦ λέγων· ἐπεὶ ἐκτρέπεται καὶ λέγει· Ναί, εἶπον, καὶ τί;

103. Ἡσ. 61, 1. 104. Ἰω. 2, 15-16. 105. Ἰω. 13, 5 καὶ 14.

93. Εἶπε ἐπίσης: «Ἄνθρωπέ μου, γιά σένα γεννήθηκε ὁ Χριστός· γι' αὐτό ἦρθε ὁ Υἱός τοῦ Θεοῦ, γιά νά σωθεῖς ἐσύ. Καί ἔγινε παιδί, καί μεγάλωσε ὡς ἄνθρωπος, ἐνῶ ἦταν Θεός. Κάποια φορά ἔκανε τόν ἀναγνώστη· πῆρε τό ἱερό βιβλίο μές στή συναγωγή καί διάβασε: "Τό Πνεῦμα τοῦ Κυρίου εἶναι καί μένει σέ μένα, γιατί μ' αὐτό μέ ἔχρισε"[103].

Ἄλλη φορά ὡς ὑποδιάκονος ἔκαμε φραγγέλιο ἀπό σχοινί καί τούς ἔβγαλε ὅλους ἔξω ἀπό τό ἱερό καί τά πρόβατα καί τά βόδια καί ὅλα τ' ἄλλα[104]. Ἄλλοτε πάλι ὡς διάκονος, ζώστηκε τήν πετσέτα καί ἔπλυνε τά πόδια τῶν μαθητῶν του, δίνοντας ἐντολή νά πλένουν κι αὐτοί τά πόδια τῶν ἀδελφῶν τους[105]· ὡς ἱερέας, κάθησε ἀνάμεσα στούς ἱερεῖς καί δίδασκε τόν λαό. Κι ἄλλη φορά ὡς ἐπίσκοπος, πῆρε ἄρτο, τόν εὐλόγησε καί τόν ἔδωσε στούς μαθητές του[106].

Μαστιγώθηκε ἐξαιτίας σου καί σύ γι' αὐτόν δέν σηκώνεις οὔτε μιά προσβολή· ἐνταφιάστηκε καί ἀναστήθηκε ὡς Θεός. Ὅλα γιά μᾶς μέ τή σειρά, τό ἕνα κατόπιν τοῦ ἄλλου τά ὑπέστη, γιά νά μᾶς σώσει. Ἄς εἴμαστε λοιπόν νηφάλιοι[107], ἄς εἴμαστε ἄγρυπνοι, ἄς περνοῦμε τόν καιρό μας προσευχόμενοι, ἄς κάνουμε ὅσα εἶναι εὐάρεστα σ' Αὐτόν».

94. Γιά τούς βλαβερούς λογισμούς εἶπε κάποιος Γέροντας: «Σᾶς παρακαλῶ, ἀδελφοί μου, ὅπως πάψαμε νά κάνουμε τίς βλαβερές πράξεις, ἔτσι νά σταματήσουμε καί τούς βλαβερούς λογισμούς».

95. Εἶπε κάποιος Γέροντας: «Ἐάν ἀνάμεσα σέ σένα καί σέ κάποιον ἄλλον δημιουργηθεῖ κάποια παρεξήγηση καί ἀρνεῖται ὁ ἀδελφός λέγοντας "δέν εἶπα τέτοιο λόγο", μή μαλώσεις μαζί του καί τοῦ πεῖς λόγια, γιατί μπορεῖ νά ἐκτραπεῖ καί νά πεῖ "ναί, τό εἶπα, καί τί μ' αὐτό;"»

106. Μαρκ. 14, 22. 107. Βλ. ὑποσημ. 77 σελ.89.

96. Εἶπε Γέρων· Μὴ παντὶ λόγῳ συνευδόκει μηδὲ συγκατατίθει· βραδέως πίστευε καὶ ταχέως ἀλήθευε.

97. Ἔλεγέ τις τῶν Γερόντων ὅτι· Συνηγόμεθα ἐν ἀρχῇ πρὸς ἀλλήλους καὶ ἐλαλοῦμεν περὶ ὠφελείας καὶ ἐγινόμεθα χοροὶ χοροὶ καὶ ἀνηρχόμεθα εἰς τὸν οὐρανόν· νῦν δὲ συναγόμεθα καὶ εἰς καταλαλιὰν ἐρχόμενοι εἷς τὸν ἕνα κατασύρομεν εἰς βόθρον κάτω.

98. Εἶπέ τις τῶν Γερόντων· Εἰ μὲν ὁ ἔσω ἡμῶν ἄνθρωπος νήφει, δυνατός ἐστι φυλάξαι καὶ τὸν ἔξω· εἰ δὲ μὴ τοῦτο, ὅση δύναμίς ἐστι φυλάξωμεν τὴν γλῶσσαν.

99. Ὁ αὐτὸς εἶπεν· Ἐργασίας χρεία πνευματικῆς, ὅτι εἰς τοῦτο ἤλθομεν· μέγας γὰρ κόπος διδάσκειν διὰ τοῦ στόματος, μὴ ποιήσαντος τὸ ἔργον τοῦ σώματος.

100. Ἀδελφὸς ἠρώτησέ τινα τῶν πατέρων· Τί ἐστιν ἡ ζωή; Ὁ δὲ ἀποκριθεὶς εἶπε· Στόμα ἀληθινόν, σῶμα ἅγιον, καρδία καθαρά, τοὺς λογισμοὺς μὴ ἔχειν ῥεμβομένους εἰς

---

108. Βλ. ὑποσημ. 77α σελ.89.

108α. 1) Τό λογοπαίγνιο πού ὑπάρχει στό ἀρχαῖο κείμενο στόμα-σῶμα, θεωρήσαμε καλό νά τό διατηρήσουμε καί στή μετάφραση.

2) Τό ἀπόφθεγμα ἐδῶ ὑπαινίσσεται τό τοῦ ἁγ. Γρηγορίου τοῦ Θεολόγου: «...καθαρθῆναι δεῖ πρῶτον καί εἶτα καθᾶραι..., γενέσθαι φῶς, καί εἶτα φωτίσαι...» Λόγος Β' «Ἀπολογητικός τῆς εἰς τόν Πόντον φυγῆς ἕνεκεν» Ἐκδ. Ε.Π.Ε. τόμ. 1ος, σελ. 164.

Βλ. καί Μ. Γεροντικό τ. 3ος, σελ. 161, ἀπόφθ. 168, ὑποσημ. 115.

96. Εἶπε Γέροντας: «Μή συμφωνεῖς μέ κάθε λόγο καί μή συγκατατίθεσαι. Ἀργά νά πιστεύεις καί γρήγορα νά ἀποδεικνύεσαι ἀληθινός».

97. Ἔλεγε κάποιος ἀπ' τούς Γέροντες: «Στήν ἀρχή τῆς μοναχικῆς μας ζωῆς συγκεντρωνόμασταν μεταξύ μας καί μιλούσαμε πῶς θά ὠφεληθεῖ ἡ ψυχή μας· σχηματίζαμε ὁμάδες-ὁμάδες καί ἀνεβαίναμε στόν οὐρανό· ἐνῶ τώρα συγκεντρωνόμαστε καί φθάνοντας στήν κατάκριση χαντακώνουμε ὁ ἕνας τόν ἄλλον».

98. Εἶπε πάλι κάποιος ἀπ' τούς Γέροντες: «Ἐάν ὁ μέσα μας ἄνθρωπος εἶναι νηφάλιος[108], ἔχει τή δύναμή νά προστατεύσει καί τόν ἔξω ἄνθρωπο. Ἐάν ὅμως λείπει ἡ ἐσωτερική προϋπόθεση ἄς φυλάξουμε μέ ὅση δύναμη ἔχουμε τή γλώσσα μας».

99. Ὁ ἴδιος εἶπε: «Εἶναι ἀνάγκη νά δουλέψουμε γιά τήν πνευματική μας προκοπή. Γι' αὐτόν τόν σκοπό ἤρθαμε ἄλλωστε.

Γιατί εἶναι μεγάλη ταλαιπωρία τό νά διδάσκει κανείς μέ τό στόμα, ἐάν δέν ἔκανε τήν ἐργασία μέ τό σῶμα[108α].

100. Ἕνας ἀδελφός ρώτησε κάποιον ἀπό τούς πατέρες: «Τί εἶναι ἡ ζωή;» Κι ἐκεῖνος ἀπάντησε καί εἶπε: «Γλώσσα πού λέει τήν ἀλήθεια καί μόνο, σῶμα ἁγνό, καρδιά καθαρή καί οἱ λογισμοί νά μήν περιδιαβαίνουν τόν κόσμο.

τὸν κόσμον· ψαλμῳδία μετὰ κατανύξεως, ἐν ἡσυχίᾳ διάγειν καὶ μηδὲν ἄλλο ἐννοεῖν ἢ τὴν προσδοκίαν τοῦ Κυρίου.

101. Εἶπε Γέρων· Ὁ διάβολος τῷ ἐλαττώματι τοῦ μοναχοῦ ἐπιτίθεται· ἔθος γὰρ διὰ μακροῦ χρόνου βεβαιωθέν, φύσεως ἰσχὺν λαμβάνει, μάλιστα μὲν οὖν τοῖς ἀμελεστέροις. Πᾶν βρῶμα ὃ κατὰ κνίσαν ζητεῖς, μὴ θελήσῃς δοῦναι καὶ μάλιστα ὑγιαίνων· καὶ ὃ ἐπιθυμεῖς μὴ φάγῃς, ἐσθίων δὲ τὰ ἀποστελλόμενά σοι παρὰ Θεοῦ εὐχαρίστει πᾶσαν ὥραν· τὰ ἀρτίδια τῶν μοναζόντων ἀνηλώσαμεν καὶ ἀκμὴν οὐκ ἐγενόμεθα μοναχοί· ἀνδρίζου, ἵνα μὴ ἀλλότριον σχῆμα φορῇς, ἀδελφέ, ἀλλ' ἔχε τὴν σφραγῖδα τοῦ Χριστοῦ, τουτέστι τὴν ταπείνωσιν.

102. Ἔλεγον οἱ Γέροντες, ὅτι· Ὀφείλει ὁ μοναχὸς μέχρι θανάτου ἀνταγωνίζεσθαι πρὸς τὸν δαίμονα τῆς ἀκηδίας καὶ ὀλιγωρίας, μάλιστα ἐν τῷ καιρῷ τῶν συνάξεων· καὶ ἐὰν τοῦτο σὺν Θεῷ κατορθώσῃς, πρόσεχε τῷ λογισμῷ τῆς αὐταρεσκείας καὶ ἀπονοίας καὶ λέγε τῷ λογισμῷ· Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες· οὐδὲν γάρ ἐστιν ἄνθρωπος, εἰ μὴ γῆ καὶ σποδός· καὶ μνημόνευε ὅτι Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.

109. Κατά τόν ἅγιο Ἰωάννη τόν Σιναΐτη ἀκηδία σημαίνει «παράλυση τῆς ψυχῆς καί ἔκλυση τοῦ νοῦ, ὀκνηρία καί ἀδιαφορία πρός τήν ἄσκηση, μίσος πρός τίς μοναστικές ὑποσχέσεις... Εἶναι αὐτή πού φέρνει ἀτονία τήν ὥρα τῆς ψαλμωδίας καί ἀδυναμία τήν ὥρα τῆς προσευχῆς... Ἡ ἀκηδία εἶναι γιά τόν

Ὑμνωδία κατανυκτική, ζωή ἡσυχαστική καί τίποτε ἄλλο νά μήν ἀπασχολεῖ τόν νοῦ παρά ἡ ἀναμονή τοῦ Κυρίου».

101. Εἶπε πάλι ἕνας Γέροντας: «Ὁ διάβολος χτυπάει πάνω στό ἐλάττωμα τοῦ μοναχοῦ· γιατί συνήθεια πού σταθεροποιεῖται μέσα σέ μεγάλο χρονικό διάστημα, γίνεται ἕνα μέ τήν ἀνθρώπινη φύση καί ἰδιαίτερα στούς ἀμελέστερους.

Κάθε φαγητό πού ἡ ἐρεθιστική μυρωδιά του σέ κάνει καί τό ζητᾶς, μή θελήσεις νά τό προσφέρεις στόν ἑαυτό σου καί μάλιστα, ὅταν εἶσαι ὑγιής· καί αὐτό πού ἐπιθυμεῖς, μήν τό φᾶς, ἀλλά τρώγοντας αὐτά πού σοῦ στέλνει ὁ Θεός, νά τόν εὐγνωμονεῖς ὅλη τήν ὥρα. "Τά ψωμάκια μας τά φάγαμε" σάν μοναχοί, ἀλλά ἀκόμη δέν γίναμε μοναχοί.

Ἀπόκτησε λοιπόν ἀνδρικό φρόνημα, γιά νά μή φαίνεται τό σχῆμα πού φορᾶς σάν ξένο, ἀδελφέ μου, ἀλλά ἔχε τή σφραγίδα τοῦ Χριστοῦ, δηλαδή τήν ταπείνωση».

102. Ἔλεγαν οἱ Γέροντες ὅτι ὀφείλει ὁ μοναχός μέχρι τόν θάνατό του νά ἀντιμάχεται τόν δαίμονα τῆς ἀκηδίας[109] καί ἀδιαφορίας καί προπάντων τίς ὧρες τῶν ἀκολουθιῶν. Καί ἄν αὐτό μέ τή βοήθεια τοῦ Θεοῦ τό κατορθώσεις, πρόσεχε τότε τόν λογισμό τῆς αὐταρέσκειας καί τῆς ἀλαζονείας καί λέγε στό λογισμό σου «ἄν δέν χτίσει ὁ Κύριος ἕνα σπίτι, ἄδικα κοπιάζουν οἱ χτίστες»[110]· γιατί «τίποτε δέν εἶναι ὁ ἄνθρωπος παρά χῶμα καί στάχτη»[111]· καί νά θυμᾶσαι ὅτι «ὁ Κύριος ἀντιτάσσεται στούς ὑπερήφανους, ἐνῶ χαριτώνει τούς ταπεινούς»[112].

μοναχό ἕνας ψυχικός θάνατος πού περιέχει ὅλα τά κακά» (*Κλῖμαξ*, Λόγος ΙΓ' Περί ἀκηδίας).

110. Ψαλμ. 126, 1.

111. Γεν. 18, 17.

112. Παροιμ. 3, 34· Ἰακ. 4, 6.

103. Εἶπε Γέρων· Καθεύδοντός σου ἢ ἐγειρομένου σου ἢ ἄλλό τι ποιοῦντος, ἐὰν ᾖ ὁ Θεὸς πρὸ ὀφθαλμῶν σου, ἐν οὐδενὶ δύναταί σε ὁ ἐχθρὸς ἐκφοβῆσαι· ἐὰν δὲ ὁ λογισμὸς οὕτως ἐμμείνῃ ἐν τῷ Θεῷ, καὶ ἡ δύναμις τοῦ Θεοῦ μενεῖ ἐν αὐτῷ.

104. Εἶπε Γέρων ὅτι· Χρὴ τὸν μοναχὸν μὴ ἀκροατὴν εἶναι, μὴ κατάλαλον, μὴ σκανδαλίζεσθαι.

105. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Εἰπέ μοι ῥῆμα πῶς σωθῶ. Ὁ δὲ ἔφη· Σπούδασον ἐργάσασθαι κατὰ μικρὸν μικρὸν καὶ σῴζῃ.

106. Ἔλεγον οἱ Γέροντες, ὅτι ταῦτά ἐστιν ἃ ζητεῖ ὁ Θεὸς παρὰ χριστιανοῖς, ἵνα τις ὑποταγῇ ταῖς ἁγίαις Γραφαῖς καὶ τὰ λεκτέα πρακτέα καὶ πείθεσθαι τοῖς ἡγουμένοις καὶ πατράσι πνευματικοῖς.

107. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Τί ποιήσω ὅτι οἱ λογισμοί κυκλεύουσί με προφάσει τοῦ παραβάλλειν Γέρουσιν; Ὁ δὲ Γέρων εἶπεν αὐτῷ· Ἐὰν ἴδῃς τοὺς λογισμούς σου χάριν στενώσεως θέλοντάς σε ἐξενεγκεῖν τοῦ κελλίου, ποίησον σεαυτῷ παράκλησιν ἐν τῷ κελλίῳ σου καὶ οὐκέτι θελήσεις ἐξελθεῖν· εἰ δὲ χάριν ὠφελείας ψυχῆς θέλεις ἀπελθεῖν, δοκίμασόν σου τὸν λογισμὸν καὶ ἔξελθε. Ἤκουσα γὰρ περί τινος Γέροντος ὅτι, ὅτε ἔλεγον αὐτῷ οἱ λογισμοὶ παραβαλεῖν πρός

113. Ματθ. 7, 21-23. 114. Ἑβρ. 13, 17.

103. Εἶπε κάποιος Γέροντας: «Εἴτε πέφτεις νά κοιμηθεῖς εἴτε σηκώνεσαι ἤ ὁτιδήποτε ἄλλο κάνεις, ἐάν ἔχεις τόν Θεό μπροστά στά μάτια σου, σέ καμιά περίπτωση δέν μπορεῖ νά σέ φοβίσει ὁ ἐχθρός· καί ἐάν ὁ λογισμός μέ τόν τρόπο αὐτό μείνει σταθερά προσηλωμένος στόν Θεό, τότε καί ἡ δύναμη τοῦ Θεοῦ θά μείνει μέσα σ' αὐτόν».

104. Εἶπε πάλι ἕνας Γέροντας ὅτι: «Πρέπει ὁ μοναχός νά μή στήνει αὐτί νά ἀκούει ἀπό περιέργεια, νά μή μιλάει ἐναντίον ἄλλων καί νά μή σκανδαλίζεται».

105. Ἕνας ἀδελφός ρώτησε κάποιον Γέροντα: «Πές μου κάποιον λόγο πῶς μπορῶ νά σωθῶ;» «Νά εἶσαι πρόθυμος πάντα νά κάνεις τήν πνευματική σου ἐργασία λίγο-λίγο καί θά σωθεῖς».

106. Ἔλεγαν οἱ Γέροντες ὅτι αὐτά εἶναι πού ζητάει ὁ Θεός ἀπό τούς χριστιανούς: Νά ἔχει κανείς ὁδηγό τίς ἅγιες Γραφές· οἱ ἀλήθειες πού πρέπει νά λέγονται, πρέπει καί νά γίνονται πράξη[113]· καί νά ὑπακούει στούς ἡγουμένους καί στούς πνευματικούς πατέρες[114].

107. Κάποιος ἀδελφός ρώτησε ἕνα Γέροντα: «Τί νά κάνω πού οἱ λογισμοί μέ περιτριγυρίζουν μέ ἀφορμή νά ἐπιδιώκω νά συναντῶμαι μέ Γέροντες;» Καί ὁ Γέροντας τοῦ ἀπάντησε: «Ἐάν δεῖς ὅτι οἱ λογισμοί σου λόγω στενοχώριας θέλουν νά σέ βγάλουν ἔξω ἀπό τό κελί, δῶσε στόν ἑαυτό σου κάποια παρηγοριά μέσα στό κελί σου καί δέν θά θελήσεις πιά νά βγεῖς. Ἄν πάλι θέλεις νά πᾶς χάριν ψυχικῆς ὠφέλειας, ἐξέτασε τόν λογισμό σου καί βγές. Γιατί ἄκουσα γιά κάποιο Γέροντα ὅτι, ὅταν τοῦ ἔλεγαν οἱ λογισμοί του νά ἐπισκεφθεῖ κάποιον, σηκωνόταν, ἔπαιρνε τό

τινα, ἠγείρετο καὶ ἐλάμβανε τὸ μηλωτάριον αὐτοῦ καὶ ἐξήρχετο καὶ ἐκύκλευε τὸ κελλίον αὐτοῦ καὶ εἰσήρχετο καὶ ἐποίει ἑαυτῷ παράκλησιν τοῦ ξένου καὶ οὕτως ποιῶν ἀνεπαύετο.

108. Ἔλεγον οἱ Γέροντες ὅτι ἡ παγὶς τοῦ διαβόλου ἐν τοῖς μοναχοῖς ὑπὲρ τὰς γυναῖκας τὰ παιδία εἰσίν.

109. Ἔλεγον πάλιν· Ὅπου οἶνος καὶ παιδία οὐκ ἔστι χρεία τοῦ σατανᾶ.

110. Ἀδελφὸς σπουδαῖος ἐκαθέζετο ἐν κελλίῳ καὶ ἀκούων τὰς ἀρετὰς τῶν ἁγίων ἔσπευδε νομίζων αὐτὰς ἐκτὸς μεγάλου πόνου καὶ ἀγῶνος κατορθῶσαι· ἀπελθὼν οὖν ἀνήγγειλέ τινι μεγάλῳ Γέροντι περὶ τούτου καὶ ἀπεκρίθη αὐτῷ ὁ Γέρων· Εἰ θέλεις, ὕπαγε γενοῦ ὡς παιδίον λαμβάνον μαθήματα παρὰ διδασκάλου καὶ ἓν ἓν ἀποστηθίζον· οὕτως καὶ σὺ δὸς ἑαυτῷ τὸν ἐνιαυτὸν τοῦτον πολεμῆσαι, ἕως οὗ κατορθώσῃς μὴ χορτάζειν κοιλίαν, καὶ πάλιν κοπίασον, ἕως οὗ μισήσῃς ὡς ἐχθρὸν τὴν κενοδοξίαν· καὶ ὡς ταῦτα καλῶς ἀπαγγείλῃς, ἀγώνισαι ῥῖψαι τὴν ὕλην καὶ ἐμπιστεῦσαι τῷ Θεῷ τὴν φροντίδα σου καὶ θάρσει ὅτι, ἂν τὰ τρία ταῦτα κατορθώσῃ ἄνθρωπος, μετὰ χαρᾶς ἀπαντᾷ τῷ Ἰησοῦ, ὅταν ἔλθῃ.

---

115. Αὐτή τήν ἐλάχιστη ἀνάπαυλα στήν ἔνταση τοῦ ἀγώνα ἐκφράζει καί τό παρακάτω περιστατικό πού ἀποδίδεται στόν Μέγα Ἀντώνιο.

«Κάποιος κυνηγοῦσε στήν ἔρημο ἄγρια ζῶα καί εἶδε τόν ἀββᾶ Ἀντώνιο νά ἀστειεύεται μέ τούς ἀδελφούς καί σκανδαλίσθηκε. Ὁ Γέροντας θέλοντας νά τόν διδάξει ὅτι εἶναι ἀνάγκη πότε-πότε νά γίνεται συγκατάβαση στούς ἀδελφούς, τοῦ λέει: "Βάλε ἕνα βέλος στό τόξο σου καί τέντωσέ το". Ἐκεῖνος τό ἔκανε. Τοῦ λέει: "Τέντωσέ το ἀκόμη" καί τό τέντωσε. Ξαναλέει ὁ Γέροντας: "Τέντωσέ το πιό πολύ. Καί τοῦ ἀπαντᾶ ὁ κυνηγός: "Ἄν τό τεντώσω

ἐπανωφόρι του, ἔβγαινε ἔξω καί ἔφερνε γύρο στό κελί του· ξανάμπαινε κατόπιν καί πρόσφερε στόν ἑαυτό του τήν παρηγοριά τοῦ φαγητοῦ, ὅπως συνηθίζουμε στούς φιλοξενούμενους, καί κάνοντας ἔτσι ἔβρισκε ἀνάπαυση»[115].

108. Ἔλεγαν οἱ Γέροντες ὅτι, περισσότερο καί ἀπό τίς γυναῖκες, τά παιδιά εἶναι παγίδα τοῦ διαβόλου γιά τούς μοναχούς.

109. Κάποιοι πάλι ἔλεγαν· «Ὅπου ὑπάρχουν κρασί καί παιδιά δέν χρειάζεται ὁ Σατανᾶς».

110. Ἕνας ἀδελφός, ἀγωνιστής, μόναζε σέ κελί· καί σάν ἄκουε τίς ἀρετές πού εἶχαν οἱ ἅγιοι, βιαζόταν νά τίς ἀποκτήσει, νομίζοντας ὅτι θά τίς ἐπιτύχει χωρίς μεγάλο κόπο καί ἀγώνα. Πῆγε λοιπόν καί ἀνέφερε σέ κάποιον μεγάλο Γέροντα τά σχετικά μέ τό θέμα αὐτό. Ὁπότε τοῦ ἀπαντᾶ ὁ Γέροντας: «Ἄν θέλεις, πήγαινε καί γίνε σάν ἕνα μικρό παιδί πού παίρνει μαθήματα ἀπ' τόν δάσκαλο καί ἕνα ἕνα τά ἀποστηθίζει· ἔτσι καί σύ πάρε τήν ἀπόφαση αὐτή τή χρονιά νά πολεμήσεις, ὥσπου νά καταφέρεις νά μή χορταίνεις τήν κοιλιά σου· κατόπιν προσπάθησε πάλι, ἕως ὅτου μισήσεις τήν κενοδοξία σάν ἐχθρό σου. Καί ὅταν αὐτά τά μάθεις καλά, ἀγωνίσου νά περιφρονήσεις τήν ὕλη καί νά ἐμπιστευθεῖς τή φροντίδα σου στόν Θεό καί ἔχε θάρρος· γιατί, ἄν κατορθώσει ὁ ἄνθρωπος αὐτά τά τρία, μέ χαρά θά συναντήσει τόν Ἰησοῦ, ὅταν ἔλθει».

πάρα πολύ, θά σπάσει τό τόξο". Τοῦ λέει τότε ὁ Γέροντας: "Ἔτσι εἶναι καί στό ἔργο τοῦ Θεοῦ. Ἐάν τεντώσουμε τή συμπεριφορά μας πρός τούς ἀδελφούς περισσότερο ἀπ' ὅ, τι πρέπει, σύντομα θά σπάσουν. Χρειάζεται λοιπόν πότε-πότε νά συγκαταβαίνουμε στούς ἀδελφούς"».

111. Εἶπέ τις τῶν πατέρων· Ἐὰν μὴ μισήσῃς πρῶτον, οὐ δύνασαι ἀγαπῆσαι· ἐὰν μὴ μισήσῃς τὴν ἁμαρτίαν, οὐ ποιεῖς δικαιοσύνην, καθὼς γέγραπται· Ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν. Πλὴν καὶ ἐν τούτοις ἡ προθυμία ἐστὶν ἡ ζητουμένη πάντοτε. Ἀδὰμ γὰρ ἐν τῷ παραδείσῳ ὢν παρέβη τὴν ἐντολὴν τοῦ Θεοῦ καὶ Ἰὼβ ἐπὶ τῆς κοπρίας καθήμενος ἐφύλαξε τοῦ ἐγκρατεύεσθαι. Προθυμίαν οὖν μόνην ἀγαθὴν ζητεῖ ὁ Θεὸς ἀπὸ τοῦ ἀνθρώπου καὶ ἵνα φοβῆται αὐτὸν πάντοτε.

112. Ἀδελφός τις πειραζόμενος ἀπῆλθε πρός τινα Γέροντα καὶ ἀνέθετο αὐτῷ τοὺς πειρασμοὺς αὐτοῦ οὓς ὑπέμεινε καὶ λέγει αὐτῷ ὁ Γέρων· Μὴ πτοήτωσάν σε οἱ συμβαίνοντές σοι πειρασμοί· ὅσον γὰρ ὁρῶσιν οἱ ἐχθροὶ τὴν ψυχὴν ἀνιοῦσαν καὶ συναπτομένην τῷ Θεῷ, χαλεπαίνουσι φθόνῳ τηκόμενοι· ἀμήχανον γὰρ μὴ παρεῖναι τὸν Θεὸν καὶ τοὺς ἀγγέλους αὐτοῦ ἐν τοῖς πειρασμοῖς· μόνον μὴ διαλείπῃς μετὰ ταπεινώσεως πολλῆς ἐπικαλούμενος αὐτόν· ὅτε οὖν γένηταί σοί τι τοιοῦτον, λαβὲ εἰς ἔννοιαν τοῦ βοηθοῦ ἡμῶν τὴν δυναστείαν καὶ τὴν ἡμετέραν ἀσθένειαν καὶ τοῦ ἐχθροῦ ἡμῶν τὴν ὠμότητα καὶ τυγχάνεις τῆς βοηθείας τοῦ Θεοῦ.

113. Εἶπε Γέρων· Ὥσπερ ξενοπάροχος οὐκ ἰσχύει εἰσαγαγεῖν τὸν ξένον μηδέπω ἀκούσας ὑπὸ τοῦ κυρίου τῆς οἰκίας, οὕτως καὶ ὁ ἐχθρός, ἐὰν μὴ δεχθῇ, οὐ μὴ εἰσέλθῃ· εὐχόμενος δὲ λέγε· Πῶς κτήσομαί σε, Κύριε, σὺ οἶδας· ἐγὼ

116. Ψαλμ. 33, 15.

111. Εἶπε κάποιος ἀπ' τούς πατέρες: «Ἐάν δέν μισήσεις πρῶτα, δέν μπορεῖς νά ἀγαπήσεις· ἐάν δηλαδή δέν μισήσεις τήν ἁμαρτία, δέν μπορεῖς νά κάνεις τό θέλημα τοῦ Θεοῦ, ὅπως ἀναφέρεται στήν ἁγία Γραφή· "Ἀπόφυγε τό κακό καί πράξε τό καλό"[116]. Ὅμως καί σ' αὐτή τήν περίπτωση ἡ ψυχική διάθεση εἶναι ἐκείνη πού μετράει πάντοτε. Γιατί ὁ Ἀδάμ ἄν καί ἦταν μέσα στόν παράδεισο, παρέβη τήν ἐντολή τοῦ Θεοῦ· ἐνῶ ὁ Ἰώβ ἄν καί ἦταν καθισμένος πάνω στήν κοπριά, κράτησε τήν αὐτοκυριαρχία του. Λοιπόν τό μόνο πού ζητάει ὁ Θεός ἀπ' τόν ἄνθρωπο εἶναι ἡ καλή του διάθεση καί νά ἔχει πάντοτε τόν φόβο τοῦ Θεοῦ μέσα του».

112. Ἕνας ἀδελφός πού εἶχε πειρασμούς πῆγε σέ κάποιον Γέροντα καί τοῦ ἐμπιστεύθηκε τούς πειρασμούς πού ὑπέμεινε καί ὁ Γέροντας τοῦ λέει: «Μή σέ τρομάζουν οἱ πειρασμοί πού σοῦ συμβαίνουν· γιατί ὅσο βλέπουν οἱ ἐχθροί τήν ψυχή νά ἀνεβαίνει καί νά ἑνώνεται μέ τόν Θεό, ἀγριεύουν καί λιώνουν ἀπό φθόνο. Γιατί εἶναι ἀδύνατο νά μήν εἶναι παρών ὁ Θεός καί οἱ ἄγγελοί του στούς πειρασμούς μας· μόνο μήν παύεις νά τόν ἐπικαλεῖσαι μέ πολλή ταπείνωση. Ὅταν λοιπόν σοῦ συμβαίνει κάτι τέτοιο, νά σκέφτεσαι τή δύναμη τοῦ προστάτη μας ἔναντι τῆς δικῆς μας ἀδυναμίας καί τῆς ἀγριότητας τοῦ ἐχθροῦ καί θά ἔχεις τή βοήθεια τοῦ Θεοῦ».

113. Εἶπε κάποιος Γέροντας: «Ὅπως ἀκριβῶς ὁ ἐπιστάτης τοῦ ξενώνα δέν μπορεῖ νά βάλει τόν ξένο μέσα, ἄν δέν πάρει προηγουμένως ἐντολή ἀπό τόν οἰκοδεσπότη, ἔτσι καί ὁ ἐχθρός, ἐάν δέν γίνει δεκτός, δέν μπορεῖ νά μπεῖ μέσα. Καί καθώς προσεύχεσαι νά λές: Πῶς θά σέ ἀποκτήσω, Κύριε, σύ τό γνωρίζεις· ἐγώ εἶμαι ἕνα κτῆνος καί δέν

κτῆνός εἰμι, οὐδὲν οἶδα· σύ με ἤνεγκας εἰς τὸ τάγμα τῆς σωτηρίας ταύτης, σῶσόν με· ἐγὼ δοῦλός σου καὶ υἱὸς τῆς παιδίσκης σου· Κύριε, σῶσόν με ἐν τῷ θελήματί σου.

114. Εἶπε Γέρων· Ἀδύνατον κτήσασθαι τὸν Ἰησοῦν, εἰ μὴ διὰ κόπου καὶ ταπεινώσεως καὶ προσευχῆς ἀπαύστου.

115. Εἶπέ τις τῶν πατέρων· Ὀφείλει ὁ μοναχὸς ὅτε ἐστὶ μετὰ μοναχῶν πάντοτε κάτω προσέχειν εἰς τὴν γῆν καὶ μὴ προσέχειν ὅλως εἰς πρόσωπον ἀνθρώπου καὶ μάλιστα νεωτέρου· ὅτε δὲ πάλιν ἐστὶ κατὰ μόνας, ἄνω πάντοτε ἵνα προσέχῃ· πολλὰ γὰρ θλίβονται καὶ φοβοῦνται οἱ δαίμονες, ὅταν προσέχωμεν ἄνω πρὸς Κύριον.

116. Εἶπε Γέρων· Ὁ Θεὸς ἀνέχεται τῆς ἁμαρτίας τοῦ κόσμου, τῆς δὲ ἁμαρτίας τῆς ἐρήμου οὐκ ἀνέχεται· ὁρᾷς, ἀδελφέ μου, πῶς οὐ κατὰ τὴν τοῦ κόσμου ἀναλογίαν καὶ ὁ τοῦ κόσμου ἀναχωρήσας ἀπαιτεῖται; Ἔχει γὰρ ἐκεῖνος προφάσεις πολλάς, ἡμεῖς δὲ ποίας προφάσεις εὑρήσομεν εἰσενέγκαι; Ἀληθῶς δεινὸν τό πῦρ καὶ πολλαὶ αἱ κολάσεις τῶν ἐγνωκότων τὸ θέλημα Κυρίου καὶ τοῦτο παριδόντων καὶ τῷ ἑαυτῶν θελήματι ἀκολουθούντων. Τρυφῶντες γὰρ καὶ συνηδόμενοι εἰς τὰ μάταια καὶ πρόσκαιρα λέγουσιν ὅτι διὰ τὴν χρείαν τοῦ σώματος κτῶμαι χρυσὸν καὶ ὕλας, ἵνα κυβερνήσω τὸ σῶμα· καλῶς πάνυ αὐτὸς ὁ λόγος τὴν ἀλήθειαν δεί-

117. Ψαλμ. 72, 22-23.

118. Ψαλμ. 115, 7. Ἐπαναλαμβάνοντας ὁ Προφήτης τὴν ἰδιότητα τῆς δουλείας καί γιά τά δυό πρόσωπα δηλώνει μεγαλύτερη ταπείνωση, ὥστε νά ἑλκύσει τό ἔλεος τοῦ Θεοῦ.

γνωρίζω τίποτε· σύ μέ ὁδήγησες στήν τάξη αὐτῆς τῆς σωτηρίας[117], σῶσε με· ἐγώ εἶμαι δοῦλος σου καί γιός τῆς δούλης σου μητέρας μου[118]. Κύριε, σῶσε με κατά τό θέλημά σου».

114. Εἶπε ἕνας Γέροντας: «Εἶναι ἀδύνατο νά ἀποκτήσει κάποιος τόν Ἰησοῦ, παρά μόνο μέ κόπο, μέ ταπείνωση καί ἀκατάπαυστη προσευχή».

115. Εἶπε κάποιος ἀπό τούς πατέρες: «Ὀφείλει ὁ μοναχός, ὅταν εἶναι μέ ἄλλους μοναχούς, πάντοτε νά ἔχει στραμμένο τό βλέμμα του στή γῆ καί νά μήν προσέχει καθόλου σέ πρόσωπο ἀνθρώπου καί μάλιστα νεώτερου. Κι ὅταν εἶναι μόνος του, νά ἔχει τήν προσοχή του πάντοτε στραμμένη πρός τά ἄνω· γιατί πολύ στενοχωροῦνται καί φοβοῦνται οἱ δαίμονες, ὅταν στρέφουμε τήν προσοχή μας ψηλά, πρός τόν Κύριο».

116. Εἶπε ἕνας Γέροντας: «Ὁ Θεός ἀνέχεται τήν ἁμαρτία τῶν κοσμικῶν, ὄχι ὅμως καί τήν ἁμαρτία τῶν ἐρημιτῶν. Βλέπεις, ἀδελφέ μου, πώς αὐτός πού ἀναχώρησε ἀπ' τόν κόσμο, δέν κρίνεται μέ τά κριτήρια πού κρίνεται ἕνας κοσμικός; Γιατί ἐκεῖνος ἔχει πολλές δικαιολογίες, ἐμεῖς ὅμως ποιές προφάσεις θά βροῦμε νά προβάλουμε; Πραγματικά εἶναι φοβερή ἡ φωτιά καί μεγάλη ἡ τιμωρία γι' αὐτούς πού ἔχουν γνωρίσει τό θέλημα τοῦ Κυρίου, καί ὅμως τό παραβλέπουν[119] καί ἀκολουθοῦν τό δικό τους θέλημα· γιατί, ἐνῶ κάνουν φιλήδονη ζωή κι εὐχαριστιοῦνται μέ τά μάταια καί πρόσκαιρα, λένε ὅτι "γιά τίς ἀνάγκες τοῦ σώματος προσπαθῶ ν' ἀποκτήσω χρήματα καί ὑλικά ἀγαθά, γιά νά συντηρήσω δηλαδή τό σῶμα". Καί πολύ σωστά αὐτός ὁ λόγος

119. Πρβλ. Λουκ. 12, 47-48.

κνυσι, εἰ ἄρα τῆς χρείας μόνον φροντίζουσιν· ἐν γὰρ τῷ εἰπεῖν ὅτι τὴν χρείαν μόνον φροντίζω τοῦ σώματος, οὐ χρὴ λοιπόν, ἐὰν προσενεχθῶσι τῷ μονάζοντι χρήματα ἢ πολυτελῆ βρώματα, τούτοις συνεπάγεσθαι, ἀλλὰ τῆς χρείας μόνον τοῦ σώματος προνοεῖσθαι ἀθορύβως. Καὶ ποῦ οἱ τὰ τοσαῦτα κτώμενοι καὶ πάλιν ἄλλα ζητοῦντες καὶ οἱ τοσαῦτα ἐσθίοντες πάλιν μείζονα βρώματα ἐπιθυμοῦντες; Εἰ μὲν ἐργάζῃ, μὴ δέχου χρήματα, εἰ δὲ δέχῃ, μὴ ἐργάζου, ἵνα μὴ περισπᾶσαι, ἀλλὰ καὶ ταῦτα κἀκεῖνα θέλομεν.

Προηνέγκαμέν σοι γὰρ τὰ γινόμενα αἴτια τῶν παθῶν, δι' ὧν ὁ δοκῶν εἶναι μοναχὸς χείρω τῶν κοσμικῶν κρίνεται, ὡς πολλῶν κοσμικῶν σεμνῶς βιούντων καὶ ἐλεημοσύνας ποιούντων, τούτου δὲ μηδὲ ἐλεοῦντος τὸν ἑαυτοῦ ἀδελφὸν ἀλλὰ καὶ σπαταλῶντος καὶ ποιοῦντος τὸν οἶκον τοῦ Θεοῦ οἶκον ἐμπορίου, μᾶλλον δὲ ἐργαστήριον καπηλείου. Περὶ ὧν κατὰ μέρος εἴπομεν τὰ συντείνοντα εἰς ματαιότητα, ἵνα γνόντες ἀποφύγωμεν καὶ σωθῶμεν. Δοκοῦμεν γὰρ οἱ πολλοὶ ὅτι ἐν τῷ περιβεβλῆσθαι τὸ σχῆμα καὶ ἐν τῷ λέγειν Κύριε, Κύριε καὶ ἐν τῷ ἀκούειν μονάζοντες ἔστι τὸ ἐπάγγελμα τοῦτο.

Ἀληθῶς, ἀδελφοί μου, ἐὰν μὴ ἑαυτοῖς προσέχωμεν, χείρω τῶν κοσμικῶν συμβαίνει ἡμᾶς ἐμπεσεῖν εἰς λάκκον, ἵνα μηδὲ βοῆσαι τοῦ λοιποῦ πρὸς Θεὸν δυνηθῶμεν. Φόβου οὖν χρεία καὶ ταπεινώσεως ἀληθινῆς· οἱ γὰρ πλεῖστοι τῶν ἀδελφῶν ἡμῶν ἐν ταπεινώσει δοκοῦντες εἶναι καὶ μοναχικῶς ἀναστρέφεσθαι καὶ τῶν ἰδίων θελημάτων ζητοῦντες ἀπολαῦσαι, τῷ τοῦ Θεοῦ θελήματι οὐχ ὑποτάσσονται, ἀλλ' ἐν

λέει τήν ἀλήθεια, ἐάν βέβαια φροντίζουν μόνο γιά τά απαραίτητα. Ἐφόσον λέει κάποιος "φροντίζω μόνο γιά τίς ἀνάγκες τοῦ σώματος", εἶναι ἑπόμενο ὅτι δέν πρέπει, ἐάν προσφερθοῦν σ' αὐτόν πού μονάζει χρήματα ἤ ἐκλεκτά φαγητά, νά παρασύρεται καί νά τά δέχεται, ἀλλά νά προνοεῖ ἀθόρυβα μόνο γιά τίς ἀνάγκες τοῦ σώματος. Καί ποῦ εἶναι ἐκεῖνοι πού, ἐνῶ ἔχουν ἀποκτήσει τόσα πολλά, ζητοῦν πάλι κι ἄλλα, καί ἐκεῖνοι πού, ἐνῶ τρῶνε τόσα, ὡστόσο ἐπιθυμοῦν πάλι ἐκλεκτότερες τροφές; Ἐάν ἐργάζεσαι, μή δέχεσαι χρήματα· ἄν ὅμως δέχεσαι, μήν ἐργάζεσαι, γιά νά μήν ἔχεις περισπασμούς· ἀλλά ἐμεῖς θέλουμε καί τό ἕνα καί τό ἄλλο.

Σοῦ ἀνέφερα πιό πάνω τά αἴτια πού προκαλοῦν τά πάθη, γιά τά ὁποῖα αὐτός πού φαίνεται ὅτι εἶναι μοναχός, θά κριθεῖ αὐστηρότερα ἀπό τούς κοσμικούς· γιατί πολλοί ἀπό τούς κοσμικούς ζοῦν σεμνά καί κάνουν ἐλεημοσύνες, ἐνῶ αὐτός οὔτε τόν ἀδελφό του σπλαχνίζεται, ἀλλά ἐπί πλέον καί σπαταλᾶ καί μετατρέπει τόν οἶκο τοῦ Θεοῦ σέ οἶκο ἐμπορίου ἤ καλύτερα σέ καπηλεῖο. Γι' αὐτά τά πράγματα ἐν μέρει εἴπαμε, ὅσα δηλαδή ὁδηγοῦν στή ματαιότητα, ὥστε γνωρίζοντάς τα, νά τά ἀποφύγουμε καί νά σωθοῦμε. Γιατί οἱ περισσότεροι νομίζουμε ὅτι ἡ ἀποστολή μας ἐξαντλεῖται στό ὅτι ἔχουμε φορέσει τό σχῆμα καί στό ὅτι λέμε "Κύριε, Κύριε", καί στό ὅτι μᾶς ἀποκαλοῦν μοναχούς.

Ἀλήθεια, ἀδελφοί μου, ἄν δέν προσέξουμε τόν ἑαυτό μας, εἶναι ἐνδεχόμενο ἐμεῖς χειρότερα ἀπό τούς κοσμικούς νά πέσουμε σέ λάκκο, ὥστε οὔτε κραυγή στό ἑξῆς νά μή μποροῦμε νά στείλουμε στόν Θεό. Εἶναι ἀνάγκη λοιπόν νά φοβόμαστε καί νά ἀναζητοῦμε τήν ἀληθινή ταπείνωση. Γιατί οἱ περισσότεροι ἀδελφοί μας ἐνῶ δίνουν τήν ἐντύπωση ὅτι ζοῦν ταπεινά καί ὡς μοναχοί συμπεριφέρονται, ὡστόσο θέλουν νά ἱκανοποιοῦν τά θελήματά τους καί δέν ὑποτάσσονται στό θέλημα τοῦ Θεοῦ· ἀλλά πέφτουν αἰχμά-

τοῖς ἰδίοις θελήμασιν ἁλίσκονται καὶ ἐν ματαίοις περισπασμοῖς καὶ φροντίσιν ἀπολλύουσι τὸν καιρὸν τὸν δοθέντα αὐτοῖς εἰς μετάνοιαν, ὃν πολλὰ ζητήσαντες μετ᾽ ὀλίγον οὐχ εὑρήσουσιν.

117. Εἶπε Γέρων· Σπούδασον ἐπιμελῶς μὴ ἁμαρτάνειν, ἵνα μὴ τὸν συνοικοῦντά σοι Θεὸν ὑβρίσῃς καὶ διώξῃς ἀπὸ τῆς ψυχῆς σου.

118. Εἶπε Γέρων· Ἀδελφοί, νήψωμεν, γρηγορήσωμεν, προσευχαῖς σχολάσωμεν, ἵνα σωθῶμεν· τὰ ἀρεστὰ τῷ Θεῷ ποιήσωμεν. Ὁ μὲν στρατιώτης εἰσιὼν ἐν τῷ πολέμῳ, μόνης τῆς ψυχῆς αὐτοῦ φροντίζει, ὁμοίως καὶ ὁ κυνηγός· ὁμοιωθῶμεν οὖν αὐτοῖς· ὁ κατὰ Θεὸν δὲ ζῶν σὺν αὐτῷ ζῇ. Ἐνοικήσω γάρ, φησίν, ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω καὶ ἔσομαι αὐτοῖς Θεὸς καὶ αὐτοὶ ἔσονταί μοι λαός.

119. Ἦλθέ ποτε ἀδελφὸς οἰκῶν εἰς τὰ Κελλία πρὸς ἕνα τῶν πατέρων καὶ εἶπεν αὐτῷ λογισμὸν ὅτι ἐθλίβετο καὶ λέγει αὐτῷ ὁ Γέρων· Σὺ ἀφῆκας τὸ μέγα ἐργαλεῖον χαμαί, ὅ ἐστιν ὁ φόβος τοῦ Θεοῦ καὶ ἔλαβες σεαυτῷ κατέχειν καλαμίνην ῥάβδον, τουτέστι πονηροὺς λογισμούς· μᾶλλον λάβε σεαυτῷ πῦρ, ὅ ἐστιν ὁ φόβος τοῦ Θεοῦ, καὶ ἡνίκα ἔρχεταί σοι ἐγγίσαι, ὡς καλάμη καίεται ὑπὸ τοῦ πυρός· οὐ γὰρ ἰσχύει πονηρία κατὰ τοῦ ἔχοντος τὸν φόβον τοῦ Θεοῦ.

---

120. Πρβλ. Ματθ. 25, 1-13.
121. Λευϊτ. 26, 11-12· Β΄ Κορ. 6, 16.

λωτοι μέσα στά ἴδια τους τά θελήματα καί χάνουν σέ μάταιους περισπασμούς καί φροντίδες τόν καιρό πού τούς δόθηκε γιά μετάνοια· αὐτόν τόν χρόνο, μετά ἀπό λίγο, πολύ θά τόν ἀναζητήσουν ἀλλά δέν θά τόν βροῦν[120]».

117. Εἶπε κάποιος Γέροντας: «Φρόντισε μέ ἰδιαίτερη προσοχή νά μήν ἁμαρτάνεις, γιά νά μήν προσβάλεις τόν Θεό πού κατοικεῖ μέσα σου καί τόν διώξεις ἀπ᾽ τήν ψυχή σου».

118. Εἶπε πάλι κάποιος Γέροντας: «Ἀδελφοί μου, ἄς ἔχουμε καθαρό νοῦ, στραμμένο στόν Θεό, ἄς ἀγρυπνήσουμε, ἄς ἀφιερώσουμε τόν χρόνο μας στήν προσευχή, γιά νά σωθοῦμε. Ἄς κάνουμε ὅσα ἀρέσουν στόν Θεό. Ὁ στρατιώτης, μόλις μπεῖ στόν πόλεμο, μόνη φροντίδα ἔχει τή ζωή του νά προφυλάξει, τό ἴδιο καί ὁ κυνηγός. Ἄς τούς μοιάσουμε λοιπόν. Ὅποιος ζεῖ, ὅπως θέλει ὁ Θεός, ζεῖ μαζί μέ τόν Θεό· γιατί λέει: «Θά κατοικήσω ἀνάμεσά τους καί θά πορεύομαι μαζί τους καί θά εἶμαι Θεός τους καί αὐτοί θά εἶναι λαός μου»[121].

119. Κάποτε ἕνας ἀδελφός πού ἔμενε στά Κελλία[122], πῆγε σ᾽ ἕναν ἀπ᾽ τούς πατέρες καί τοῦ ἐμπιστεύτηκε τόν λογισμό του ὅτι θλιβόταν, καί ὁ Γέροντας τοῦ ἀπάντησε: «Σύ πέταξες κάτω στή γῆ τό μεγάλο ἐργαλεῖο πού εἶναι ὁ φόβος τοῦ Θεοῦ καί πῆρες νά κρατᾶς γιά τόν ἑαυτό σου καλαμένιο ραβδί, δηλαδή πονηρούς λογισμούς· πάρε καλύτερα φωτιά νά ἔχεις, πού εἶναι ὁ φόβος τοῦ Θεοῦ, καί ὅποτε πάει νά σέ ἀκουμπήσει, θά καίγεται σάν καλάμι ἀπό τή φωτιά. Γιατί δέν ἔχει πέραση ἡ ἐνέργεια τοῦ πονηροῦ σ᾽ ὅποιον ἔχει τόν φόβο τοῦ Θεοῦ».

---

122. Βλ. Εἰσαγ. σελ. 22-23.

120. Εἶπε Γέρων· Μὴ δίδασκε πρὸ καιροῦ, εἰ δὲ μὴ ὅλον τὸν χρόνον σου ἔσῃ ἐλαττούμενος ἐν συνέσει.

121. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Πάτερ, εἰπέ μοι τί ἀγαθὸν ποιήσω, ἵνα ποιήσω τὸ θέλημα τοῦ Θεοῦ; Ὁ δὲ Γέρων εἶπεν· Τέκνον, ἐὰν θέλῃς τὸ θέλημα τοῦ Θεοῦ ποιῆσαι, ἀπέχου πάσης ἀδικίας, πλεονεξίας, φιλαργυρίας καὶ μὴ ἀποδώσῃς κακὸν ἀντὶ κακοῦ ἢ λοιδορίαν ἀντὶ λοιδορίας ἢ γρόνθον ἀντὶ γρόνθου ἢ κατάραν ἀντὶ κατάρας· μνημόνευε τοῦ Κυρίου εἰρηκότος· Μὴ κρίνετε καὶ οὐ μὴ κριθῆτε, ἄφετε καὶ ἀφεθήσεται ὑμῖν, ἐλεεῖτε ἵνα ἐλεηθῆτε, γινώσκοντες ἀκριβῶς ὅτι ὀφθαλμοὶ Κυρίου μυριοπλασίονα ἡλίου φωτεινότεροί εἰσιν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων καὶ λέληθεν αὐτῷ οὐδέν, οὔτε λογισμῶν οὔτε ἐννοιῶν οὔτε τι τῶν κρυπτῶν τῆς καρδίας.

Καὶ πάντως δεῖ παραστῆναι τῷ βήματι τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος κατὰ τὰς πράξεις αὐτοῦ· διὰ τοῦτο οὖν, τέκνον, ὀφείλομεν δουλεῦσαι αὐτῷ μετὰ φόβου καὶ τρόμου καὶ πάσης εὐλαβείας, καθὼς αὐτὸς ἐνετείλατο καὶ οἱ Ἀπόστολοι ἐδίδαξαν, ἵνα νήφωμεν εἰς τὰς προσευχὰς καὶ προσκαρτερῶμεν ἔν τε νηστείαις καὶ δεήσεσιν, αἰτούμενοι τὸν παντεπόπτην Θεὸν τοῦ μὴ εἰσενέγκαι ἡμᾶς εἰς πειρασμόν.

123. Β' Τιμ. 2, 19. 124. Λουκ. 12, 15. 125. Α' Τιμ. 6, 10.
126. Α' Πέτρ. 3, 9. 127. Λουκ. 6, 28· Ρωμ. 12, 14.
128. Λουκ. 6, 37. 129. Ματθ. 6, 14. 130. Σοφ. Σειρ. 23, 19.

120. Εἶπε κάποιος Γέροντας: «Μήν ἀρχίζεις νά διδάσκεις πρίν τήν ὥρα σου· ἀλλιῶς, σ' ὅλη σου τή ζωή θά ὑστερεῖς σέ σύνεση».

121. Κάποιος ἀδελφός ρώτησε ἕνα Γέροντα: «Πάτερ, πές μου τί τό καλό νά κάνω, γιά νά τηρήσω τό θέλημα τοῦ Θεοῦ;» Κι ὁ Γέροντας εἶπε: «Παιδί μου, ἄν θέλεις νά κάνεις τό θέλημα τοῦ Θεοῦ, νά ἀπέχεις ἀπό κάθε ἀδικία[123], πλεονεξία[124], φιλαργυρία[125] καί νά μήν ἀνταποδώσεις ποτέ κακό στό κακό· νά μήν κοροϊδέψεις, ἄν σέ κοροϊδέψουν[126]· νά μή γρονθοκοπήσεις, ἄν σέ γρονθοκοπήσουν ἤ νά μήν καταραστεῖς, ἄν σέ καταραστοῦν[127]. Ἀκόμη νά φέρνεις στή μνήμη σου τά λόγια τοῦ Κυρίου πού εἶπε νά μήν κρίνετε γιά νά μήν κριθεῖτε[128], νά συγχωρεῖτε γιά νά συγχωρεθοῦν καί οἱ δικές σας ἁμαρτίες[129], νά ἐλεεῖτε γιά νά ἐλεηθεῖτε, γνωρίζοντας πολύ καλά ὅτι τά μάτια τοῦ Κυρίου τά στραμμένα πρός τούς ἀνθρώπους εἶναι μύριες φορές φωτεινότερα ἀπ' τόν ἥλιο καί ὅτι δέν τοῦ ξεφεύγει τίποτε οὔτε ἀπό λογισμούς οὔτε ἀπό νοήματα οὔτε κάτι ἀπό τά μυστικά τῆς καρδιᾶς[130].

Νά θυμᾶσαι ἐπίσης ὅτι ὁπωσδήποτε θά παρουσιαστοῦμε μπροστά στόν θρόνο τοῦ Χριστοῦ γιά νά ἀποκομίσουμε ὁ καθένας σύμφωνα μέ τίς πράξεις του[131]. Γι' αὐτό λοιπόν, παιδί μου, ὀφείλουμε νά ὑπακούσουμε σ' αὐτόν μέ φόβο καί τρόμο καί μ' ὅλη μας τήν εὐλάβεια, καθώς ὁ ἴδιος ἔδωσε ἐντολή καί ἐδίδαξαν οἱ Ἀπόστολοι, ὥστε νά εἴμαστε νηφάλιοι στίς προσευχές[132] καί καρτερικά νά συνεχίσουμε τίς νηστεῖες καί τίς δεήσεις παρακαλώντας τόν Θεό, πού τά πάντα παρακολουθεῖ, νά μή μᾶς ἀφήσει νά πέσουμε σέ πειρασμό[133]».

131. Β' Κορ. 5, 10. 132. Α' Πέτρ. 4, 7. 133. Ματθ. 6, 13.

122. Ὁ αὐτὸς εἶπεν ὅτι· Ὀφείλει ὁ διδάσκων ἑτέρους περὶ τῆς ἑαυτῶν σωτηρίας πρῶτος τὸν καρπὸν τῆς διδασκαλίας δρέψασθαι· ὁ γὰρ ἑαυτὸν μὴ σωφρονίσας πῶς δύναται ἄλλον σωφρονίσαι; Καὶ ὅστις τῇ φιλαργυρίᾳ σφίγγεται καὶ ὑπὸ τοῦ ταύτης δαίμονος ἐλαύνεται, πῶς ἑτέρους περὶ ἐλεημοσύνης διδάξαι δύναται; Καὶ ὁ εἰς τὸ δοῦναι καὶ λαβεῖν καὶ πράσαι καὶ ἀγοράσαι ἑαυτὸν ἀσχολῶν καὶ εἰς τὰς γηίνας φροντίδας τὰς ἡμέρας καὶ τὰ ἔτη αὐτοῦ πλανώμενος καὶ δαπανῶν, πῶς δύναται ἄλλους διδάξαι περὶ τῶν μελλόντων ἀγαθῶν;

Εἰ γὰρ αὐτὸς ὁ διδάσκων καταλιπὼν τὰ οὐράνια περὶ τῶν προσκαίρων καὶ παρερχομένων ἑαυτὸν τέτηκεν, εὔδηλον ὅτι οἱ θεωροῦντες αὐτὸν καὶ οἱ ὑπ᾽ αὐτοῦ διδασκόμενοι διδαχθήσονται μὲν παρορᾶν τὰ αἰώνια, πᾶσαν δὲ τὴν φροντίδα ἐν τῷ παρόντι βίῳ κτήσασθαι· τῷ τοιούτῳ λέγει ὁ Θεός· Ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου; Σὺ δὲ ἐμίσησας παιδείαν καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω. Καὶ πάλιν· Οὐαὶ δι᾽ οὓς τὸ ὄνομά μου βλασφημεῖται.

Καλὸν τὸ διδάσκειν, ἐὰν ὁ λέγων ποιῇ, ἵνα δι᾽ ὧν λαλεῖ πράσσῃ καὶ δι᾽ ὧν σιγᾷ γινώσκηται· μακάριος γὰρ οὐχ ὁ διδάξας ἀλλ᾽ ὁ ποιήσας καὶ διδάξας.

134. Ψαλμ. 49, 16-17. 135. Ἡσ. 52, 5.

122. Ὁ ἴδιος Γέροντας εἶπε ὅτι ὅποιος διδάσκει τούς ἄλλους γιά τή σωτηρία τους, πρῶτος ὀφείλει νά συλλέξει τόν καρπό τῆς διδασκαλίας γιά τόν ἑαυτό του.

Γιατί ἐκεῖνος πού δέν μπορεῖ νά συνετίσει τόν ἑαυτό του, πῶς μπορεῖ νά συνετίσει ἄλλον; Καί ὅποιος εἶναι σφιχτά δεμένος μέ τή φιλαργυρία καί ἀπ᾽ αὐτῆς τό δαιμόνιο σέρνεται, πῶς μπορεῖ νά διδάξει ἄλλους γιά ἐλεημοσύνη; Καί ἐκεῖνος πού ἀσχολεῖται μέ δοσοληψίες καί ἀγοραπωλησίες περιπλανώμενος καί ξοδεύοντας τίς μέρες καί τά χρόνια του σέ γήινες φροντίδες, πῶς μπορεῖ νά διδάξει ἄλλους γιά τά μελλοντικά ἀγαθά;

Γιατί, ἄν, ὁ ἴδιος πού διδάσκει, ἔχει ἐγκαταλείψει τά οὐράνια καί ἔχει ἀναλώσει τόν ἑαυτό του στά πρόσκαιρα καί στά ἀβέβαια, εἶναι ὁλοφάνερο πώς αὐτοί πού τόν βλέπουν καί διδάσκονται ἀπ᾽ αὐτόν, θά μάθουν νά παραβλέπουν τά αἰώνια καί νά μεταφέρουν ὅλη τους τή φροντίδα σ᾽ αὐτήν ἐδῶ τή ζωή. Στόν ἄνθρωπο αὐτόν λέει ὁ Θεός: «Πῶς ἐσύ τολμᾶς νά μιλᾶς καί νά ἀναφέρεις τίς ἐντολές μου, νά παίρνεις δηλαδή στό στόμα σου τή διαθήκη μου, ἀφοῦ ἐσύ τήν παραβαίνεις; Ἐσύ μίσησες τή διόρθωσή σου καί ἔριξες πίσω σου τίς ἐντολές μου»[134]. Καί πάλι λέει: «Ἀλίμονο σ᾽ αὐτούς πού ἐξαιτίας τους διασύρεται τό ὄνομά μου»[135].

Εἶναι καλό νά διδάσκει κανείς, ἀλλά ἐάν ἐφαρμόζει ὅσα λέει· ὥστε οἱ πράξεις του νά εἶναι συνεπεῖς πρός αὐτά πού λέει καί ἀπό τό σιωπηλό του παράδειγμα νά ἀναγνωρίζεται ποιός εἶναι. Γιατί μακάριος δέν εἶναι αὐτός πού διδάσκει, ἀλλά αὐτός πού τά ἐφαρμόζει στή ζωή του καί τά διδάσκει[136].

136. Ματθ. 5, 19. Βλ. καί ὑποσημ. 202 σελ. 222.

123. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Πῶς οἱ ἐν τῷ κόσμῳ βιωτικοὶ νηστείαις ἀμελοῦντες καὶ προσευχῆς καταφρονοῦντες, ἀγρυπνιῶν ἀπεχόμενοι, πάσης βρώσεως ἐμφορούμενοι, κατὰ τὰς ἐπιθυμίας αὐτῶν ποιοῦντες, εἰς τὸ δοῦναι καὶ λαβεῖν ἀλλήλοις κατεσθίοντες, ὅρκοις καὶ ὁρκωμοσίαις τὸ πλεῖστον τῆς ἡμέρας ἀναλίσκοντες, οὐ πίπτουσιν, οὐδὲ λέγουσιν ὅτι ἡμάρτομεν, οὐδὲ τῆς Κοινωνίας ἑαυτοὺς ἀφορίζουσιν; Ἡμεῖς δὲ οἱ μοναχοὶ νηστείαις καὶ ἀγρυπνίαις καὶ χαμαικοιτίαις καὶ ξηροφαγίαις προσηλούμενοι καὶ πάσης ἀναπαύσεως σαρκικῆς ἐστερημένοι, πενθοῦμεν καὶ θρηνοῦμεν καὶ λέγομεν ὅτι ἀπολώλαμεν καὶ τῆς Βασιλείας ἐκπεπτώκαμεν καὶ τῆς γεέννης ὑπεύθυνοί ἐσμεν.

Ὁ δὲ Γέρων στενάξας εἶπε· Καλῶς εἶπας, ἀδελφέ, ὅτι οὐ πίπτουσιν οἱ κοσμικοί· πεσόντες γὰρ ἅπαξ ἐξαίσιον καὶ χαλεπὸν πτῶμα, οὔτε ἀναστῆναι δύνανται οὔτε ἔχουσιν ὅθεν πέσωσιν· τίς γάρ ἐστι μέριμνα τῷ διαβόλῳ παλαίειν τοῖς ἀεὶ κάτω κειμένοις καὶ μηδέποτε ἀνισταμένοις;

Οἱ μοναχοὶ μέν ποτε νικῶντες, ποτὲ δὲ νικώμενοι, πίπτοντες, ἐγειρόμενοι, θλίβοντες, θλιβόμενοι, πολεμοῦντες, πολεμούμενοι, ἀντιπαλαίουσι τῷ διαβόλῳ· οἱ δὲ κοσμικοὶ τῇ πρώτῃ πτώσει διὰ πολλὴν ἄγνοιαν ἐναπομείναντες καὶ μηδὲ εἰδότες ὅτι πεπτώκασιν, οὐδαμῶς τῆς τοιαύτης ἀναστῆναι φροντίζουσι καταπτώσεως.

Ἵνα δὲ μάθῃς, τέκνον, ὅτι οὐ μόνον ἐγώ τε καὶ σὺ οἱ δοκοῦντες εἶναι μοναχοί, μακρὰν δὲ ὄντες τῆς μοναδικῆς πολιτείας, χρῄζομεν πενθεῖν ἀεὶ καὶ θρηνεῖν ἀλλὰ καὶ οἱ μεγάλοι πατέρες, τουτέστιν οἱ ἀσκηταὶ καὶ οἱ ἀναχωρηταὶ χρῄζουσι

123. Κάποιος ἀδελφός ρώτησε ἕνα Γέροντα: «Πῶς οἱ ἄνθρωποι τοῦ κόσμου ἐνῶ παραμελοῦν τίς νηστεῖες, ἀδιαφοροῦν γιά τήν προσευχή, ἀπέχουν ἀπ᾿ τίς ἀγρυπνίες, χορταίνουν ἀπ᾿ ὅλες τίς τροφές, ἐνεργοῦν σύμφωνα μέ τίς ἐπιθυμίες τους, κατατρῶνε ὁ ἕνας τόν ἄλλο στίς δοσοληψίες τους καί ξοδεύουν τό περισσότερο μέρος τῆς ἡμέρας σέ ὅρκους καί σέ ἔνορκες διαβεβαιώσεις, πῶς δέν πέφτουν οὔτε λένε ὅτι ἁμαρτήσαμε κι οὔτε ἐμποδίζουν τούς ἑαυτούς τους ἀπό τήν Θεία Κοινωνία; Ἀντίθετα ἐμεῖς οἱ μοναχοί ἐνῶ εἴμαστε ἀφοσιωμένοι σέ νηστεῖες καί ἀγρυπνίες καί χαμαικοιτίες καί τρῶμε ξηρή τροφή καί ἐνῶ στερούμαστε κάθε σαρκική ἀνάπαυση, ὡστόσο πενθοῦμε καί θρηνοῦμε καί λέμε ὅτι χαθήκαμε καί χάσαμε καί τή Βασιλεία τοῦ Θεοῦ καί εἴμαστε ἄξιοι γιά τήν κόλαση».

Κι ὁ Γέροντας ἀφοῦ ἀναστέναξε, εἶπε: «Καλά εἶπες, ἀδελφέ μου, ὅτι δέν πέφτουν οἱ κοσμικοί, γιατί πέφτουν μιά γιά πάντα πτώση μεγάλη καί ὀδυνηρή, καί οὔτε μποροῦν νά σηκωθοῦν ἀλλ᾿ οὔτε κι ἔχουν ἀπό ποῦ ἄλλο νά πέσουν. Γιατί τί φροντίδα νἄχει ὁ διάβολος νά παλεύει μ᾿ αὐτούς πού εἶναι πάντα πεσμένοι καί ποτέ δέν σηκώνονται;

Ὅμως οἱ μοναχοί ἐνῶ ἄλλοτε νικοῦν καί ἄλλοτε νικῶνται, πέφτουν καί σηκώνονται, θλίβουν καί θλίβονται, πολεμοῦν καί τούς πολεμοῦν, ἀλλά παλεύουν τόν ἀντίπαλό τους διάβολο. Ἀντίθετα οἱ κοσμικοί ἀπό πολλή ἄγνοια, ἀφοῦ μείνουν στήν πρώτη πτώση, καί οὔτε ἔχουν συνείδηση ὅτι ἔχουν πέσει, δέν φροντίζουν καθόλου ἀπό μιά τέτοια πτώση νά σηκωθοῦν.

Γιά νά μάθεις ὅμως, παιδί μου, ὅτι ὄχι μόνον ἐγώ καί σύ, πού ἔχουμε τήν ἐντύπωση ὅτι εἴμαστε μοναχοί —στήν πραγματικότα ὅμως ἀπέχουμε πολύ ἀπ᾿ τόν μοναδικό αὐτό τρόπο ζωῆς—, ἔχουμε ἀνάγκη νά πενθοῦμε πάντα καί νά θρηνοῦμε, ἀλλά καί οἱ μεγάλοι πατέρες, δηλαδή οἱ ἀσκητές

τοῦ πένθους, ἄκουε συνετῶς καὶ γνῶθι· τὸ ψεῦδος ἐκ τοῦ διαβόλου ἐστίν, εἴρηκεν ὁ Θεός· καὶ τὸ ἐμβλέψαι γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι μοιχείαν ἐλογίσατο καὶ τὴν πρὸς τὸν πλησίον ὀργὴν φόνῳ παρείκασε καὶ ὑπὲρ ἀργοῦ ῥήματος λόγον διδόναι ἐφανέρωσεν. Τίς οὖν τοιοῦτος ἄνθρωπος καὶ ποῦ αὐτὸν ζητήσωμεν, ὁ καὶ ψεύδους ἀπείραστος καὶ πάσης τῆς κατ' ὄψιν ἐπιθυμίας ἀμύητος καὶ μηδέποτε ὀργισθεὶς τῷ πλησίον εἰκῇ, μηδὲ ἀργοῦ ῥήματος ὑπαίτιος εὑρεθείς, ὥστε μὴ χρῄζειν μετανοίας;

Τοῦτο οὖν γνῶθι, τέκνον, ὅτι ὁ μὴ ἑαυτὸν τελείως τῷ σταυρῷ ἐπιδοὺς ἐν φρονήματι ταπεινώσεως καὶ ἐξουδενώσεως καὶ ῥίψας ἑαυτὸν ὑπὸ πάντων καταπατεῖσθαι, ἀδικεῖσθαι καὶ καταγελᾶσθαι καὶ χλευάζεσθαι καὶ ταῦτα πάντα καὶ μετὰ εὐχαριστήσεως καὶ χαρᾶς διὰ τὸν Θεὸν ὑπομένειν καὶ μὴ ἐκδικεῖν ὅλως τὰ ἀνθρώπινα, τουτέστι δόξαν ἢ τιμὴν ἢ ἔπαινον ἢ ἡδονὴν βρώσεως ἢ πόσεως ἢ ἐνδύσεως, χριστιανὸς ἀληθὴς οὐ δύναται γενέσθαι.

124. Εἶπε Γέρων· Γνῶθι τῇ πείρᾳ τὸν ἀγαθὸν βίον καὶ μὴ φοβηθῇς ὡς ἀδύνατος.

125. Εἶπε Γέρων· Ἐὰν ἀπετάξω διὰ τὸν Θεὸν τοῖς κατὰ σάρκα, μὴ ἐάσῃς ἡδονὴν ἑλκύσαι σε καθημένου σου ἐν τῷ κελλίῳ οἰκτεῖραι πατέρα ἢ μητέρα ἢ ἀδελφὸν ἢ σπλάγχνα

---

137. Ἰω. 8, 44. 138. Ματθ. 5, 28. 139. Ματθ. 5, 21-23.

καί οἱ ἀναχωρητές ἔχουν ἀνάγκη ἀπό τό πένθος, ἄκου μέ σύνεση καί σχημάτισε σωστή γνώμη. Ὁ Θεός εἶπε ὅτι τό ψέμα βγῆκε ἀπ' τόν διάβολο[137]· καί τό νά ρίξει κανείς βλέμμα ἡδονικό σέ γυναίκα τό λογάριασε ὡς μοιχεία[138] καί τήν ὀργή πρός τόν πλησίον τήν παρομοίασε μέ φόνο[139] καί γιά κάθε ἀργολογία μας δήλωσε ὅτι θά λογοδοτήσουμε[140]. Ποιός λοιπόν εἶναι τέτοιος ἄνθρωπος καί ποῦ θά τόν ψάξουμε αὐτόν, πού οὔτε ποτέ εἶπε ψέμα, πού δέν δοκίμασε καθόλου ἐπιθυμία ἀπό τό βλέμμα, καί πού ποτέ νά μήν ὀργίστηκε ἄκαιρα πρός τόν πλησίον του καί νά μή βρέθηκε ὑπεύθυνος γιά ἀργό λόγο, ὥστε νά μή χρειάζεται μετάνοια;

Καί γνώριζε αὐτό, παιδί μου, ὅτι ὅποιος δέν θά παραδώσει τόν ἑαυτό του τελείως στόν σταυρό, μέ ταπεινό φρόνημα καί διάθεση ἐξουθένωσης καί δέν θά ρίξει τόν ἑαυτό του, ὥστε νά καταπατιέται ἀπό ὅλους καί νά ἀδικεῖται καί νά ἐμπαίζεται καί νά χλευάζεται καί ὅλα αὐτά μάλιστα νά τά δέχεται μέ διάθεση καλή καί χαρά γιά τή δόξα τοῦ Θεοῦ καί νά μή διεκδικεῖ διόλου τά ἀνθρώπινα δικαιώματα, δηλαδή δόξα ἤ τιμή ἤ ἔπαινο ἤ εὐχαρίστηση φαγητοῦ καί ποτοῦ ἤ ἐνδυμασίας, δέν μπορεῖ νά γίνει πραγματικός χριστιανός».

124. Εἶπε ἕνας Γέροντας: «Γνώρισε μέ τήν πεῖρα τόν ἐνάρετο βίο καί μή φοβηθεῖς πώς εἶσαι τάχα ἀδύνατος».

125. Εἶπε κάποιος Γέροντας: «Ἐάν ἀπαρνήθηκες γιά τήν ἀγάπη τοῦ Θεοῦ τούς κατά σάρκα συγγενεῖς σου, μήν ἀφήσεις τήν ὥρα πού κάθεσαι στό κελί σου, νά σέ παρασύρει ἔντονο συναίσθημα καί πονέσεις πατέρα ἤ μάνα ἤ

---

140. Ματθ. 12, 36.

υἱῶν ἢ θυγατέρων ἢ φιλίαν γυναικός. Πάντα γὰρ κατέλιπες διὰ τὸν Θεόν· μνήσθητι οὖν τῆς ὥρας τοῦ θανάτου σου, ὅτι οὐδεὶς αὐτῶν δύναταί σοι βοηθῆσαι.

126. Εἶπε Γέρων· Ὥσπερ ἐν τοῖς παλαίσμασι γυμνάζεται ὁ ἀγωνιστής, οὕτως ὀφείλει ὁ μοναχὸς τοῖς λογισμοῖς ἀνασταυροῦν τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανὸν καλῶν τὸν Θεὸν εἰς βοήθειαν.

Γυμνὸς ὁ ἀγωνιστὴς ἕστηκεν εἰς τὸ στάδιον παλαίων, γυμνὸς καὶ ἄυλος, ἀλειφόμενος ἐλαίῳ καὶ διδασκόμενος ὑπὸ τοῦ ἐπιστατοῦντος πῶς δεῖ παλαίειν. Ἔρχεται ὁ ἀνταγωνιστὴς ἐξεναντίας, ἐπιπάσσει ἄμμον, τουτέστι γῆν, ἵνα οὕτως αὐτὸν κατάσχῃ εὐχερῶς. Θεώρει τοῦτο εἰς ἑαυτόν, ὦ μοναχέ· ὁ ἐπιστάτης ἐστὶν ὁ Θεὸς ὁ παρέχων ἡμῖν τὴν νίκην, οἱ δὲ παλαισταὶ ἡμεῖς· ἀντίπαλος ὁ ἀντικείμενος τυγχάνει, ἡ δὲ ἄμμος τὰ πράγματα τοῦ κόσμου. Ὁρᾷς τὴν τέχνην τοῦ ἐχθροῦ; Στῆκε οὖν ἄυλος καὶ νικᾷς· ὅταν γὰρ ὁ νοῦς ὑλικῷ πνεύματι βαρυνθῇ, οὐ δέχεται τὸν ἄυλον λόγον.

127. Εἶπε Γέρων ὅτι· Ἦν τις γεωργὸς πλούσιος σφόδρα καὶ θέλων διδάξαι τοὺς υἱοὺς αὐτοῦ τὴν γεωργίαν εἶπεν αὐτοῖς· Τέκνα, οἴδατε πῶς ἐπλούτησα· καὶ ὑμεῖς οὖν, ἐὰν ἀκούσητέ μου, πλουτήσετε. Εἶπον αὐτῷ· Παρακαλοῦμέν σε, πάτερ, εἰπὲ ἡμῖν. Ὁ δὲ ἐχρήσατο τεχνικῶς, ἵνα μὴ ἀμελῶσι, καὶ εἶπεν αὐτοῖς· Ἔστι μία ἡμέρα τοῦ ἐνιαυτοῦ καὶ ἐάν τις εὑρεθῇ ἐργαζόμενος ἐν αὐτῇ, πλουτεῖ, ἀλλ᾽ ὑπὸ τοῦ γήρως ἐπελαθόμην ποία ἐστί· μὴ ἀμελήσητε οὖν μηδὲ μίαν ἡμέραν

---

141. Πρβλ. Α΄ Κορ. 2, 14.

ἀδελφό ἤ πολυαγαπημένους γιούς καί θυγατέρες ἤ ἀγαπητή σύζυγο. Γιατί ὅλα τά ἄφησες γιά τήν ἀγάπη τοῦ Θεοῦ· θυμήσου λοιπόν ὅτι τήν ὥρα τοῦ θανάτου σου κανένας ἀπ᾽ αὐτούς δέν μπορεῖ νά σέ βοηθήσει».

126. Εἶπε πάλι κάποιος Γέροντας: «Ὅπως ἀκριβῶς στά ἀγωνίσματα ἀσκεῖται ὁ ἀγωνιστής, ἔτσι πρέπει καί ὁ μοναχός γιά τούς λογισμούς του νά σηκώνει τά χέρια του πρός τόν οὐρανό καλώντας τόν Θεό σέ βοήθεια.

Γυμνός στέκεται ὁ ἀγωνιστής στό στάδιο γιά τήν πάλη, γυμνός καί χωρίς κανένα ὑλικό μέσο· τόν ἀλείφουν μέ λάδι καί διδάσκεται ἀπ᾽ τόν προπονητή του πῶς πρέπει νά παλαίει. Ἔρχεται ὁ ἀντίπαλος ἀπέναντί του, τόν πασπαλίζει μέ ἄμμο, δηλαδή μέ χῶμα, γιά νά μπορέσει ἔτσι νά τόν καταβάλει εὔκολα. Δές τήν εἰκόνα αὐτή στόν ἑαυτό σου, μοναχέ· ὁ ἐπιστάτης εἶναι ὁ Θεός, αὐτός πού μᾶς δίνει τή νίκη, καί παλαιστές ἐμεῖς· ἀντίπαλος εἶναι ὁ διάβολος καί ἡ ἄμμος τά πράγματα τοῦ κόσμου. Βλέπεις τήν τέχνη τοῦ ἐχθροῦ; Στάσου λοιπόν ἐλεύθερος ἀπό τά ὑλικά καί θά νικήσεις· γιατί ὅταν ὁ νοῦς τοῦ ἀνθρώπου σκοτιστεῖ ἀπό ὑλικό φρόνημα, δέν δέχεται τόν πνευματικό λόγο[141]».

127. Εἶπε ἕνας Γέροντας ὅτι ὑπῆρχε κάποιος γεωργός πολύ πλούσιος καί θέλοντας νά διδάξει στά παιδιά του τή γεωργία τούς εἶπε: «Παιδιά μου, ξέρετε καλά πῶς πλούτησα· καί σεῖς, λοιπόν ἄν μ᾽ ἀκούσετε, θά πλουτήσετε». Τοῦ εἶπαν τότε: «Πές μας σέ παρακαλοῦμε, πατέρα». Κι ἐκεῖνος χρησιμοποίησε ἕνα τέχνασμα γιά νά μήν ἀμελοῦν καί τούς εἶπε: «Ὑπάρχει κάποια μέρα τοῦ ἔτους πού, ἄν βρεθεῖ κανείς νά ἐργάζεται αὐτή τή μέρα, πλουτίζει· ἀλλά ἀπ᾽ τά γηρατειά μου ξέχασα ποιά εἶναι αὐτή ἡ μέρα. Μήν πάψετε λοιπόν οὔτε μία ἡμέρα τή δουλειά μήπως βρεθεῖτε τήν εὐ-

ἐργαζόμενοι, μήπως εὑρεθῇ ἡ εὐλογημένη ἐκείνη καὶ οὐκ ἐργάσησθε ἐν αὐτῇ καὶ εἰς κενὸν κοπιάσητε ὅλον τὸ ἔτος. Οὕτως οὖν καὶ ἡμεῖς ἐὰν ἐργαζώμεθα ἀδιαλείπτως, εὑρίσκομεν τὴν ὁδὸν τῆς ζωῆς.

128. Ἠρώτησεν ἀδελφὸς Γέροντα λέγων· Διατί, ὅταν ἐξέρχωμαι εἰς ἔργον, ῥαθυμῶ περὶ τῆς ψυχῆς μου; Λέγει αὐτῷ ὁ Γέρων· Οὐ θέλεις πληρῶσαι τὸ γεγραμμένον· λέγει γάρ· Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου, ἐν τῷ Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου. Ἐάν τε οὖν ἔσω ἐάν τε ἔξω, ὅπου ἂν ὑπάγῃς, μὴ ἀποστῇς εὐλογῶν τὸν Θεόν, οὐ λόγῳ μόνον ἀλλὰ καὶ ἔργῳ καὶ κατὰ διάνοιαν δόξαζέ σου τὸν Δεσπότην· οὐ γὰρ ἐν τόπῳ περιγράφεται τὸ θεῖον, ἀλλ' ἐν παντὶ ὂν τὰ πάντα συνέχει διὰ τῆς θεϊκῆς δυνάμεως αὐτοῦ.

129. Ἔλεγεν ἀδελφός τις ὅτι ἠρώτησε Γέροντα· Τί ποιήσω τῇ ἀμελείᾳ μου; Καὶ λέγει ὁ Γέρων· Ἐὰν μὴ ἐκριζώσῃς τὴν μικρὰν βοτάνην, ἥτις ἐστὶν ἡ ἀμέλεια, μέγα ἕλος γίνεται.

130. Εἶπε Γέρων ὅτι· Ἐὰν λέγῃς τινὶ περὶ ζωῆς λόγον, μετὰ κατανύξεως καὶ δακρύων εἰπὲ τῷ ἀκούοντι· ἐπεὶ μὴ εἴπῃς, ἵνα μὴ ἀποθάνῃς ἀνωφελὴς μένων ἐν ἀλλοτρίοις λόγοις ἄλλους βουλόμενος σῴζειν.

λογημένη ἐκείνη ἡμέρα νά μήν ἐργάζεσθε, ὁπότε θά πάει χαμένος ὁ κόπος ὅλης τῆς χρονιᾶς».

Ἔτσι λοιπόν κι ἐμεῖς, ἐάν δουλεύουμε ἀδιάκοπα, θά βροῦμε τόν δρόμο τῆς ζωῆς.

128. Κάποτε ρώτησε ἕνας ἀδελφός κάποιο Γέροντα: «Γιατί, ὅταν βγαίνω γιά χειρωνακτική ἐργασία, ἀμελῶ γιά τήν ψυχή μου;» Κι ὁ Γέροντας τοῦ ἀπαντᾶ: «Δέν θέλεις νά ἐκπληρωθεῖ σέ σένα αὐτό πού ἔχει γραφεῖ· γιατί λέει· "Θά δοξολογῶ τόν Κύριο σέ κάθε περίσταση, παντοτινά θά βρίσκεται ὁ ὕμνος του στό στόμα μου. Στόν Κύριο θά ἔχω τό καύχημα τῆς σωτηρίας μου"[142].

Εἴτε λοιπόν μέσα βρίσκεσαι εἴτε ἔξω, ὅπου κι ἄν πᾶς, μή σταματᾶς νά δοξολογεῖς τόν Θεό, ὄχι μόνο μέ τά λόγια ἀλλά καί μέ τά ἔργα καί μέ τόν νοῦ δόξαζε τόν Δεσπότη σου. Γιατί ὁ Θεός δέν περιορίζεται σ' ἕνα τόπο, ἀλλά βρίσκεται παντοῦ καί συγκρατεῖ τά πάντα μέ τή θεϊκή του δύναμη».

129. Εἶπε κάποιος ἀδελφός ὅτι ρώτησε ἕνα Γέροντα: «Τί νά κάνω μέ τήν ἀμέλειά μου;» Καί τοῦ ἀπαντᾶ ὁ Γέροντας: «Ἐάν δέν ξεριζώσεις τό μικρό χόρτο, πού εἶναι ἡ ἀμέλεια, θά γίνει μεγάλο λιβάδι γεμάτο βαλτόνερα».

130. Εἶπε κάποιος Γέροντας: «Ἐάν λές σέ κάποιον λόγο ζωῆς, μέ κατάνυξη καί δάκρυα νά μιλᾶς σ' αὐτόν πού σ' ἀκούει. Ἀλλιῶς μή μιλᾶς, γιά νά μήν ἔρθει ἡ ὥρα τοῦ θανάτου σου καί δέν ἔχεις ὠφεληθεῖ καθόλου μένοντας σέ λόγια ξένα γιά σένα, καθώς ἤθελες νά σώζεις ἄλλους».

142. Ψαλμ. 33, 2-3.

131. Εἶπε Γέρων ὅτι· Ὅπου ὑπάγεις, πρόσεχε σεαυτῷ διὰ παντός, ὅτι τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν· τουτέστιν ὅτι ὁ μοναχός, ὅπου ὑπάγει, κατοικία αὐτῷ ἐστιν· σπούδαζε οὖν ποιεῖν τὸν κανόνα σου καὶ τὰς ὥρας καὶ τὰ ἑσπερινὰ καὶ τῶν ἐννοιῶν μὴ ἀμέλει, πάντοτε θλῖψιν ἔχε πρὸ ὀφθαλμῶν σου, ταῦτα δὲ ἄνευ κόπου πολλοῦ κατορθωθῆναι οὐ δύναται.

132. Εἶπε πάλιν· Γενοῦ ὡς κάμηλος βαστάζων τὰς ἁμαρτίας σου καὶ δεδεμένος ἀκολουθῶν τῷ ἐπισταμένῳ τὴν ὁδὸν τοῦ Θεοῦ.

133. Εἶπέ τις τῶν πατέρων ὅτι· Τὰ μικρὰ περιφρονοῦντες εἰς μεγάλα ἐμπίπτομεν κακά. Σκόπει τὸ λεχθὲν οἷόν τι λέγω· ἐγέλασέ τις ἀκαίρως, ἀνεκάλεσεν ἕτερος· ἄλλος ἔλυσε τὸν φόβον εἰπών· Οὐδὲν παρὰ τοῦτο, τί γάρ ἐστι τὸ γελᾶν; Λοιπὸν οὖν ἀπὸ τούτου εὐτραπελία ἐτέχθη, ἐντεῦθεν αἰσχρολογία, ἐντεῦθεν αἱ αἰσχραὶ πράξεις καὶ παρανομίαι, οὕτως οὖν ἀπὸ τῶν δοκούντων εἶναι μικρῶν τὰ μεγάλα εἰσάγει ὁ πονηρός, ἀπὸ δὲ τῶν μεγάλων τὸ ἀπογινώσκειν· ἀπόγνωσις γὰρ δυσσεβὲς καὶ χαλεπόν, οὐ γὰρ οὕτως τὸ ἁμαρτάνειν ὡς τὸ ἀπογινώσκειν ἀπόλλυσιν· ὁ γὰρ μετανοήσας διορθοῦται τὸ σφάλμα, ὁ δὲ ἀπογνοὺς ἀπόλλυται. Μὴ οὖν τὰ μικρὰ περιφρονῶμεν· μετὰ δόλου γὰρ προσβάλλει, ἐπεί, φανερῶς εἰ ἐπολέμει, εὔκολος ἦν ἡ μάχη καὶ ῥαδία ἡ νίκη· μᾶλλον δὲ ἐὰν νήφωμεν, νῦν εὔκολός ἐστιν· ὁ γὰρ Θεὸς καθώπλισεν ἡμᾶς ποθῶν μηδὲ τῶν μικρῶν ἡμᾶς καταφρονεῖν.

143. Ψαλμ. 103, 17.

131. Εἶπε ἕνας Γέροντας: «Ὅπου κι ἄν πᾶς, πρόσεχε παντοτινά τόν ἑαυτό σου, γιατί "τοῦ νυχτοκόρακα ἡ φωλιά εἶναι στημένη πιό πάνω ἀπ' αὐτούς"[143]· δηλαδή ὅπου κι ἄν πάει ὁ μοναχός εἶναι γι' αὐτόν κατοικία. Φρόντιζε ἑπομένως νά κάνεις τόν κανόνα σου καί μήν ἀμελεῖς οὔτε τίς Ὧρες οὔτε τίς ἑσπερινές Ἀκολουθίες, ἀλλά καί στά νοήματά τους νά μετέχεις. Πάντοτε νά ἔχεις πρό ὀφθαλμῶν τή θλίψη, γιατί ὅλα αὐτά δέν μποροῦν νά γίνονται χωρίς πολύ κόπο».

132. Εἶπε πάλι: «Νά εἶσαι σάν τήν καμήλα, νά κουβαλᾶς στήν πλάτη τίς ἁμαρτίες σου καί δεμένος ν' ἀκολουθεῖς πίσω ἀπ' αὐτόν πού γνωρίζει καλά τόν δρόμο τοῦ Θεοῦ».

133. Κάποτε εἶπε κάποιος ἀπ' τούς πατέρες: «Ὅσοι περιφρονοῦμε τά μικρά, πέφτουμε σέ μεγάλες συμφορές. Πρόσεξε τί ἐννοῶ· σάν παράδειγμα λέω: Γέλασε κάποιος χωρίς λόγο, ὁ ἄλλος τόν κάλεσε σέ τάξη· ἕνας τρίτος διέλυσε τόν φόβο λέγοντας· "Τί τό κακό· τί πειράζει νά γελάσει κανείς;" Στή συνέχεια λοιπόν ἀπ' αὐτό δημιουργήθηκε ζωηρότητα, ἀπ' τή ζωηρότητα τά ἀκατάλληλα λόγια, μετά ἀπό κεῖ ἄπρεπες ἐνέργειες καί παρανομίες καί ἔτσι ἀπ' αὐτά πού φαίνονται ὅτι εἶναι μικρά εἰσάγει τά μεγάλα ὁ πονηρός καί ἀπό τά μεγάλα ὁδηγεῖ στήν ἀπόγνωση. Καί ἡ ἀπόγνωση εἶναι ἀσέβεια καί ἐπικίνδυνη κατάσταση, γιατί δέν καταστρέφει τόσο ἡ ἁμαρτία, ὅσο ἡ ἀπόγνωση. Γιατί ἐκεῖνος πού μετανοεῖ, διορθώνει τό σφάλμα του, ἐνῶ αὐτός πού ἔχει πέσει σέ ἀπόγνωση, χάνεται. Λοιπόν ἄς μήν καταφρονοῦμε τά μικρά· μᾶς χτυπᾶ μέ δόλο ὁ ἐχθρός· γιατί ἄν πολεμοῦσε στά φανερά, θά ἦταν εὔκολη ἡ μάχη καί ἕτοιμη ἡ νίκη. Ἀκόμη πιό εὔκολη εἶναι τώρα, ἐάν βρισκόμαστε σέ ἐγρήγορση, γιατί ὁ Θεός μᾶς ὅπλισε τέλεια ἐπιθυμώντας νά μήν καταφρονοῦμε οὔτε τά μικρά.

Ἄκουσον τί παραινεῖ λέγων· Ὁ εἰπὼν τῷ ἀδελφῷ αὐτοῦ μωρὲ ἔνοχος ἔσται εἰς τὴν γέενναν καὶ ὁ ὀφθαλμοῖς ἀκολάστοις ἰδὼν μοιχός ἐστι καὶ τοὺς γελῶντας ταλανίζει καὶ περὶ ἀργοῦ ῥήματος λόγον ἀπαιτεῖ, διὰ τοῦτο καὶ ὁ Ἰὼβ ἐννοίας παίδων ἐθεράπευε· ταῦτα οὖν εἰδότες ἀσφαλισώμεθα ἑαυτοὺς εἰς τὰς προσβολὰς καὶ οὐ μὴ πέσωμεν ποτέ.

134. Εἶπε Γέρων· Μὴ θῇς τράπεζαν πρὸ τῆς ὥρας μόνος ὢν καὶ μὴ λάλει προτοῦ σε ἐρωτηθῆναι καί, ἐὰν ἐρωτηθῇς, λάλησον τὸ πρέπον μετὰ συνέσεως.

135. Εἶπε Γέρων· Βλέπεις ὅτι ὁ διάβολος τὴν πρώτην πληγὴν τῷ Ἰὼβ εἰς τὰ ὑπάρχοντα αὐτοῦ προσήνεγκεν; Καὶ ἰδὼν ὅτι οὐκ ἀπεχώρησε τοῦ Θεοῦ, τότε τὴν δευτέραν εἰς τὸ σῶμα αὐτοῦ προσέφερε καὶ οὐδὲ οὕτως ὁ γενναῖος ἀθλητὴς ἥμαρτεν ἐν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ· εἶχε γὰρ ἔσωθεν τὰ ὑπάρχοντα τοῦ Θεοῦ καὶ πάντα ἐν αὐτοῖς ἔμενεν.

136. Εἶπε Γέρων ὅτι· Ὁ εἰσερχόμενος εἰς μυρεψὸν κἂν μηδὲν ἀγοράσῃ, ἀλλὰ πάντως μεταλαμβάνει τῆς εὐωδίας· οὕτως καὶ ὁ παραβάλλων τοῖς πράγμασιν, ἐὰν θελήσῃ ἐργάσασθαι, ὑποδεικνύουσιν αὐτῷ τὴν ὁδὸν τῆς ταπεινώσεως καὶ τεῖχος αὐτῷ γίνεται ἐν ταῖς ἐπιδρομαῖς τῶν δαιμόνων.

144. Ματθ. 5, 22. 145. Ματθ. 5, 28. 146. Ματθ. 12, 36.

Κι ἄκουσε πῶς μᾶς προτρέπει: Ἐκεῖνος πού θά πεῖ τόν ἀδελφό του "ἄμυαλε" θά εἶναι ἔνοχος γιά τήν κόλαση[144]· καί ὅποιος κοιτάξει μέ ἁμαρτωλό βλέμμα, εἶναι μοιχός[145]· ταλανίζει ἀκόμη ἐκείνους πού γελοῦν καί ζητάει λόγο γιά κάθε ἀργολογία[146]· γι' αὐτό καί μέ θυσίες στόν Θεό θεράπευε ὁ Ἰώβ τούς λογισμούς τῶν παιδιῶν του[147]. Αὐτά λοιπόν γνωρίζοντάς τα καλά ἄς ἀσφαλίσουμε τούς ἑαυτούς μας, ὅταν ἐγγίζει ὁ ἐχθρός, καί δέν θά κινδυνεύσουμε νά πέσουμε ποτέ».

134. Εἶπε κάποιος Γέροντας: «Μήν κάτσεις νά φᾶς πρίν τήν κανονική ὥρα, καθώς εἶσαι μόνος· μή μιλᾶς, προτοῦ σέ ρωτήσουν· καί ἄν σέ ρωτήσουν, πές μέ σύνεση αὐτό πού πρέπει».

135. Εἶπε ἕνας Γέροντας: «Βλέπεις ὅτι ὁ διάβολος τήν πρώτη φορά χτύπησε τόν Ἰώβ στά ὑπάρχοντά του. Εἶδε ὅμως ὅτι δέν ἀπομακρύνθηκε ἀπό τόν Θεό καί τότε τό δεύτερο χτύπημα τό ἐπέφερε στό σῶμα του· ἀλλά οὔτε ἔτσι ὁ γενναῖος ἀθλητής ἁμάρτησε μέ λόγο ἁμαρτωλό ἀπό τό στόμα του, γιατί μέσα του εἶχε τόν θησαυρό τοῦ Θεοῦ καί κατά πάντα ἔμενε σταθερά μέσα σ' αὐτόν[148]».

136. Εἶπε κάποιος Γέροντας: «Αὐτός πού μπαίνει στό ἐργαστήρι τοῦ μυροπώλη, ἀκόμη κι ἄν δέν ἀγοράσει τίποτε, ὁπωσδήποτε παίρνει κάτι ἀπό τήν εὐωδιά. Ἔτσι κι αὐτός πού πλησιάζει τά πράγματα, ἄν θελήσει νά δουλέψει, τοῦ δείχνουν τόν δρόμο τῆς ταπείνωσης καί αὐτό τοῦ γίνεται τεῖχος στίς ἐπιδρομές τῶν δαιμόνων».

147. Ἰώβ 1, 5. 148. Ἰώβ 1, 13-22 καί 2, 10.

137. Ἀδελφὸς ἠρώτησε Γέροντα ὅτι· Ποιῶ πάντα τὰ πρέποντα ἐν τῷ κελλίῳ μου καὶ οὐχ εὑρίσκω παράκλησιν παρὰ τοῦ Θεοῦ. Λέγει αὐτῷ ὁ Γέρων· Τοῦτό σοι συμβαίνει διὰ τὸ συνδιατρίβειν σε ἀπραγοτέρῳ καὶ βούλεσθαί σε τὸ θέλημά σου προβῆναι. Λέγει ὁ ἀδελφὸς τῷ Γέροντι· Τί οὖν θέλεις, ἵνα ποιήσω, πάτερ; Λέγει ὁ Γέρων· Ἄπελθε, κολλήθητι ἀνθρώπῳ φοβουμένῳ τὸν Θεὸν καὶ ταπείνωσον σεαυτὸν αὐτῷ καὶ ἔκδος τὸ θέλημά σου· καὶ τότε εὑρήσεις παράκλησιν παρὰ τοῦ Θεοῦ.

138. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Εἰπόν μοι ῥῆμα. Ὁ δὲ λέγει αὐτῷ· Μὴ κάθου μετὰ αἱρετικοῦ καὶ κράτει γλώσσης καὶ κοιλίας καὶ ὅπου κάθῃ, συνεχῶς λέγε ὅτι ξένος εἰμί.

139. Γέρων τις ἐκάθητο ἐν Σκήτῃ καὶ ἀπῆλθεν ἐν μιᾷ εἰς Ἀλεξάνδρειαν τὸ ἐργόχειρον αὐτοῦ πωλῆσαι καὶ θεωρεῖ νεώτερον μοναχὸν εἰσελθόντα εἰς καπηλεῖον· ἐπὶ τούτῳ ὁ Γέρων ἐθλίβη καὶ ἐνέμεινεν ἔξω ἱστάμενος, ἵνα, ὅταν ἐξέλθῃ, συντύχῃ αὐτῷ, ὅπερ καὶ γέγονε.

Καὶ ἅμα τῷ ἐξελθεῖν αὐτὸν κρατήσας ὁ Γέρων τῆς χειρὸς αὐτοῦ ἔλαβεν αὐτὸν κατ' ἰδίαν καὶ λέγει αὐτῷ· Κύρι ἀδελφέ, οὐκ οἶδας ὅτι σχῆμα ἀγγελικὸν περιβέβλησαι; Οὐκ οἶδας ὅτι νεώτερος εἶ; Οὐκ οἶδας ὅτι πολλαί εἰσιν αἱ παγίδες τοῦ ἐχθροῦ; Οὐκ οἶδας ὅτι καὶ δι' ὀφθαλμῶν καὶ δι' ἀκοῆς καὶ διὰ σχημάτων οἱ μοναχοὶ ἀδικοῦνται ἐν ταῖς πόλεσι; Σὺ δὲ εἰς τὰ καπηλεῖα ἀδεῶς εἰσέρχῃ καὶ ἃ οὐ θέλεις ἀκούεις καὶ ἃ οὐ θέλεις θεωρεῖς καὶ ἀσέμνοις ἀνδράσι καὶ γυναιξὶ συναναστρέφῃ; Μὴ παρακαλῶ, μή, τέκνον μου, ἀλλὰ φύγε

149. Βλ. Εἰσαγ. σελ. 22

137. Κάποιος ἀδελφός ρώτησε ἕνα Γέροντα: «Κάνω ὅλα τά πρέποντα μέσα στό κελί μου καί δέν βρίσκω παρηγοριά ἀπό τόν Θεό». Καί τοῦ λέει ὁ Γέροντας: «Αὐτό σοῦ συμβαίνει, γιατί ζεῖς μέ ἄνθρωπο πιό ἄπειρο ἀπό σένα καί γιατί θέλεις τό θέλημά σου νά πηγαίνει μπροστά». «Τί λοιπόν θέλεις νά κάνω, πάτερ;» ρωτάει ὁ ἀδελφός τόν Γέροντα. Καί τοῦ ἀπαντᾶ ὁ Γέροντας: «Πήγαινε, προσκολλήσου σέ ἄνθρωπο πού ἔχει φόβο Θεοῦ, ταπείνωσε τόν ἑαυτό σου ἐνώπιόν του, παράδωσε τό θέλημά σου καί τότε θά βρεῖς παρηγοριά ἀπό τόν Θεό».

138. Ἕνας ἀδελφός παρακάλεσε κάποιο Γέροντα: «Πές μου ἕνα λόγο». Κι αὐτός τοῦ λέει: «Μήν κάνεις συντροφιά μέ αἱρετικό, κυριάρχησε στή γλώσσα σου καί στήν κοιλιά σου καί, ὅπου μένεις, λέγε συνεχῶς: Εἶμαι ξένος».

139. Κάποιος Γέροντας ἔμενε στή Σκήτη[149] καί μιά μέρα πῆγε στήν Ἀλεξάνδρεια, γιά νά πουλήσει τό ἐργόχειρό του, καί εἶδε ἕναν νέο μοναχό νά μπαίνει σέ καπηλειό. Ὁ Γέροντας λυπήθηκε πολύ γι' αὐτό· στάθηκε ἔξω καί περίμενε, γιά νά τόν συναντήσει, ὅταν βγεῖ, πράγμα τό ὁποῖο καί ἔγινε.

Καί μόλις βγῆκε, τόν ἔπιασε ὁ Γέροντας ἀπ' τό χέρι, τόν πῆρε παράμερα καί τοῦ λέει: «Ἀδελφέ μου, δέν γνωρίζεις ὅτι εἶσαι ντυμένος μέ ἀγγελικό σχῆμα; Δέν σκέφτεσαι ὅτι εἶσαι νέος; Δέν σκέφτεσαι ὅτι εἶναι πολλές οἱ παγίδες τοῦ ἐχθροῦ; Δέν ξέρεις ὅτι οἱ μοναχοί βλάπτονται μέσα στίς πόλεις καί ἀπ' ὅσα βλέπουν καί ἀπ' ὅσα ἀκοῦν καί ἀπό τά καμώματα τῶν ἀνθρώπων; Καί σύ μπαίνεις ἄφοβα στά καπηλειά καί αὐτά πού δέν θέλεις ἀκοῦς καί αὐτά πού δέν θέλεις βλέπεις καί συναναστρέφεσαι μέ ἄσεμνους ἄνδρες καί γυναῖκες; Μή, σέ παρακαλῶ, μή, παιδί μου, φύγε

εἰς τὴν ἔρημον, ὅπου καὶ δύνῃ μετὰ τῆς τοῦ Θεοῦ βοηθείας σωθῆναι.

Ἀπεκρίθη αὐτῷ ὁ νεώτερος· Ὕπαγε, καλόγηρε, ὁ Θεὸς οὐ ζητεῖ εἰ μὴ καρδίαν καθαράν. Τότε ἐκτείνας ὁ Γέρων τὰς χεῖρας εἰς τὸν οὐρανὸν εἶπε· Δόξα σοι, ὁ Θεός, ὅτι ἔχω ἐν τῇ Σκήτῃ ἔτη πεντήκοντα πέντε καὶ καρδίαν καθαρὰν οὐκ ἐκτησάμην καὶ οὗτος εἰς τὰ καπηλεῖα ἀναστρεφόμενος καρδίαν καθαρὰν ἐκτήσατο. Καὶ στραφεὶς πρὸς τὸν ἀδελφὸν λέγει· Ὁ Θεός, τέκνον, καὶ σὲ σώσῃ κἀμὲ μὴ καταισχύνῃ.

140. Εἶπε Γέρων· Τεκνία, τὸ ἅλας ἐκ τοῦ ὕδατός ἐστι καί, ἐὰν προσεγγίσῃ ὕδατι, λύεται καὶ ἀφανίζεται· ὁμοίως καὶ ὁ μοναχὸς ἐκ τῆς γυναικός ἐστι καί, ἐὰν προσεγγίσῃ γυναικί, λύεται καὶ ἀπόλλυται.

141. Εἶπε Γέρων ὅτι· Εὐχόμεθα πρὸς τὸν Θεὸν λέγοντες, μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν· οὐχ ἵνα μὴ πειρασθῶμεν λέγομεν —ἀδύνατον γὰρ τοῦτο— ἀλλ' ἵνα μὴ καταποθῶμεν ὑπὸ τοῦ πειρασμοῦ ἐν τῷ πρᾶξαί τι ἀπαρέσκον τῷ Θεῷ· τοῦτο γάρ ἐστι τὸ εἰσελθεῖν εἰς πειρασμόν· ὥσπερ γὰρ ὁ μαχόμενος μετὰ θηρίου, ἐὰν μὴ βρωθῇ ὑπ' αὐτοῦ, οὐκ εἰσῆλθεν εἰς αὐτό, οὕτως καὶ ἐπὶ πάντων τῶν παθῶν· ἕως ἂν μὴ νικηθῶμεν, οὐκ εἰσήλθομεν εἰς πειρασμόν.

142. Εἶπε Γέρων· Παρακάλεσον τὸν Θεόν, ἵνα δώσῃ πένθος εἰς τὴν καρδίαν σου καὶ ταπείνωσιν, καὶ πρόσεχε πάντοτε ταῖς ἁμαρτίαις σου καὶ μὴ κρίνῃς ἄλλους, ἀλλὰ γενοῦ ὑποκάτω πάντων, καὶ μὴ ἔχε φιλίαν μετὰ γυναικὸς μηδὲ μετὰ παιδίου μηδὲ μετὰ αἱρετικῶν καὶ κόψον τὴν παρρη-

150. Ματθ. 6, 13.

στήν ἔρημο, ὅπου καί θά μπορέσεις μέ τή βοήθεια τοῦ Θεοῦ νά σωθεῖς». Καί τοῦ ἀποκρίθηκε ὁ νέος: «Φύγε, καλόγερε, ὁ Θεός δέν ζητάει ἄλλο παρά καρδιά καθαρή». Τότε σήκωσε τά χέρια πρός τόν οὐρανό ὁ Γέροντας καί εἶπε: «Δόξα νά 'χεις, Θεέ μου, εἶμαι πενήντα πέντε χρόνια στή Σκήτη καί καρδιά καθαρή δέν ἀπέκτησα· καί αὐτός στά καπηλειά γυρνώντας ἀπέκτησε καρδιά καθαρή». Στράφηκε κατόπιν στόν ἀδελφό καί τοῦ λέει: «Ὁ Θεός, παιδί μου, καί σένα νά σώσει καί μένα νά μή μέ ντροπιάσει».

140. Εἶπε Γέροντας: «Παιδιά μου, τό ἁλάτι ἀπ' τό νερό προέρχεται, ἀλλά, ἐάν ἀγγίξει τό νερό, διαλύεται καί ἐξαφανίζεται. Τό ἴδιο καί ὁ μοναχός ἀπό τή γυναίκα προέρχεται ἀλλά, ἐάν πλησιάσει γυναίκα, διαλύεται καί χάνεται».

141. Εἶπε Γέροντας: «Προσευχόμαστε στόν Θεό καί τοῦ λέμε "μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν"[150]· δέν τό λέμε αὐτό γιά νά μή μᾶς βρεῖ πειρασμός —γιατί αὐτό εἶναι ἀδύνατο— ἀλλά γιά νά μή μᾶς καταπιεῖ ὁ πειρασμός, κάνοντας δηλαδή κάτι πού εἶναι δυσάρεστο στόν Θεό. Αὐτό σημαίνει τό νά εἰσέλθει κανείς στόν πειρασμό. Ὅπως ἀκριβῶς αὐτός πού παλεύει μ' ἕνα θηρίο, ἐάν δέν φαγωθεῖ ἀπ' αὐτό, δέν μπῆκε μέσα σ' αὐτό. Ἔτσι γίνεται καί μέ ὅλα τά πάθη. Ἕως ὅτου μένομε ἀνίκητοι, δέν εἰσήλθαμε στόν πειρασμό».

142. Εἶπε Γέροντας: «Παρακάλεσε τόν Θεό νά σοῦ δώσει πένθος στήν καρδιά καί ταπείνωση. Νά ἔχεις πάντα στραμμένη τήν προσοχή στίς ἁμαρτίες σου καί νά μήν κρίνεις τούς ἄλλους· ἀντίθετα, νά τοποθετεῖς τόν ἑαυτό σου κάτω ἀπ' ὅλους. Μήν ἔχεις φιλία μέ γυναίκα, μήτε μέ παιδί μήτε μέ αἱρετικό. Κόψε καί πέταξέ την μακριά ἀπό σένα

σίαν ἀπὸ σοῦ καὶ κράτει τῆς γλώσσης σου καὶ τῆς κοιλίας καὶ ἀπὸ οἴνου· καὶ ἐάν τις λαλήσῃ μετὰ σοῦ περὶ πράγματος οἱουδήποτε, μὴ φιλονίκει μετ' αὐτοῦ, ἀλλ' ἐὰν καλῶς λέγει, εἰπέ· Ναί· ἐὰν δὲ κακῶς, εἰπέ· Σὺ οἶδας πῶς λαλεῖς. Καὶ μὴ ἔριζε μετ' αὐτοῦ περὶ ὧν ἐλάλησεν. Καὶ τότε εἰρηνεύσει σου ὁ λογισμός.

143. Ἔλεγεν ἄλλος ὅτι ἔλεγέ τις τῶν πατέρων τὴν ξηροτέραν καὶ μὴ ἀνώμαλον δίαιταν ἀγάπῃ συζευχθεῖσαν θᾶττον εἰσάγειν τὸν μοναχὸν εἰς τὸν τῆς ἀπαθείας λιμένα.

144. Εἶπε πάλιν· Ἐμηνύθη τινὶ τῶν μοναχῶν ὁ θάνατος τοῦ πατρὸς αὐτοῦ. Ὁ δὲ πρὸς ἀπαγγείλαντα· Παῦσαι, φησί, βλασφημῶν, ὁ γὰρ ἐμὸς πατὴρ ἀθάνατός ἐστιν.

145. Εἶπε Γέρων· Ὅρος χριστιανοῦ μίμησις Χριστοῦ.

151. Τό ἀπόφθεγμα αὐτό καθώς καί τό ἑπόμενο εἶναι τοῦ Εὐαγρίου. Ἀλλά μετά τή γνωστή καταδίκη του, ἀποσιωποῦσαν τό ὄνομά του οἱ ἀντιγραφεῖς.

152. Ξηρή τροφή = ἡ ἀμαγείρευτη τροφή, ἡ ξηροφαγία.

153. Ὁμαλή δίαιτα χαρακτηρίζεται καί εἶναι ἀποδεκτή ἀπό πολλούς πατέρες ἡ «μετ' ἐγκρατείας» καθημερινή λήψη τροφῆς, παρά ἡ μέρα παρά μέρα ἤ ἀνά δυό μέρες κλπ., ὅπως ἔκαναν ὁρισμένοι ἀσκητές.

Σαφής εἶναι καί ἡ ἀπάντηση τοῦ ἀββᾶ Ποιμένος, ὅταν τόν ρώτησαν πῶς πρέπει νά νηστεύουμε. Εἶπε· «Ἐγὼ θέλω τὸν ἐσθίοντα καθ' ἡμέραν παρὰ μικρὸν ἐσθίειν, ἵνα μὴ χορτάζηται. Λέγει αὐτῷ ὁ ἀββᾶς Ἰωσήφ· ὅτε ἧς νεώτερος, οὐκ ἐνήστευσας δύο-δύο, ἀββᾶ; Καὶ εἶπεν ὁ Γέρων· φύσει καὶ τρεῖς καὶ τέσσαρας καὶ ἑβδομάδα· καὶ ταῦτα πάντα ἐδοκίμασαν οἱ πατέρες ὡς δυνατοὶ καὶ εὗρον ὅτι καλόν ἐστι τὸ καθ' ἡμέραν ἐσθίειν, παρὰ μικρὸν δέ. Καὶ παρέδωκαν ἡμῖν τὴν βασιλικὴν ὁδόν, ὅτι ἐλαφρά ἐστι» (*Ἀλφαβητικὸν Γεροντικόν*, Ἀββᾶς Ποιμὴν λα').

τήν παρρησία. Νά κυριαρχεῖς στή γλώσσα σου καί στήν κοιλιά σου· ν' ἀποφεύγεις καί τό κρασί.

Ἐάν κάποιος μιλήσει μαζί σου γιά ὁποιοδήποτε πράγμα, μήν καυγαδίζεις μαζί του· ἀλλά ἐάν μιλάει καλά, πές "ναί"· ἄν ὅμως μιλάει ἄσχημα, πές του "σύ ξέρεις πῶς μιλᾶς" καί μήν τά βάζεις μαζί του γιά ὅσα εἶπε. Ἔτσι θά εἰρηνεύσει ὁ λογισμός σου».

143. Ἕνας ἄλλος εἶπε ὅτι κάποιος ἀπό τούς πατέρες[151] ἔλεγε πώς ἡ ξηρή[152] κατά τό δυνατόν τροφή καί ὁ ὁμαλός τρόπος διατροφῆς[153], ὅταν εἶναι ἀχώριστα ἑνωμένα μέ τήν ἀγάπη, συντομότερα ὁδηγοῦν τόν μοναχό στό λιμάνι τῆς ἀπαθείας[154].

144. Εἶπε ἐπίσης ὁ ἴδιος: «Πληροφόρησαν ἕναν μοναχό ὅτι πέθανε ὁ πατέρας του· κι αὐτός εἶπε σ' αὐτόν πού τοῦ τό ἀνήγγειλε: Σταμάτα νά βλαστημᾶς, γιατί ὁ πατέρας μου εἶναι ἀθάνατος».

145. Εἶπε ἕνας Γέροντας: «Προϋπόθεση γιά νά 'σαι Χριστιανός εἶναι νά μιμεῖσαι τόν Χριστό».

Οἱ φτασμένοι σέ ἀρετή καί ἁγιότητα πατέρες, ὅπως λέει ὁ ἀββᾶς Ποιμήν, δοκίμασαν ὅλους τούς τρόπους καί κατέληξαν ὅτι τό προτιμότερο εἶναι νά τρώει κανείς κάθε μέρα, ἀλλά νά εἶναι μειωμένο τό φαγητό (= παρά μικρόν), ὥστε νά μή φτάνει στόν χορτασμό. Αὐτή τή βασιλική ὁδό τῆς νηστείας μᾶς παρέδωσαν οἱ πατέρες, γιατί εἶναι πραγματοποιήσιμη.

154. Ἀπάθεια: Ἔτσι χαρακτηρίζεται στήν πατερική γλώσσα ἡ ἀπελευθέρωση τῆς ψυχῆς ἀπό τήν ἐνέργεια τῶν παθῶν, πού ἔρχεται ὡς χάρισμα θεῖο μετά ἀπό πολλή προσευχή καί ἀγώνα γιά ταπείνωση.

Ἡ ἀπάθεια χαρακτηρίζεται ὡς «ἀνάσταση τῆς ψυχῆς, πρίν ἀπό τήν ἀνάσταση τοῦ σώματος, ὡς ἐπίγειος οὐρανός·... ἀνυψώνεται ὁ νοῦς ἐκστατικός σέ οὐράνιες θεωρίες καί εἶναι "ἀτέλεστος τελειότης", μιά τελειότητα δηλ. πού δέν ἔχει πέρας» (*Κλῖμαξ*, Λόγος ΚΘ' Περί ἀπαθείας).

146. Ἀδελφὸς ἠρώτησε Γέροντα λόγον περὶ ζωῆς. Καὶ εἶπεν ὁ Γέρων· Χόρτον φάγε, χόρτον φόρεσον, εἰς χόρτον κοιμῶ· τουτέστι πάντων καταφρόνει, τὴν δὲ καρδίαν κέκτησο σιδηρᾶν.

147. Ἔλεγέ τις τῶν Γερόντων· Εἴ τι μισεῖς, ἑτέρῳ μὴ ποιήσῃς. Μισεῖς ἐάν τίς σου καταλαλήσῃ; Μηδὲ σὺ καταλαλήσῃς τινός. Μισεῖς ἐάν τίς σε συκοφαντήσῃ; Μηδὲ σὺ συκοφαντήσῃς τινά. Μισεῖς ἐάν τίς σε ἐξουδενώσῃ ἢ ὑβρίσῃ ἢ ἁρπάσῃ τι τῶν σῶν, ἢ ὅσα ἐστὶ τοιαῦτα; Καὶ σὺ ἓν τούτων μὴ ποιήσῃς τινί. Ὁ τοῦτον τὸν λόγον δυνάμενος φυλάξαι, ἀρκεῖ αὐτῷ εἰς σωτηρίαν.

148. Εἶπε Γέρων· Ἡ ζωὴ τοῦ μοναχοῦ αὕτη ἐστίν· ἔργον, ὑπακοή, μελέτη, μὴ κρίνειν, μὴ καταλαλεῖν, μὴ γογγύζειν. Γέγραπται γάρ· Οἱ ἀγαπῶντες τὸν Κύριον μισεῖτε πονηρά. Τοῦ μοναχοῦ ὁ βίος ἐστὶ μὴ ἐπιβαίνειν ἐπ' ἀδίκῳ μηδὲ βλέπειν τοῖς ὀφθαλμοῖς κακὰ μηδὲ περιεργάζεσθαι μηδὲ ἀκούειν ἀλλότρια μηδὲ ταῖς χερσὶν ἁρπάζειν, ἀλλὰ μᾶλλον διδόναι, μηδὲ τῇ καρδίᾳ ὑπερηφανεύεσθαι μηδὲ τῷ λογισμῷ πονηρεύεσθαι μηδὲ τὴν κοιλίαν πληροῦν, ἐν διακρίσει δὲ πάντα πράττειν. Ἐν τούτοις ὁ μοναχός.149. Εἶπε Γέρων· Ὁ μὴ δεχόμενος πάντας ὡς ἀδελφοὺς ἀλλὰ διακρίνων, ὁ τοιοῦτος οὐκ ἔστι τέλειος.

149. Εἶπε Γέρων· Ὁ μὴ δεχόμενος πάντας ὡς ἀδελφοὺς ἀλλὰ διακρίνων, ὁ τοιοῦτος οὐκ ἔστι τέλειος.

155. Τωβ. 4, 15· πρβλ. καί Ματθ. 7, 12.

146. Κάποιος ἀδελφός παρακάλεσε ἕναν Γέροντα νά τοῦ πεῖ λόγο ζωῆς. Καί εἶπε ὁ Γέροντας: «Νά τρῶς χορτάρι, νά φορᾶς χορτάρι, σέ χορτάρι νά κοιμᾶσαι· μ' ἄλλα λόγια, νά τά καταφρονεῖς ὅλα ἀλλά νά ἀποκτήσεις μιά καρδιά σιδερένια».

147. Ἔλεγε κάποιος ἀπό τούς Γέροντες: «Ὅ,τι ἀποστρέφεσαι, μήν τό κάνεις στόν ἄλλο[155]. Ἀποστρέφεσαι τό νά πεῖ κάποιος λόγια ἐναντίον σου; Μήν κακολογήσεις κι ἐσύ κάποιον. Ἀποστρέφεσαι τό νά σέ ἐξευτελίσει κάποιος ἤ νά σέ ἐξυβρίσει ἤ νά ἁρπάξει κάτι ἀπό τά ὑπάρχοντά σου ἤ ὅ,τι ἄλλο παρόμοιο μπορεῖ νά συμβεῖ; Καί ἐσύ οὔτε ἕνα ἀπ' αὐτά μήν κάνεις σέ ἄλλον. Ὅποιος μπορεῖ νά κρατήσει αὐτόν τόν λόγο, τοῦ ἀρκεῖ γιά νά σωθεῖ».

148. Εἶπε κάποιος Γέροντας: «Νά ποιά εἶναι ἡ ζωή τοῦ μοναχοῦ: Ἐργασία, ὑπακοή, μελέτη, νά μήν κρίνει, νά μήν κακολογεῖ, νά μή γογγύζει.

Ἡ ἁγία Γραφή λέει: "Ὅσοι ἀγαπᾶτε τόν Κύριο, νά μισεῖτε τά πονηρά ἔργα"[156]. Καί τοῦ μοναχοῦ ὁ βίος εἶναι: νά μήν ἐπιχειρεῖ κάτι πού εἶναι ἄδικο, νά μή βλέπουν τά μάτια του αὐτά πού εἶναι κακά, νά μήν εἶναι περίεργος, νά μήν στήνει αὐτί σέ ξένες ὑποθέσεις, νά μήν ἁρπάζουν τά χέρια του, ἀλλά μᾶλλον νά δίνουν· νά μήν εἶναι ὑπερήφανος στήν καρδιά οὔτε νά πονηρεύεται ὁ λογισμός του καί νά μήν παραχορταίνει τήν κοιλιά. Ὅλα νά τά κάνει μέ διάκριση. Αὐτά εἶναι τά γνωρίσματα τοῦ μοναχοῦ».

149. Εἶπε ἕνας Γέροντας: «Αὐτός πού δέν δέχεται ὅλους ὡς ἀδελφούς ἀλλά τούς ξεχωρίζει, δέν εἶναι τέλειος».

156. Ψαλμ. 96, 10.

150. Εἶπε Γέρων· Μελετήσωμεν τὴν πραότητα καὶ τὴν ἀνεξικακίαν καὶ τὴν μακροθυμίαν καὶ τὴν ἀγάπην· ἐν τούτοις γὰρ ὁ μοναχός.

151. [ΛΟΓΟΙ ΑΒΒΑ ΖΩΣΙΜΑ]



α'. Ἀρχόμενος ὁ μακάριος Ζωσιμᾶς ἔλεγεν οὕτως, πρῶτον ποιήσας τὸ σημεῖον τοῦ σταυροῦ ἐν τῷ στόματι· Ἐνανθρωπήσας ὁ τοῦ Θεοῦ Λόγος τοσαύτην χάριν παρέσχε τοῖς πιστεύσασιν εἰς αὐτόν! Ἔξεστι καὶ νῦν πιστεῦσαι καὶ ἄρξασθαι ἀπὸ τῆς σήμερον, ἐὰν θέλωμεν· ὅτι τῆς προαιρέσεως ἡμῶν ποθούσης καὶ τῆς χάριτος συνεργούσης, ἔξεστι παντὶ βουλομένῳ, ὥστε ἔχειν εἰς οὐδὲν πάντα τὸν κόσμον· καὶ ἐλάμβανεν εἴ τι εὕρισκεν εἴτε κάρφος ἢ ῥάμμα ἢ εἴ τι ἄλλο εὐτελὲς καὶ ἔλεγεν· Τίς διὰ τοῦτο μάχεται ἢ φιλονικεῖ ἢ μνησικακεῖ ἢ θλίβεται, εἰ μή τις κατὰ ἀλήθειαν ἀπολέσας τὸν νοῦν; οὐκοῦν προβαίνων καὶ προκόπτων, ὁ τοῦ Θεοῦ ἄνθρωπος ἔχει πάντα τὸν κόσμον ὡς τὸ κάρφος τοῦτο, κἂν ἔχῃ ὅλον τὸν κόσμον· καὶ γάρ, ὡς λέγω, οὐ τὸ ἔχειν βλάπτει ἀλλὰ τὸ προσπαθῶς ἔχειν.

156α. Ἡ λ. "προσπάθεια" –τό προσπαθῶς ἔχειν– πού συναντοῦμε στό κείμενο, στήν ἀσκητική ὁρολογία δηλώνει κατά κανόνα τήν ἐμπαθή προσκόλληση τοῦ ἀνθρώπου σέ κάτι· σέ πρόσωπα, σέ ἀντικείμενα ἤ καί σέ κάποιο ἔργο, σέ κάποια ἐπιδίωξη.

Ἡ "προσπάθεια" ἀποσπᾶ ἀφενός τήν ψυχή ἀπό τό κύριο ἔργο της, αἰχμαλωτίζοντάς την στά γήινα καί πρόσκαιρα, καί ἀφετέρου προσφέρει τροφή στό ἴδιον θέλημα.

150. Εἶπε κάποιος Γέροντας: «Ἄς σπουδάσουμε τήν πραότητα, τήν ἀνεξικακία, τή μακροθυμία καί τήν ἀγάπη. Γιατί αὐτά εἶναι τά γνωρίσματα τοῦ μοναχοῦ».

151. ΛΟΓΟΙ ΑΒΒΑ ΖΩΣΙΜΑ

«Δέν βλάπτει τό νά ἔχει κανείς, ἀλλά τό νά 'ναι προσκολλημένος μέ πάθος σ' αὐτά πού ἔχει»

α'. Ἀρχίζοντας ὁ μακάριος Ζωσιμᾶς* ἔκανε πρῶτα τό σημεῖο τοῦ σταυροῦ στό στόμα κι ἔπειτα ἄρχισε νά λέει: «Ὁ Λόγος τοῦ Θεοῦ μέ τήν ἐνανθρώπησή του πρόσφερε τόση χάρη σ' αὐτούς πού τόν πίστεψαν! Εἶναι δυνατόν κι αὐτή τήν ὥρα νά πιστέψουμε καί ν' ἀρχίσουμε ἀπό σήμερα, ἐάν τό θέλουμε. Γιατί ἄν ἡ προαίρεσή μας τό ποθεῖ καί ἡ Χάρη συνεργεῖ, εἶναι δυνατό στόν καθένα πού τό θέλει, νά θεωρεῖ τόν κόσμο ὁλόκληρο σάν ἕνα τίποτε». Καί ἔπαιρνε ὅ,τι εὕρισκε, ἕνα ξυλάκι ἤ μιά κλωστή ἤ ὅ,τι ἄλλο πολύ ἀσήμαντο καί ἔλεγε: «Ποιός ἐξαιτίας αὐτοῦ τοῦ πράγματος ἀγωνίζεται ἤ τσακώνεται μέ ἄλλους ἤ κρατάει κακία ἤ θλίβεται, παρά μόνο ἄν πραγματικά ἔχει χάσει τά μυαλά του. Ἑπομένως ὁ ἄνθρωπος τοῦ Θεοῦ προχωρώντας καί προκόβοντας θεωρεῖ ὁλόκληρο τόν κόσμο σάν τό ξυλάκι αὐτό, κι ἄν ἀκόμη κατέχει ὅλο τόν κόσμο. Καί μάλιστα, ὅπως συνηθίζω νά λέω, δέν βλάπτει τό νά ἔχει κανείς, ἀλλά τό νά 'ναι προσκολλημένος μέ πάθος σ' αὐτά πού ἔχει[156α].

Στό κείμενό μας γίνεται λόγος (σέ ἑπόμενες παραγράφους) καί γιά τήν ἀπουσία τῆς "προσπάθειας", δηλαδή τήν ἀπροσπάθεια, ἡ ὁποία ἔχει ὡς ἀποτέλεσμα, ὅπως λέει ὁ ἀββᾶς, νά ἀπομακρύνονται οἱ δαίμονες, γιατί δέν βρίσκουν ἔδαφος στήν ψυχή γιά κατάκτηση.

Βλ. καί "Ἀσκητικά" ἀβ. Δωροθέου, σελ. 61, §8, Ἐκδ. "Ἑτοιμασία" Ἱ. Μονῆς Ἰ. Προδρόμου Καρέα, Ἀθήνα 1981.

Τίς οὐκ οἶδεν ὅτι τιμιώτερόν ἐστι πάντων ὧν ἔχομεν τὸ σῶμα; Ὡς οὖν καιροῦ καλοῦντος προστετάγμεθα καταφρονεῖν καὶ ἕως αὐτοῦ τοῦ σώματος, οὕτως πολλῷ μᾶλλον καὶ τῶν ἐκτός· καὶ ὥσπερ ἐκτὸς χρείας οὐ πρέπον ἐστὶν ἁπλῶς καὶ ὡς ἔτυχε ῥίπτειν τὰ ὄντα, οὕτως οὔτε ῥίπτειν ἑαυτὸν καὶ τελευτᾶν —τοῦτο γὰρ ἀπολέσαντος τὸν νοῦν αὐτοῦ ἐστιν— ἀλλὰ ἀναμένειν τὸν καιρόν, ἵνα ἕτοιμοι εὑρεθῶμεν.

Καὶ ἐμέμνητο τοῦ ἀδελφοῦ τοῦ ἔχοντος τὰ λάχανα καὶ ἔλεγεν· Μὴ γὰρ οὐκ ἔσπειρεν; Οὐκ ἐκοπίασεν; Οὐκ ἐφύτευσε καὶ ἐφιλοκάλησε; Μὴ ἐξερρίζωσεν αὐτὰ καὶ ἔρριψεν; Ἀλλ᾽ ὅμως εἶχεν αὐτὰ ὡς μὴ ἔχων· ἀμέλει, ὅτε παρέβαλεν ὁ Γέρων δοκιμάσαι θέλων αὐτὸν καὶ ἤρξατο συντρίβειν αὐτά, οὐδὲ ἐφάνη αὐτῷ, ἀλλ᾽ ἐκρύβη. Καὶ ὅταν ἀπέμεινε μία ῥίζα, τότε εἶπεν αὐτῷ· Ἐὰν θέλῃς, πάτερ, ἄφες αὐτὸ καὶ ποιοῦμεν εἰς αὐτὸ ἀγάπην. Τότε ἔγνω ὁ ἅγιος ὅτι δοῦλος γνήσιός ἐστι τοῦ Θεοῦ καὶ οὐχὶ τῶν λαχάνων καὶ λέγει αὐτῷ· Ἀναπέπαυται τὸ Πνεῦμα τοῦ Θεοῦ εἰς σέ, ἀδελφέ. Εἰ δὲ προσπαθῶν εἶχε τὰ λάχανα, ἐδείκνυτο εὐθὺς διὰ τοῦ θλίβεσθαι καὶ ταράσσεσθαι, ἀλλ᾽ ἔδειξεν ὅτι εἶχεν αὐτὰ ὡς μὴ ἔχων. Καὶ ἔλεγεν ὅτι· Σημειοῦνται τὰ τοιαῦτα οἱ δαίμονες· καὶ ἐὰν ἴδωσί τινα ἀπροσπαθῶς ἔχοντα εἰς τὰ πράγματα διὰ τὸ μὴ ταράττεσθαι μηδὲ θλίβεσθαι, γινώσκουσιν ὅτι οὗτος μὲν περιπατεῖ ἐπὶ τῆς γῆς, οὐκ ἔχει δὲ φρόνημα ἐπίγειον ἐν ἑαυτῷ.

Ποιός δέν γνωρίζει ὅτι, ἀπ᾽ ὅλα ὅσα ἔχουμε, πολυτιμότερο εἶναι τό σῶμα; Ὅπως λοιπόν, ὅταν οἱ περιστάσεις τό καλοῦν, ἔχουμε χρέος νά μή λογαριάζουμε κι αὐτό τό σῶμα μας ἀκόμη, ἔτσι πολύ περισσότερο καί τά ἐκτός τοῦ σώματος. Καί ὅπως δέν εἶναι σωστό —ἐκτός κι ἄν εἶναι ἀνάγκη— ἀβασάνιστα καί ὡς ἔτυχε νά πετᾶμε τήν περιουσία μας, ἔτσι οὔτε τόν ἑαυτό μας δέν πρέπει νά ἐκθέτουμε σέ κίνδυνο καί νά πεθαίνουμε, πράγμα πού ταιριάζει σέ κάποιον πού τοῦ σάλεψε τό μυαλό· ἀλλά νά ἀναμένουμε τήν κατάλληλη περίσταση γιά νά βρεθοῦμε ἕτοιμοι».

Θυμήθηκε τότε τόν ἀδελφό πού εἶχε τά λάχανα καί ἄρχισε νά λέει: «Μήπως ἀλήθεια δέν ἔσπειρε; Δέν κόπιασε; Δέν τά φύτεψε καί δέν τά καλλιέργησε; Μήπως τά ξερίζωσε καί τά πέταξε; Κι ὅμως τά εἶχε σάν νά μήν τά εἶχε. Ἔτσι λοιπόν, ὅταν τόν ἐπισκέφθηκε ὁ Γέροντας θέλοντας νά τόν δοκιμάσει καί ἄρχισε νά τά καταστρέφει, οὔτε πού βγῆκε μπροστά του, ἀλλά κρύφθηκε. Καί ὅταν εἶχε ἀπομείνει μιά ρίζα, τότε τοῦ εἶπε: "Ἄν θέλεις, πάτερ, ἄφησέ το αὐτό καί ἄς κάνουμε μ᾽ αὐτό ἕνα τραπέζι". Τότε κατάλαβε ὁ ἅγιος ὅτι εἶναι γνήσιος δοῦλος τοῦ Θεοῦ καί ὄχι τῶν λαχάνων καί τοῦ λέει: ""Ἔχει ἀναπαυθεῖ τό πνεῦμα τοῦ Θεοῦ σέ σένα, ἀδελφέ". Ἄν ὅμως εἶχε προσκόλληση στά λάχανα, θά φαινόταν ἀμέσως, γιατί θά θλιβόταν καί θά ταρασσόταν· ἀλλά ἔδειξε ὅτι τά εἶχε σάν νά μήν τά εἶχε». Καί ἔλεγε ὁ ἀββᾶς Ζωσιμᾶς: «Κάτι τέτοια τά σημειώνουν οἱ δαίμονες· καί ἄν δοῦν κάποιον πού δέν ἔχει προσκόληση στά πράγματα, καθώς δέν ταράζεται οὔτε θλίβεται, καταλαβαίνουν ὅτι αὐτός περπατάει βέβαια πάνω στή γῆ, ἀλλά δέν ἔχει μέσα του γήινο φρόνημα».

ϐ΄. Ἔλεγε πάλιν, ὅτι· Ὁρμαὶ προαιρέσεώς εἰσι· καὶ δύναται προαίρεσις θερμὴ ἐν μιᾷ ὥρᾳ προσενέγκαι τῷ Θεῷ, ἅπερ οὐ προσφέρει ἄλλη προαίρεσις νωθρὰ οὖσα εἰς πεντήκοντα ἔτη. Καί, ἐὰν ἴδωσιν οἱ δαίμονες ὅτι ὑϐρίσθη τις ἢ ἠτιμάσθη ἢ ἐζημιώθη ἢ πᾶν ὁτιοῦν ἔπαθε καὶ θλίϐεται οὐχ ὅτι ἔπαθε κακῶς, ἀλλ᾽ ὅτι οὐκ ἤνεγκε γενναίως, τὴν τοιαύτην ὁρμὴν φοϐοῦνται οἱ δαίμονες· γινώσκουσι γὰρ ὅτι ἥψατο τῆς ὁδοῦ τῆς ἀληθείας καὶ ϐούλεται περιπατεῖν κατὰ τὰς ἐντολὰς τοῦ Θεοῦ.

Καὶ ἐμέμνητο τοῦ ἁγίου Παχωμίου, ὅτε κατέκραξεν ὁ ἀδελφὸς αὐτοῦ ὁ μείζων λέγων· Παῦσαι πέρπερος ὤν, πλατύναι θέλοντος τὸ μοναστήριον διὰ τὸν θεόθεν αὐτῷ δοθέντα χρησμόν· ὅστις ἀκούσας, φησί, παρεκινήθη ὡς ἐπὶ ἀγαθῷ· οὐ μέντοι ἀντεῖπεν οὐδέν, ἀλλ᾽ ἐγκρατὴς τῆς καρδίας ὑπάρχων, τῇ ἐπιούσῃ νυκτὶ καταϐὰς εἰς κατώγαιον μικρὸν ἤρξατο κλαίειν καὶ εὐχόμενος ἔλεγεν· Ὁ Θεός, ἔτι τὸ φρόνημα τῆς σαρκός ἐστιν ἐν ἐμοί· ἔτι κατὰ σάρκα ζῶ· οὐαί μοι, μέλλω γὰρ ἀποθνήσκειν ὡς γέγραπται· τοσαύτην ἄσκησιν καὶ ἑτοιμασίαν καρδίας ἔχων, πάλιν θυμῷ ἁρπάζομαι κἂν ἐπ᾽ ἀγαθῷ. Ἐλέησόν με, μὴ ἀπόλωμαι, Κύριε· ἐὰν γὰρ εὕρῃ ἐν ἐμοὶ μέρος ὁ ἐχθρὸς ὅσον ὅσον, ἐὰν μὴ στηρίξῃς με, ἔσομαι ὑποχείριος αὐτοῦ. Ἐὰν γὰρ πάντα τὸν νόμον σου τηρήσῃ τις, πταίσῃ δὲ ἐν ἑνί, γέγονε πάντων ἔνοχος.

157. Ρωμ. 8, 13. 158. Ἰακ. 2, 10.

«Προαίρεση θερμή μέσα σέ μιά ὥρα μπορεῖ νά προσφέρει στόν Θεό ὅσα δέν προσφέρει νωθρή προαίρεση σέ πενήντα χρόνια»

ϐ΄. Εἶπε ἀκόμη ὁ ἀϐϐᾶς: «Ὑπάρχουν διάφορες ὁρμές τῆς προαίρεσης. Μιά προαίρεση θερμή μπορεῖ μέσα σέ μιά ὥρα νά προσφέρει στόν Θεό ὅσα δέν προσφέρει ἄλλη προαίρεση νωθρή μέσα σέ πενήντα χρόνια. Καί ἄν δοῦν οἱ δαίμονες ὅτι κάποιος ϐρίσθηκε ἤ ἐξευτελίσθηκε ἤ ἀδικήθηκε ἤ ὁτιδήποτε ἄλλο ἔπαθε καί λυπᾶται, ὄχι γιατί ἄδικα ἔπαθε, ἀλλά γιατί δέν σήκωσε μέ γενναιότητα τήν ἀδικία, μιά τέτοια ὁρμή τή φοϐοῦνται οἱ δαίμονες· γιατί γνωρίζουν ὅτι ὁ ἄνθρωπος αὐτός πῆρε τόν δρόμο τῆς ἀλήθειας καί θέλει νά ϐαδίσει σύμφωνα μέ τίς ἐντολές τοῦ Θεοῦ».

Καί θυμήθηκε τό περιστατικό μέ τόν ἅγιο Παχώμιο*, τότε πού τοῦ ἔϐαλε τίς φωνές ὁ ἀδελφός του ὁ μεγαλύτερος λέγοντάς του «πάψε νά εἶσαι φανταγμένος», ἐπειδή ἤθελε νά ἐπεκτείνει τό μοναστήρι σύμφωνα μέ τήν πληροφορία πού εἶχε ἀπό τόν Θεό. Κι ἐκεῖνος μόλις τ᾽ ἄκουσε —λέει ὁ ϐιογράφος του— ταράχθηκε, γιατί πίστευε ὅτι κάνει κάτι καλό· ὅμως δέν ἀντιμίλησε καθόλου, καθώς πάντοτε κυριαρχοῦσε στά αἰσθήματά του· ἀλλ᾽ ὅταν ἔφθασε ἡ νύκτα, κατέϐηκε σ᾽ ἕνα μικρό κατώι καί ἄρχισε νά κλαίει λέγοντας στήν προσευχή του: «Θεέ μου, ἀκόμη ὑπάρχει μέσα μου τό κοσμικό φρόνημα, ἀκόμη ζῶ κοσμικά, ἀλίμονό μου! Πρόκειται νά πεθάνω, ὅπως λέει ἡ Γραφή[157]· ἐνῶ ἔχω κάνει τόση ἄσκηση καί τόση προετοιμασία ψυχική, πάλι ἁρπάζομαι ἀπό τόν θυμό, ἔστω καί γιά καλό. Ἐλέησέ με, μή χαθῶ, Κύριε. Γιατί ἄν ϐρεῖ μέσα μου τόπο ὁ ἐχθρός, ἔστω καί τόσο δά, καί δέν μέ στηρίξεις, θά μέ κάνει τοῦ χεριοῦ του. Ἀλλά κι ἄν ὅλο σου τόν νόμο τηρήσει κανείς καί φταίξει σέ ἕνα, εἶναι ἔνοχος σέ ὅλα[158].

Πιστεύω δὲ ὅτι, ἐὰν οἱ πολλοί σου οἰκτιρμοὶ βοηθήσωσί μοι, διδαχθήσομαι λοιπὸν τὴν τῶν ἁγίων σου ὁδὸν πορεύεσθαι τοῖς ἔμπροσθεν ἐπεκτεινόμενος· αὐτοὶ γὰρ ὡς δεῖ κατῄσχυναν τὸν ἐχθρόν. Καὶ πῶς διδάξω, Κύριε, οὓς καλέσεις σὺν ἐμοὶ τοῦτον ἑλέσθαι τὸν βίον μὴ πρῶτον αὐτὸς νικήσας; Καὶ ταῦτα εὐξάμενος διέμεινεν ὅλην τὴν νύκτα τὰ αὐτὰ μετὰ κλαυθμοῦ λέγων, ἕως διέφαυσεν ἡ ἡμέρα καὶ ἀπὸ τῶν ἱδρώτων αὐτοῦ τὰ ὑποκάτω τῶν ποδῶν αὐτοῦ γέγονεν ὡς πηλός· θέρος γὰρ ἦν καὶ ὁ τόπος κατάθερμος.

Καὶ ἔλεγε θαυμάζων ὁ μακάριος· Μὴ γὰρ εἶχον τὰ δάκρυα αὐτοῦ μέτρον; Πῶς μὴ χαρίσηται ὁ Θεὸς τῇ τοιαύτῃ προαιρέσει πάντα αὐτοῦ τὰ ἀγαθά; Ἐγὼ οὕτως πείθομαι, ὅτι ἐν αὐτῇ τῇ νυκτὶ ἐχαρίσατο αὐτῷ ὁ Θεὸς πάντα ὅσα ᾐτήσατο παρ' αὐτοῦ τοῦ εἶναι αὐτὸν ἀπὸ πάντων νεκρόν.

γ'. Καὶ ἔλεγεν ὅτι· Ἐὰν λάβῃ τις νόημα θλίψαντος αὐτὸν ἢ ζημιώσαντος ἢ λοιδορήσαντος ἢ πᾶν ὁτιοῦν κακὸν ποιήσαντος καὶ πλέκῃ λογισμοὺς κατ' αὐτοῦ, ἐπιβουλεύει τῇ ἰδίᾳ ψυχῇ ὡς οἱ δαίμονες· ἀρκεῖ γὰρ ἑαυτῷ πρὸς ἐπιβουλήν. Καὶ τί λέγω πλέκει; Ἐὰν μὴ μέμνηται αὐτοῦ ὡς ἰατροῦ, ἀδικεῖ ἑαυτὸν τὰ μέγιστα. Τί γὰρ λέγεις πάσχειν; Οὕτως καθαίρει καὶ ὀφείλεις μεμνῆσθαι αὐτοῦ ὡς ἰατροῦ πεμφθέντος σοι ὑπὸ τοῦ Χριστοῦ· χρεωστεῖς γὰρ ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ παθεῖν καὶ ὀφείλεις ἔχειν αὐτὸν ὡς εὐεργέτην.

159. Φιλ. 3, 13.

Πιστεύω ὅτι ἐάν ἡ μεγάλη σου εὐσπλαχνία μέ βοηθήσει, θά μάθω στό ἑξῆς νά βαδίζω τήν ὁδό τῶν ἁγίων σου προχωρώντας πάντοτε πρός τά ἐμπρός[159]. Αὐτοί βέβαια κατατρόπιασαν τόν ἐχθρό ὅπως πρέπει· ἐγώ ὅμως πῶς θά διδάξω, Κύριε, αὐτούς πού θά καλέσεις μαζί μου νά ἀκολουθήσουν τόν βίο αὐτόν, ἐάν πρῶτα ἐγώ ὁ ἴδιος δέν νικήσω τόν ἐχθρό;» Καί ἀφοῦ εἶπε αὐτά τά λόγια στήν προσευχή του, παρέμεινε ὅλη τή νύκτα, ἐπαναλαμβάνοντας τά ἴδια μέ πολλά δάκρυα, ἕως ὅτου ἔφεξε ἡ ἡμέρα· καί ἀπό τόν ἱδρώτα πού ἔχυσε, τό ἔδαφος κάτω ἀπό τά πόδια του ἔγινε σάν λάσπη· γιατί ἦταν καλοκαίρι καί ὁ τόπος ἔκαιε.

Καί ἔλεγε θαυμάζοντας ὁ μακάριος Ζωσιμᾶς: «Μήπως εἶχαν τά δάκρυά του μέτρο; Πῶς νά μή χαρίσει ὁ Θεός ὅλα του τά ἀγαθά σέ μιά τέτοια προαίρεση! Ἔχω τήν πεποίθηση ὅτι τήν ἴδια κιόλας νύκτα ὁ Θεός τοῦ χάρισε ὅλα ὅσα τοῦ ζήτησε, ὥστε νά 'ναι νεκρός ὡς πρός ὅλα».

«Καυτήρας τοῦ Ἰησοῦ εἶναι αὐτός πού σοῦ προκαλεῖ ζημία»

γ'. Εἶπε ἐπίσης: «Ἄν σκεφθεῖ κανείς πώς κάποιος τόν ἔθλιψε ἤ τοῦ 'κανε ζημιά ἤ τόν κακολόγησε ἤ ὁποιοδήποτε ἄλλο κακό τοῦ ἔκανε καί ἀρχίζει νά πλέκει λογισμούς ἐναντίον του, ἑτοιμάζει κακό γιά τήν ἴδια του τήν ψυχή, ὅπως κάνουν οἱ δαίμονες· γιατί εἶναι ἱκανός νά προκαλέσει κακό στόν ἑαυτό του. Καί τί λέω πλέκει λογισμούς; Ἐάν δέν τόν σκέπτεται σάν νά 'ναι γιατρός του, ζημιώνει τόν ἑαυτό του ὅσο δέν παίρνει. Καί γιατί λές ὅτι πάσχεις; Μ' αὐτόν τόν τρόπο καθαρίζει ἡ ψυχή σου καί ὀφείλεις νά τόν μνημονεύεις σάν γιατρό πού σοῦ τόν ἔστειλε ὁ Χριστός. Χρωστᾶς βέβαια νά πάθεις γιά τό ὄνομά του καί ὀφείλεις νά θεωρεῖς αὐτόν τόν ἄνθρωπο ὡς εὐεργέτη σου.

Εἰ δὲ οὐκ ἀπήλλαξαι κακίας οὐδὲ ἐπιθυμεῖς ἀπαλλαγῆναι, ἀναίτιος Κύριος ὁ Θεός. Αὐτὸ δὲ τὸ πάσχειν νοσούσης ψυχῆς ἐστιν· εἰ μὴ ἐνόσεις, οὐκ ἔπασχες· καὶ ὀφείλεις χάριν ἔχειν τῷ ἀδελφῷ, ὅτι δι' αὐτοῦ ἔγνως τὴν νόσον σου, καὶ δέχεσθαι τὰ παρ' αὐτοῦ ὡς φάρμακα ἰαματικὰ πεμφθέντα σοι παρὰ τοῦ Ἰησοῦ. Εἰ δὲ μὴ μόνον οὐκ εὐχαριστεῖς, ἀλλὰ καὶ πλέκεις λογισμοὺς κατ' αὐτοῦ, δυνάμει λέγεις τῷ Ἰησοῦ· Οὐ θέλω ἰαθῆναι ὑπὸ σοῦ, οὐ θέλω δέξασθαι τὰ φάρμακά σου· σαπῆναι θέλω ἐν τοῖς τραύμασί μου, ὑπήκοος θέλω γενέσθαι τῶν δαιμόνων.

Καὶ τί λοιπὸν ποιήσει ὁ Κύριος; Ἀγαθὸς γὰρ ὢν ὁ Κύριος ἡμῶν πρὸς τὰς κακίας ἡμῶν ἔδωκεν ἡμῖν ἐντολὰς ἁγίας καθαιρούσας αὐτὰς δίκην καυτήρων καὶ καθαρτηρίων. Ὁ τοίνυν βουλόμενος καὶ ποθῶν ἰαθῆναι, ἵνα ἀπαλλαγῇ τῆς νόσου, ἀνάγκη αὐτὸν ὑπομεῖναι τὰ ἐπιφερόμενα παρὰ τοῦ ἰατροῦ· οὐδὲ γὰρ ὁ νοσῶν ἡδέως ἔχει τοῦ τέμνεσθαι καὶ καίεσθαι τὰς σάρκας ἢ λαβεῖν καθάρσιον, ἀλλὰ καὶ μέμνηται αὐτῶν μετὰ ἀηδίας· καὶ ὅμως πείθει ἑαυτὸν ὅτι χωρὶς τούτων ἀδύνατον ἀπαλλαγῆναι τῆς νόσου καὶ λοιπὸν ἐκδίδωσιν ἑαυτὸν τῷ ἰατρῷ, εἰδὼς ὅτι διὰ μικρᾶς ἀηδίας ἀπαλλάσσεται πολλῆς κακοχυμίας καὶ πολυχρονίου νόσου.

Καυτὴρ τοῦ Ἰησοῦ ἐστιν ὁ ἐπιφέρων σοι ζημίαν, ἀλλὰ ἀπαλλάσσει σε πλεονεξίας, ἐὰν ὑπομείνῃς γενναίως. Εἰ δὲ μὴ ἀνέχῃ τῶν τοιούτων, καὶ σεαυτὸν ἀδικῇς· μὴ τὸν ἀδελφὸν αἰτιῶ· ἀλλ' ὡς ἀπὸ πειρασμοῦ ἀφέντες τὸ ἑαυτοὺς μέμψασθαι μὴ προσδεχόμενοι τὸ φάρμακον τοῦ Χριστοῦ, ἀρχόμε-

Ἐάν ὅμως δέν ἔχεις ἀπαλλαγεῖ ἀπό τήν κακία οὔτε καί ἐπιθυμεῖς νά ἀπαλλαγεῖς, εἶναι ἀναίτιος ὁ Κύριος καί Θεός μας. Αὐτό πού λές, τό ὅτι πάσχεις, εἶναι γνώρισμα ἄρρωστης ψυχῆς· ἐάν δέν ἤσουν ἄρρωστος, δέν θά ὑπέφερες· καί ὀφείλεις χάρη στόν ἀδελφό σου, γιατί ἐξαιτίας του γνώρισες τήν ἀρρώστια σου· καί νά δέχεσαι ὅσα σοῦ προκαλεῖ αὐτός σάν φάρμακα θεραπευτικά, σταλμένα γιά σένα ἀπό τόν Ἰησοῦ. Ἐάν ὅμως ὄχι μόνο δέν τόν εὐχαριστεῖς ἀλλά ὑφαίνεις καί λογισμούς ἐναντίον του, εἶναι σάν νά λές στόν Ἰησοῦ "δέν θέλω νά γιατρευθῶ ἀπό σένα, δέν θέλω νά δεχθῶ τά φάρμακά σου· θέλω νά σαπίσω μές στά τραύματά μου, θέλω νά ὑποταχθῶ στούς δαίμονες".

Καί τί μένει νά κάνει ὁ Κύριος; Ἐπειδή βέβαια εἶναι ἀγαθός ὁ Κύριός μας, μᾶς ἔδωσε ὡς ἀντίδοτο γιά τίς κακίες μας ἅγιες ἐντολές, οἱ ὁποῖες ἐξαλείφουν σάν καυτῆρες καί φάρμακα καθαρτήρια. Αὐτός λοιπόν πού θέλει καί ἐπιθυμεῖ νά γιατρευθεῖ, γιά νά ἀπαλλαγεῖ ἀπό τήν ἀρρώστια, εἶναι ἀπαραίτητο νά ὑπομένει ὅσα θά τοῦ κάνει ὁ γιατρός. Ἄλλωστε οὔτε ὁ ἄρρωστος δέχεται εὐχάριστα νά τοῦ κόβουν καί νά τοῦ καυτηριάζουν τίς σάρκες ἤ νά πίνει καθαρτικό, τά φέρνει μάλιστα στή μνήμη του μέ ἀηδία· καί ὅμως πείθει τόν ἑαυτό του ὅτι χωρίς αὐτά εἶναι ἀδύνατο νά ἀπαλλαγεῖ ἀπό τήν ἀρρώστια καί ἑπομένως παραδίνει τόν ἑαυτό του στόν γιατρό· γιατί ξέρει καλά ὅτι ὑπομένοντας γιά λίγο τήν ἀηδία, γλυτώνει ἀπό ὅλη τή νοσηρή κατάσταση καί ἀπό μακρόχρονη ἀρρώστια.

Καυτήρας τοῦ Ἰησοῦ εἶναι αὐτός πού σοῦ προκαλεῖ ζημία. Καί ἐάν ὑπομείνεις μέ γενναιότητα, σέ ἀπαλλάσσει ἀπό τήν ἀπληστία. Ἐάν ὅμως δέν ἀνεχθεῖς αὐτά τά θεραπευτικά μέσα, ζημιώνεις κι ἐσύ τόν ἑαυτό σου. Μήν κατηγορεῖς τόν ἀδελφό σου. Σάν νά μᾶς βάζει ὁ πειρασμός, ἀρνούμαστε τό φάρμακο πού μᾶς δίνει ὁ Χριστός, ἀφήνουμε

θα πλέκειν λογισμοὺς κατὰ τῶν εὐεργετούντων ἡμᾶς ὡς οἱ μαινόμενοι.

δ'. Καὶ ἔλεγεν· Ἔπαρον τοὺς λογισμοὺς καὶ οὐδεὶς ἅγιος· ὁ φεύγων πειρασμὸν ἐπωφελῆ, φεύγει ζωὴν αἰώνιον. Εἶπε γάρ τις τῶν ἁγίων· Τίς προεξένησε τοῖς ἁγίοις μάρτυσι τοὺς στεφάνους ἐκείνους, εἰ μὴ οἱ δικάσαντες αὐτούς; Τίς δωρήσασθαι τῷ ἁγίῳ Στεφάνῳ τοιαύτην δόξαν ἐποίησεν, εἰ μὴ οἱ λιθάσαντες αὐτόν; Καὶ προέφερεν ἀεὶ τὴν ῥῆσιν τοῦ Εὐαγρίου ὅτι· Ἐγὼ τοὺς ἐμὲ κατηγοροῦντας οὐκ αἰτιῶμαι, ἀλλὰ καὶ εὐεργέτας καλῶ καὶ οὐκ ἀπωθοῦμαι τὸν ἰατρὸν τῶν ψυχῶν φάρμακον ἀτιμίας προσάγοντα κενοδόξῳ ψυχῇ· καὶ δέδοικα μήποτε καὶ περὶ τῆς ἐμῆς ψυχῆς εἴπῃ· Ἰατρεύσαμεν τὴν Βαβυλῶνα καὶ οὐκ ἰάθη. Καὶ ἔλεγεν· Ἐφοβεῖτο ὁ Εὐάγριος μὴ ἐγκληθῇ ὑπὸ τοῦ Χριστοῦ καὶ εἴπῃ αὐτῷ· Εὐάγριε, ἐνόσεις κενοδοξίαν καὶ ἐπήγαγόν σοι φάρμακον ἀτιμίας, ἵνα δι' αὐτοῦ καθαρισθῇς, σὺ δὲ οὐκ ἐθεραπεύθης. Τοῦτο δὲ μάθωμεν, ὅτι οὐδείς ἐστιν ἀληθεύων, εἰ μὴ οἱ ψέγοντες.

Ἔλεγε δέ· Γινώσκει Κύριος ὁ ἐτάζων καρδίας καὶ νεφροὺς ὅτι, κἂν πάντες ἄνθρωποι ἐπαινῶσι καὶ μακαρίζωσι, τὰ ἐμὰ πάντα ἄξια ψόγων καὶ αἰσχύνης καὶ ἐμπτυσμάτων εἰσίν· ἐὰν δὲ καὶ εἴπωσι· Τοῦτο ἢ ἐκεῖνο ἐποίησας, ἐγὼ λέγω·

160. Στήν Πατρολογία τοῦ Migne (78, 1685) τό κείμενο στό σημεῖο αὐτό διατυπώνεται ὡς ἑξῆς: Ἄπαρον τοὺς πειρασμοὺς καὶ λογισμούς...

Πρβλ. τό ἀπόφθεγμα Εὐαγρίου: Ἔπαρον τοὺς πειρασμοὺς καὶ οὐδεὶς ὁ σωζόμενος (*Ἀλφ. Γεροντικόν*).

161. Πρ. 7, 54-60.

162. Ἱερ. 28, 9. Βλ. καί ἀββᾶ Δωροθέου Διδασκαλία 1η, κεφ. 3 (ὅ.π.).

τήν αὐτομεμψία, καί ἀρχίζουμε νά πλέκουμε λογισμούς ἐναντίον τῶν εὐεργετῶν μας, ὅπως κάνουν οἱ παράφρονες».

«Τοῦτο ἄς γνωρίζουμε καλά, ὅτι κανείς δέν λέει τήν ἀλήθεια, ὅσο αὐτοί πού μᾶς κατηγοροῦν»

δ'. Καί συνέχισε: «Βγάλε ἀπό τή μέση τούς λογισμούς[160] καί κανείς δέν ἁγιάζει. Αὐτός πού ἀποφεύγει πειρασμό ὠφέλιμο, ἀποφεύγει ζωή αἰώνια. Εἶπε βέβαια κάποιος ἀπό τούς ἁγίους: Ποιός προξένησε στούς ἁγίους μάρτυρες τούς στεφάνους ἐκείνους, παρά αὐτοί πού τούς δίκασαν; Ποιός ἐνήργησε νά χαρισθεῖ στόν ἅγιο Στέφανο τέτοια δόξα, παρά αὐτοί πού τόν λιθοβόλησαν;[161]» Καί ἀνέφερε πάντοτε αὐτό πού ἔλεγε ὁ Εὐάγριος* ὅτι «ἐγώ δέν ἐνοχοποιῶ αὐτούς πού μέ κατηγοροῦν. Ἀντίθετα, τούς ἀποκαλῶ εὐεργέτες· καί δέν διώχνω τόν γιατρό τῶν ψυχῶν, καθώς μοῦ φέρνει φάρμακο καταφρόνιας γιά τήν κενόδοξη ψυχή μου· καί φοβοῦμαι μήν τυχόν πεῖ καί γιά τή δική μου ψυχή: Χρησιμοποιήσαμε φάρμακα νά γιατρέψουμε τή Βαβυλώνα καί δέν γιατρεύθηκε»[162]. Καί ἔλεγε: «Φοβόταν ὁ Εὐάγριος μήν τόν κατηγορήσει ὁ Χριστός καί τοῦ πεῖ: "Εὐάγριε, ἦσουν ἄρρωστος ἀπό κενοδοξία καί σοῦ ἔφερα φάρμακο ἐξευτελισμοῦ, γιά νά καθαρισθεῖς μ' αὐτό, ἀλλά ἐσύ δέν θεραπεύθηκες". Τοῦτο ἄς γνωρίζουμε καλά, ὅτι κανείς δέν λέει τήν ἀλήθεια, ὅσο αὐτοί πού μᾶς κατηγοροῦν».

Εἶπε ἀκόμη: «Γνωρίζει ὁ Κύριος, πού βλέπει τά βάθη τῆς ἀνθρώπινης ψυχῆς[163] ὅτι κι ἄν ὅλοι οἱ ἄνθρωποι μέ ἐπαινοῦν καί μέ καλοτυχίζουν, ὅλα τά δικά μου εἶναι ἄξια γιά κατηγόρια, γιά ντροπή καί γιά φτύσιμο. Ἄν μάλιστα ποῦν: ""Ἔκανες τοῦτο ἤ ἐκεῖνο", ἐγώ λέω: Ποιό ἀπό τά ἔργα

163. Ψαλμ. 7, 10.

Τί γὰρ τῶν ἐμῶν καλόν; Οὐδεὶς γὰρ ψεύδεται, εἰ μὴ οἱ ἐπαινοῦντες καὶ μακαρίζοντές με· καὶ οὐδεὶς ἀληθεύει, εἰ μὴ οἱ ψέγοντες καὶ ἐξουθενοῦντές με, ὡς προεῖπον, καὶ οὐδὲ πᾶσαν τὴν ἀλήθειαν λέγουσιν. Καὶ εἰ ἠξιώθησαν, οὐ λέγω τὸ πέλαγος τῶν κακῶν ἡμῶν ἀλλ' εἴπω ὅτι μόριον ἰδεῖν, ἀπεστράφησαν ἂν ἀπὸ τῆς ἡμετέρας ψυχῆς, ὡς ἀπὸ βορβόρου, ὡς ἀπὸ δυσωδίας, ὡς ἀπὸ πνεύματος ἀκαθάρτου. Καὶ ἐὰν γένωνται τὰ σώματα τῶν ἀνθρώπων γλῶσσαι εἰς τὸ λοιδορεῖν ἡμᾶς, πεπείσμεθα ὅτι οὐδεὶς ἱκανοῖ ἀξίως εἰπεῖν τὴν ἡμῶν ἀτιμίαν· πᾶς γὰρ λοιδορῶν καὶ ψέγων μέρος λέγει, τὰ δὲ πάντα οὐ δύναται εἰδέναι.

Εἰ δὲ Ἰὼβ ὁ δίκαιος εἶπεν ὅτι· Πλήρης ἀτιμίας εἰμί, τὸ δὲ πλήρης οὐδὲν ἐπιδέχεται, ἡμεῖς τί εἴπωμεν πέλαγος ὄντες πάσης κακίας; Ἐν παντὶ ἁμαρτήματι ἐταπείνωσεν ἡμᾶς ὁ διάβολος καὶ ὀφείλομεν εὐγνώμονες γενέσθαι τῆς ταπεινώσεως ἡμῶν. Οἱ γὰρ εὐγνώμονες γενόμενοι τῆς ταπεινώσεως αὐτῶν, συντρίβουσι τὸν διάβολον, καθὼς εἶπον οἱ πατέρες· ἐὰν κατενεχθῇ ἡ ταπείνωσις εἰς τὸν ᾍδην, εἰς τὸν οὐρανὸν ἀνάγεται· καὶ ἐὰν ὑψωθῇ ἡ ὑπερηφανία ἕως τοῦ οὐρανοῦ, κατάγεται εἰς τὸν ᾍδην.

Καὶ ἔλεγεν· Τίς πείθει ποτὲ ταπεινὸν πλέξαι λογισμοὺς κατά τινος; Πᾶν γὰρ ὁτιοῦν ἂν πάθῃ ὁ ταπεινὸς ἢ ἀκούσῃ, ἀφορμὴν λαμβάνει εἰς τὸ ἐξυβρίζειν ἑαυτὸν καὶ ἀτιμάζειν. Ἐμέμνητο τοῦ ἀββᾶ Μωυσέως, ὅτε ἐξέβαλον αὐτὸν οἱ κληρικοὶ τοῦ ἱερατείου εἰπόντες αὐτῷ· Ὕπαγε ἔξω, Αἰθίοψ, ὅτι ἤρξατο ἑαυτὸν ἐπιπλήττειν καὶ λέγειν· Σποδόδερμε, μελανέ, καλῶς σοι ἐποίησαν· μὴ ὢν ἄνθρωπος τί ἔρχῃ ἐν μέσῳ ἀνθρώπων;

---

164. Ἰὼβ 10, 15.

μου εἶναι καλό; Κανείς βέβαια δέν ψεύδεται, ὅσο αὐτοί πού μέ ἐπαινοῦν καί μέ καλοτυχίζουν· καί κανείς δέν λέει τόσο τήν ἀλήθεια, ὅσο αὐτοί πού μέ κατηγοροῦν καί μέ ἐξευτελίζουν, ὅπως τό εἶπα καί προηγουμένως. Καί πάλι δέν λένε ὅλη τήν ἀλήθεια. Γιατί ἄν θά εἶχαν τήν εὐκαιρία νά δοῦν, δέν λέγω τό πέλαγος τῶν κακῶν μου, ἀλλά ἄς πῶ ἕνα ἐλάχιστο μέρος, θά ἀποστρέφονταν τήν ψυχή μου, ὅπως ἀποστρέφονται τόν βόρβορο, τή δυσωδία καί τόν μολυσμένο ἀέρα. Καί ἐάν ἀκόμη γίνουν τά σώματα τῶν ἀνθρώπων γλῶσσες, γιά νά μᾶς κακολογοῦν, εἶμαι σίγουρος ὅτι κανείς δέν θά κατορθώσει ἄξια νά παρουσιάσει τή δική μας ἀχρειότητα· γιατί καθένας πού κακολογεῖ καί κατηγορεῖ, ἀναφέρεται σ' ἕνα μέρος μόνο, ἐνῶ τό σύνολο δέν μπορεῖ νά τό γνωρίζει.

Καί ἐάν ὁ δίκαιος Ἰώβ εἶπε ὅτι "εἶμαι γεμάτος ἀχρειότητα"[164], καί τό "γεμάτος" δέν ἐπιδέχεται καμιά προσθήκη, ἐμεῖς τί νά ποῦμε πού εἴμαστε πέλαγος ὅλων τῶν κακιῶν; Μέ κάθε ἁμάρτημα μᾶς ταπείνωσε ὁ διάβολος καί ὀφείλουμε νά εἴμαστε εὐγνώμονες πού ταπεινωθήκαμε· γιατί ὅσοι αἰσθάνονται εὐγνωμοσύνη γιά τίς ταπεινώσεις τους, συντρίβουν τόν διάβολο, ὅπως εἶπαν οἱ πατέρες: "Ἐάν ἡ ταπείνωση κατέβει στόν Ἅδη, ὑψώνεται στόν οὐρανό. Καί ἐάν ἡ ὑπερηφάνεια ὑψωθεῖ ὥς τόν οὐρανό, κατέρχεται στόν Ἅδη"».

Καί πρόσθεσε: «Ποιός μπορεῖ ποτέ νά πείσει τόν ταπεινό νά πλέξει λογισμούς ἐναντίον κάποιου; Γιατί, ὁτιδήποτε πάθει ὁ ταπεινός ἤ ἀκούσει, παίρνει ἀφορμή γιά νά κακολογήσει καί νά ἐξευτελίσει τόν ἑαυτό του».

Καί θυμήθηκε τό περιστατικό μέ τόν ἀββᾶ Μωυσῆ*· ὅταν τόν ἔβγαλαν οἱ κληρικοί ἔξω ἀπό τό ἱερό λέγοντάς του: «Πήγαινε ἔξω, Ἀράπη», ἐκεῖνος ἄρχισε νά μαλώνει τόν ἑαυτό του καί νά λέει: «Σταχτόδερμε, μαῦρε, καλά σοῦ ἔκαναν· ἀφοῦ δέν εἶσαι ἄνθρωπος, τί ἔρχεσαι ἀνάμεσα στούς ἀνθρώπους;»



Ἡ δάση Φαράν



Ἡ κοιλάδα Φαράν

ε΄. Ἔλεγε δὲ ὅτι· Εἴ τι ἂν γένηται τῷ ταπεινῷ, εὐθέως εἰς προσευχὴν τρέπεται καὶ πάντας ἔχει εὐεργέτας, ἀλλ' ἡμεῖς ἐκτραπέντες τῆς ὁδοῦ τῆς ἀληθείας καὶ τῆς ὁδηγίας τῶν ἁγίων βουλόμεθα τέμνειν ἑαυτοῖς ὁδὸν κατὰ τὰ θελήματα ἡμῶν τὰ πονηρά.

Ἐπεὶ τί εὐκολώτερον τοῦ ἀκοῦσαι παρὰ ἁγίου καὶ πρακτικοῦ διδασκάλου, τοῦ ἀββᾶ Ἀμμωνᾶ, λέγοντος· Τήρει σεαυτὸν ἀκριβῶς, ἵνα, ἐάν τίς σε ἐν οἱῳδήποτε πράγματι θλίψῃ, σιωπᾷς καὶ τὸ καθόλου μὴ φθέγγεσαι, ἕως οὗ τῇ ἀδιαλείπτῳ προσευχῇ πραϋνθῇ ἡ καρδία καὶ οὕτως παρακάλει τὸν ἀδελφόν. Καὶ γὰρ ὁ ποθῶν τὴν εὐθεῖαν καὶ ἀληθινὴν ὁδόν, ἐν τῷ ταράττεσθαι ἐπιπλήττει ἑαυτὸν σφοδρῶς καὶ ἀεὶ ἐλέγχει ἑαυτὸν καὶ λέγει· Τί μαίνει, ψυχή μου; Τί ταράσσει ὡς οἱ ἀφρίζοντες; Αὐτῷ τούτῳ δεικνύεις ὅτι νοσεῖς· εἰ μὴ ἐνόσεις, οὐκ ἔπασχες. Τί ἀφεῖσα τὸ ἑαυτὴν μέμφεσθαι ἐγκαλεῖς τῷ ἀδελφῷ, ὅτι ἔδειξέ σοι τὴν νόσον σου καὶ πράγματι καὶ ἀληθείᾳ; Μάθε τὰς ἐντολὰς τοῦ Χριστοῦ, ὃς λοιδορούμενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει. Ἀκούεις αὐτοῦ λέγοντος καὶ πράγματι δείξαντος· Τὸν νῶτόν μου δέδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων. Καὶ σὺ ἀθλία, διὰ μίαν ὕβριν καὶ ἀτιμίαν κάθῃ πλέκουσα μυρίους λογισμοὺς ἐπιβουλεύουσα εἰς ἑαυτὴν ὡς οἱ δαίμονες;

165. Βλ. ἀββᾶ Ἀμμωνᾶ *Παραινέσεις*, κεφ. ΙΒ΄ σελ. 74 (Ἐκδ. Ἱ. Μ. Παρακλήτου, Ὠρωπός 1980).

166. Α΄ Πέτρ. 2, 23.

167. Ἠσ. 50, 6.

«Ἐάν δέν ἤσουν ἄρρωστη, ψυχή μου, δέν θά ὑπέφερες»

ε΄. Εἶπε ἐπίσης: «Ὅ,τι κι ἄν συμβεῖ στόν ταπεινό, εὐθύς καταφεύγει στήν προσευχή καί ὅλους τούς θεωρεῖ εὐεργέτες· ἀλλά ἐμεῖς ξεστρατίσαμε ἀπ' τόν δρόμο τῆς ἀλήθειας καί ἀπ' τήν καθοδήγηση τῶν ἁγίων καί θέλουμε νά χαράξουμε καινούριο δρόμο γιά τόν ἑαυτό μας, σύμφωνα μέ τά πονηρά μας θελήματα.

Ἀλλά τί πιό εὔκολο νά ἀκούσουμε ἀπό τόν ἅγιο καί πρακτικό δάσκαλο, τόν ἀββᾶ Ἀμμωνᾶ*, πού λέει: "Πρόσεχε τόν ἑαυτό σου μέ ἀκρίβεια, ὥστε, ἄν κάποιος σέ λυπήσει γιά ὁποιοδήποτε λόγο, νά σωπαίνεις καί νά μή βγάλεις μιλιά, μέχρις ὅτου μέ τήν ἀδιάκοπη προσευχή καταπραΰνει ἡ καρδιά σου· καί τότε νά ἐπικοινωνήσεις μέ τόν ἀδελφό"[165]. Μάλιστα αὐτός πού ποθεῖ τόν ἴσιο καί ἀληθινό δρόμο, ὅταν ταράζεται, ἐπιπλήττει σοβαρά τόν ἑαυτό του καί πάντοτε τόν ἐλέγχει καί λέει: "Τί κάνεις σάν τρελλή, ψυχή μου; Τί ταράζεσαι σάν αὐτούς πού ἀφρίζουν ἀπό ὀργή; Μ' αὐτόν τόν τρόπο ἀκριβῶς δείχνεις ὅτι εἶσαι ἄρρωστη· ἐάν δέν ἤσουν ἄρρωστη, δέν θά ὑπέφερες. Γιατί ἄφησες τό νά μέμφεσαι τόν ἑαυτό σου καί καταγγέλλεις τόν ἀδελφό σου ὅτι σοῦ φανέρωσε τήν ἀρρώστια πάνω στά πράγματα καί ἀληθινά ὅπως εἶναι; Μάθε τίς ἐντολές τοῦ Χριστοῦ, ὁ ὁποῖος ὑβριζόμενος δέν ἀνταπέδιδε τά ἴδια καί, ὅταν ἔπασχε, δέν ἀπειλοῦσε[166]. Τόν ἀκοῦς πού λέει καί πού ἔμπρακτα τό ἔδειξε: Τόν νῶτο μου παρέδωσα γιά μαστίγωση, τίς σιαγόνες μου σέ ραπίσματα καί τό πρόσωπό μου δέν τό προστάτευσα ἀπό τά αἰσχρά φτυσίματα[167]. Κι ἐσύ, ἄθλια ψυχή μου, γιά μιά βρισιά κι ἕναν ἐξευτελισμό κάθεσαι καί πλέκεις μύριους λογισμούς καί ἐπιβουλεύεσαι τόν ἑαυτό σου, ὅπως οἱ δαίμονες;"

Τί πλέον γὰρ ἔχει ποιῆσαι δαίμων τῇ τοιαύτῃ ψυχῇ, οἷον ποιεῖ ἑαυτῇ; Τὸν σταυρὸν τοῦ Χριστοῦ βλέπομεν, τὰ πάθη αὐτοῦ ἀναγινώσκομεν καθ' ἑκάστην ἡμέραν, ἃ ἔπαθε δι' ἡμᾶς, καὶ ἡμεῖς οὐδὲ μίαν ὕβριν φέρομεν· ὄντως ἐξετράπημεν τῆς εὐθείας ὁδοῦ. Ἔλεγε δὲ ὅτι· Ἐὰν ζήσῃ τις τὰ ἔτη τοῦ Μαθουσάλα καὶ μὴ ὁδεύῃ ταύτην τὴν εὐθεῖαν ὁδὸν ἣν ὥδευσαν πάντες οἱ ἅγιοι, λέγω δὴ τὴν τοῦ ἀτιμάζεσθαι καὶ ζημιοῦσθαι καὶ φέρειν γενναίως, οὐ μὴ προβῇ, οὐ μικρόν, οὐ μέγα, ἀλλὰ μόνον τὰ ἔτη ἀναλίσκει διακενῆς.

Ἔλεγε δὲ ὅτι· Ὄντος μου μετὰ τῆς μακαρίας Διονυσίας ᾐτήσατο αὐτήν τις ἀδελφὸς εὐλογίαν καὶ ἔδωκεν αὐτῷ ὅσον ἐχώρει. Ἐπειδὴ δὲ οὐχ ὅσον ἐζήτει ἐδόθη αὐτῷ, ἤρξατο λοιδορεῖν αὐτὴν λέγων κατ' αὐτῆς καὶ περὶ ἐμοῦ ἀπρεπῆ ῥήματα. Ἀκούσασα δὲ ἐκείνη καὶ πονήσασα, ἐζήτει κακῶσαι αὐτόν. Μαθὼν οὖν ἐγὼ εἶπον αὐτῇ· Τί ποιεῖς; Ἐπιβουλεύεις σεαυτήν, πᾶσαν ἀρετὴν ἐπαίρεις ἀπὸ τῆς ψυχῆς σου· τί γὰρ κατ' ἀξίαν ὑπομένεις, ὧν Χριστὸς ὑπέμεινε διὰ σέ; Οἶδα, κυρία, ὅτι ἐσκόρπισας χρήματα ὡς κόπρια· ἐὰν δὲ μὴ κτήσῃ τὴν πραότητα, οὕτως εἶ ὡς χαλκεὺς τύπτων βόλον σιδήρου, σκεῦος δὲ μὴ ἐκβάλλων.

Καὶ ἔλεγον αὐτῇ· Λέγει ὁ θεοφόρος Ἰγνάτιος, χρῄζω πραΰτητος ἐν ᾗ καταλύεται πᾶσα ἡ δύναμις τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου. Σημεῖον τοῦ ῥίψαι τὸν κόσμον, τὸ μὴ ταράττεσθαι· ἔστι γὰρ ὅτε καταφρονεῖ τις πολλῶν κεντηναρίων καὶ ἔρχεται εἰς ῥαφίδιον καὶ ἡ προσπάθεια αὐτοῦ ποι-

---

168. Μαθουσάλας: ἔζησε 969 χρόνια. Ὑπῆρξε ὁ μακροβιότερος ἄνθρωπος πού ἀναφέρει ἡ ἁγία Γραφή (Γεν. 5, 21-27).

169. Ἄγνωστη. Ἀπό τή συνάφεια τῶν λόγων φαίνεται ὅτι ἦταν μιά πλουσία ἡ ὁποία διέθετε πολλά χρήματα σέ ἀγαθοεργίες.

170. Κεντηνάριον (ἀπό τό λατινικό centum = 100): α) ἑκατοντάδα· μέτρο βάρους χρυσοῦ ἤ χρυσῶν νομισμάτων, ἀλλά καί ἄλλων ὑλικῶν β) ποσότητα ἑκατό ἀντικειμένων.

Τί περισσότερο στ' ἀλήθεια μπορεῖ νά κάνει ὁ δαίμονας σέ μιά τέτοια ψυχή, ἀπ' αὐτό πού κάνει ἡ ἴδια στόν ἑαυτό της; Τόν σταυρό τοῦ Χριστοῦ τόν βλέπουμε, τά πάθη του τά διαβάζουμε καθημερινά, ὅσα ὑπέμεινε γιά μᾶς, κι ἐμεῖς δέν ἀνεχόμαστε οὔτε μιά κακομεταχείριση· πραγματικά βγήκαμε ἀπ' τόν ἴσιο δρόμο».

Ἔλεγε ἀκόμη: «Ἐάν ζήσει κανείς ὅσα χρόνια ἔζησε ὁ Μαθουσάλας[168] καί δέν βαδίζει αὐτόν τόν ἴσιο δρόμο πού βάδισαν ὅλοι οἱ ἅγιοι, ἐννοῶ τόν δρόμο τοῦ νά ἀτιμάζεται καί νά ζημιώνει, ἀλλά καί μέ γενναιότητα νά ὑπομένει, δέν θά προκόψει οὔτε πολύ οὔτε λίγο, μόνο τά χρόνια του θά ξοδεύει ἄσκοπα».

Καί συνέχισε μέ τό ἑξῆς περιστατικό: «Ὅταν ἤμουν κάποια φορά μαζί μέ τή μακαρία Διονυσία[169], τῆς ζήτησε ἕνας ἀδελφός νά τοῦ δώσει κάποια οἰκονομική βοήθεια κι ἐκείνη τοῦ ἔδωσε ὅσο ἔπρεπε γιά τήν περίπτωση. Ἐπειδή ὅμως δέν τοῦ δόθηκε ὅση ζητοῦσε, ἄρχισε νά τήν κακολογεῖ λέγοντας ἄπρεπα λόγια γι' αὐτήν καί γιά μένα. Ὅταν τ' ἄκουσε ἐκείνη, λυπήθηκε γι' αὐτό καί γύρευε εὐκαιρία νά τοῦ κάνει κακό. Τό ἔμαθα λοιπόν ἐγώ καί τῆς εἶπα: "Τί κάνεις; Μηχανεύεσαι κακό γιά τόν ἑαυτό σου. Διώχνεις κάθε ἀρετή ἀπ' τήν ψυχή σου. Τί ἀντάξιο ὑπομένεις, γιά ὅσα ὁ Χριστός ὑπέμεινε γιά σένα; Γνωρίζω καλά, κυρία, ὅτι σκόρπισες χρήματα ἄφθονα σάν νά 'ταν κοπριά· ἐάν ὅμως δέν αποκτήσεις τήν πραότητα, θά μοιάζεις μέ τόν σιδηρουργό, πού χτυπάει ἕνα κομμάτι σίδερο, ἀλλά σκεῦος δέν φτιάχνει".

Τῆς εἶπα ἀκόμη ὅτι ὁ θεοφόρος Ἰγνάτιος λέει: "Ἔχω ἀνάγκη ἀπό πραότητα πού μ' αὐτήν διαλύεται ὅλη ἡ δύναμη τοῦ ἄρχοντα τοῦ αἰώνα αὐτοῦ". Σημάδι ὅτι ἔχεις καταφρονήσει τόν κόσμο, εἶναι τό νά μήν ταράζεσαι. Γιατί ὑπάρχουν περιπτώσεις πού κάποιος περιφρονεῖ πολλά κεντηνάρια[170] καί ἔρχεται μπροστά σέ μιά βελονίτσα καί ἡ

εἶ αὐτὸν ταράσσεσθαι καὶ ποιεῖ τὸ ῥαφίδιον ἐκεῖνο τόπον κεντηναρίου καὶ γίνεταί τις δοῦλος τοῦ ῥαφιδίου ἢ τοῦ κουκουλλίου ἢ τοῦ βιβλίου καὶ οὐκ ἔστι δοῦλος τοῦ Θεοῦ. Καὶ καλῶς εἶπέ τις τῶν σοφῶν, ὅσα πάθη ψυχῆς, τοσοῦτοι δεσπόται· καὶ πάλιν ὁ Ἀπόστολος· Ὧ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται. Ἀκούσασα δὲ ταῦτα προσέσχε μοι θαυμάζουσα καὶ λέγει μοι· Εὕροις τὸν Θεόν, ὃν ποθεῖς.

ϛ΄. Καὶ ἔλεγεν ὁ μακάριος· Ἡ ψυχὴ θέλει σωθῆναι, ἀλλὰ ποθοῦσα τὰ μάταια καὶ περὶ ταῦτα ἀσχολουμένη, φεύγει τοὺς πόνους· ἐπεὶ κατ᾽ ἀλήθειαν οὐκ εἰσὶν αἱ ἐντολαὶ βαρεῖαι, ἀλλὰ τὰ θελήματα ἡμῶν τὰ πονηρά· εἰώθαμεν γὰρ καὶ διὰ φόβον θαλάσσης καὶ διὰ φόβον ληστῶν πάντων καταφρονεῖν καὶ ῥίπτειν ἀόκνως τὰ πράγματα καίπερ γινώσκοντες ὅτι μικρὸν ὕστερον ἀποθνήσκομεν· ἀλλ᾽ ὅμως διὰ τὸ μικρὸν τοῦ ζῆν πάντων καταφρονοῦμεν καὶ μακαριότητα ἡγούμεθα, ἐὰν πάντα ἀπολέσαντες, ἑαυτοὺς σώσωμεν ἢ ἀπὸ ληστῶν ἢ ἀπὸ θαλάσσης. Καὶ ὁ πρὸ μικροῦ μαινόμενος ἵνα κερδήσῃ ὀβολόν, προθύμως πάντα ῥίπτει, ἵνα μόνον κερδήσῃ πρόσκαιρον ζωήν. Διὰ τί μὴ περὶ τῆς αἰωνίου ζωῆς ταῦτα λογιζώμεθα; Διὰ τί μὴ ἰσχύῃ φόβος Θεοῦ, ὡς εἶπεν ὁ ἅγιος, ὅσον ἰσχύει φόβος θαλάσσης;

---

171. Β΄ Πέτρ. 2, 19. 172. Α΄ Ἰω. 5, 3.

προσκόλλησή του σ᾽ αὐτήν τόν κάνει νά ταράζεται. Στή βελονίτσα δηλαδή δίνει ἀξία κεντηναρίου καί γίνεται δοῦλος τῆς μικρῆς αὐτῆς βελόνας ἤ τοῦ κουκουλίου ἤ τοῦ βιβλίου καί παύει νά εἶναι δοῦλος τοῦ Θεοῦ.

Σωστά εἶπε κάποιος ἀπό τούς σοφούς: "Ὅσα εἶναι τά πάθη τῆς ψυχῆς, τόσοι καί οἱ ἀφέντες της". Καί ὁ Ἀπόστολος ἀναφέρει: "Ἀπ᾽ ὅ,τι κανείς ἔχει νικηθεῖ, σ᾽ αὐτό εἶναι καί ὑποδουλωμένος"[171]. Ὅταν τά ἄκουσε αὐτά, μέ κοίταξε μέ θαυμασμό καί μοῦ εἶπε: "Εἴθε νά βρεῖς τόν Θεό πού ποθεῖς"».

«Γιατί νά μήν ἔχει δύναμη ὁ φόβος τοῦ Θεοῦ, ὅση δύναμη ἔχει ὁ φόβος τῆς θάλασσας;»

ϛ΄. Καί συνέχισε νά λέει ὁ μακάριος: «Ἡ ψυχή θέλει νά σωθεῖ ἀλλά ἐπειδή τήν ἑλκύουν τά μάταια πράγματα καί μ᾽ αὐτά ἀσχολεῖται, ἀποφεύγει τούς κόπους· γιατί στήν πραγματικότητα οἱ ἐντολές τοῦ Θεοῦ δέν εἶναι βαριές[172], ἀλλά τά θελήματά μας τά πονηρά. Συνηθίζουμε βέβαια εἴτε ἀπό φόβο μήν πνιγοῦμε στή θάλασσα εἴτε ἀπό φόβο μήν πάθουμε κακό ἀπό ληστές νά τά περιφρονοῦμε ὅλα καί νά πετᾶμε ἀδίστακτα τά πράγματά μας, ἄν καί ξέρουμε ὅτι μετά ἀπό λίγο καιρό θά πεθάνουμε· ἀλλ᾽ ὅμως γιά νά κερδίσουμε αὐτό τό μικρό διάστημα ζωῆς, περιφρονοῦμε τά πάντα καί θεωροῦμε εὐτυχία, ἐάν χάνοντας τά πάντα κατορθώσουμε νά σωθοῦμε εἴτε ἀπό ληστές εἴτε ἀπό τή θάλασσα. Καί αὐτός πού πρίν ἀπό λίγο ἔκανε σάν τρελλός γιά νά κερδίσει ἕνα ἀσήμαντο ποσό, πρόθυμα πετάει τά πάντα, ἀρκεῖ νά κερδίσει λίγη προσωρινή ζωή. Γιατί αὐτά νά μήν τά σκεπτόμαστε γιά τήν αἰώνια ζωή; Γιατί νά μήν ἔχει δύναμη ὁ φόβος τοῦ Θεοῦ, ὅπως εἶπε ὁ ἅγιος, ὅση δύναμη ἔχει ὁ φόβος τῆς θάλασσας;»

Πρὸς σύστασιν δὲ τούτων διηγεῖτο πρᾶγμα τοιοῦτον ἀκηκοὼς παρά τινων ὁ μακάριος, ὅτι· Ποτὲ λιθουργός τις, ὃν καλοῦσι καβιδάριον, ἔχων λίθους πολυτίμους καὶ μαργαρίτας ἀνέβη εἰς πλοῖον μετὰ τῶν παίδων αὐτοῦ θέλων ἀπελθεῖν τοῦ πραγματεύσασθαι. Συνέβη δὲ αὐτὸν κατ' οἰκονομίαν ἀγαπῆσαι παῖδά τινα τοῦ πλοίου, ὅστις ἐποίει αὐτῷ τὴν ὑπηρεσίαν καὶ ἀνεπαύετο καὶ αὐτὸς παρ' αὐτῷ ἐξ ὧν ἤσθιεν ἐσθίων καὶ αὐτός. Μιᾶς δὲ τῶν ἡμερῶν ἀκούει ὁ παῖς τῶν ναυτῶν ψιθυριζόντων καὶ βεβαιωσάντων παρ' ἑαυτοῖς, ἵνα ῥίψωσι τὸν καβιδάριον εἰς τὴν θάλασσαν δι' οὓς εἶχε λίθους. Εἶτα τοῦ παιδὸς μετὰ πολλῆς στυγνότητος ἐλθόντος πρὸς τὸν ἐλεύθερον κατὰ τὸ εἰωθὸς τοῦ ποιῆσαι αὐτῷ τὴν ὑπηρεσίαν, λέγει αὐτῷ· Τί στυγνὸς εἶ σήμερον; Ἐκεῖνος ἐταμιεύσατο λέγων· Οὐδέν. Πάλιν οὖν ἠρώτα αὐτόν, τό· Ὄντως εἰπέ μοι, τί ἔχεις; Τότε ἐξαφίησι κλαυθμὸν καὶ λέγει αὐτῷ ὅτι οὕτως καὶ οὕτως ἐβουλεύσαντο οἱ ναῦται κατὰ σοῦ. Λέγει αὐτῷ· Ἀκριβῶς; Ἀπεκρίθη· Ναί, οὕτως ἐβεβαίωσαν παρ' ἑαυτοῖς.

Τότε καλεῖ τοὺς παῖδας αὐτοῦ καὶ εἶπεν αὐτοῖς· Ὅ,τι ἂν εἴπω ὑμῖν, ἀόκνως ποιήσατε. Ἁπλοῖ οὖν σινδόνα καὶ ἄρχεται λέγειν αὐτοῖς· Φέρετε τὰ μουζίκια, καὶ ἤνεγκαν· καὶ ἀνοίξας ἤρξατο ἁπλοῦν τὰ λιθαρίδια καὶ μετὰ τὸ θεῖναι πάντα, ἤρξατο οὕτως λέγειν· Αὕτη ζωή ἐστι; Διὰ ταῦτα κινδυνεύω θαλασσομαχῶν καὶ μετ' ὀλίγον ἀποθνήσκω μηδὲν λαβὼν μεθ' ἑαυτοῦ ἐκ τοῦ κόσμου τούτου· καὶ λέγει τοῖς παιδίοις αὐτοῦ· Ἐκκενώσατε πάντα εἰς τὴν θάλασσαν, καὶ εὐθέως σὺν τῷ λόγῳ αὐτοῦ ἠκόντισαν πάντα εἰς τὴν θάλασσαν καὶ ἐξέστησαν οἱ ναῦται καὶ διεσκεδάσθη ἡ βουλὴ αὐτῶν.

---

173. Καβιδάριος: ἐπεξεργαστής πολύτιμων λίθων.

Καί γιά νά τά ἀποδείξει αὐτά, ἄρχισε νά διηγεῖται τό παρακάτω περιστατικό, πού τό ἄκουσε ἀπό κάποιους ὁ μακάριος: «Κάποτε ἕνας λιθοξόος, πού τόν ὀνομάζουν καβιδάριο[173], παίρνοντας μαζί του πολύτιμα πετράδια καί μαργαριτάρια ἀνέβηκε σ' ἕνα καράβι μαζί μέ τούς ὑπηρέτες του νά ταξιδέψει γιά νά τά ἐμπορευθεῖ. Καί συνέβη κατ' οἰκονομίαν νά συμπαθήσει κάποιον δοῦλο τοῦ καραβιοῦ, ὁ ὁποῖος τόν ἐξυπηρετοῦσε καί καλοπερνοῦσε κι αὐτός κοντά του τρώγοντας ἀπ' ὅσα ἔτρωγε ὁ ἴδιος. Κάποια μέρα λοιπόν ἀκούει ὁ ὑπηρέτης αὐτός νά σιγομιλοῦν οἱ ναῦτες καί νά συμφωνοῦν μεταξύ τους γιά νά πετάξουν τόν καβιδάριο στή θάλασσα ἐξαιτίας τῶν πολύτιμων πετραδιῶν πού εἶχε. Μετά ἀπ' αὐτό πολύ σκυθρωπός πῆγε κοντά στόν ἀνυποψίαστο ἐπιβάτη, γιά νά τοῦ προσφέρει τή συνηθισμένη ἐξυπηρέτηση, ὁπότε τοῦ λέει ἐκεῖνος: "Γιατί εἶσαι σήμερα κατσούφης;" Αὐτός ἀρχικά τό κράτησε μυστικό καί τοῦ 'πε: "Τίποτε δέν συμβαίνει". Ἀλλά τόν ξαναρώτησε: "Πές μου τήν ἀλήθεια, τί ἔχεις;" Ξέσπασε τότε σέ λυγμούς καί τοῦ λέει ὅτι τό καί τό ἀποφάσισαν οἱ ναῦτες νά σοῦ κάνουν. Τόν ρωτάει: "Μοῦ τά μεταφέρεις ἀκριβῶς;" "Ναί, —ἀπάντησε— ἔτσι συμφώνησαν μεταξύ τους".

Φωνάζει τότε τούς δικούς του δούλους καί τούς λέει "Ὅ,τι σᾶς πῶ, νά τό κάνετε ἀδίστακτα". Ἁπλώνει λοιπόν ἕνα σινδόνι καί ἀρχίζει νά τούς λέει "Φέρτε μου τίς κασέλες". Τοῦ τίς ἔφεραν, τίς ἄνοιξε καί ἄρχισε νά ἁπλώνει τά πετράδια καί ἀφοῦ τά τοποθέτησε ὅλα, ἄρχισε νά λέει τά ἑξῆς: "Ζωή εἶναι αὐτή; Ἐξαιτίας αὐτῶν κινδυνεύω καί θαλασσοπνίγομαι καί μετά ἀπό λίγο θά πεθάνω, χωρίς νά πάρω τίποτε μαζί μου ἀπό τόν κόσμο αὐτό". Καί λέει στούς δούλους του: "Ἀδειάστε τα ὅλα στή θάλασσα"· καί πάνω στόν λόγο του εὐθύς τά ἐξακόντισαν ὅλα μέσα στή θάλασσα. Σάστισαν τότε οἱ ναῦτες καί χάλασαν τά σχέδιά τους».

Καὶ ἔλεγεν ὁ μακάριος· Θεωρήσωμεν ὅτε ὥρμησεν ὁ λογισμὸς αὐτοῦ, πῶς ἐγένετο φιλόσοφος ἐν λόγοις καὶ ἔργοις, καὶ τοῦτο ἵνα κερδήσῃ μικρὰν ζωὴν καὶ δικαίως ἐποίησεν· ἐλογίζετο γὰρ ὅτι· Ἐὰν ἀποθάνω τί ἔχω κερδάναι ἀπὸ τῶν λίθων. Καὶ ἡμεῖς μικρὰν ζημίαν οὐχ ὑπομένομεν διὰ τὴν ἐντολὴν τοῦ Χριστοῦ.

Εἰ δὲ ὅλως δεῖ λυπεῖσθαι, διὰ τὴν ἀπώλειαν τοῦ ζημιώσαντος καὶ οὐ διὰ τὴν ζημίαν τῶν χρημάτων· ἐκεῖνος γὰρ ἀδικήσας ἑαυτὸν ἐξέβαλε τῆς Βασιλείας τῶν Οὐρανῶν. Ἄδικοι γὰρ βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι· σοὶ δὲ τῷ ἀδικηθέντι τὴν ζωὴν προεξένησε· Χαίρετε, γάρ φησι, καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. Ἡμεῖς δὲ ἀφέντες τὸ λυπεῖσθαι περὶ τῆς ἀπωλείας τῶν μελῶν τοῦ Χριστοῦ καθήμεθα πλέκοντες λογισμοὺς ὑπὲρ φθαρτῶν καὶ εὐτελῶν καὶ ἀπολλυμένων πραγμάτων καὶ οὐδενὸς ἀξίων· ὄντως δικαίως κολαζόμεθα.

Καὶ γὰρ ἐν τάξει μελῶν ἔθηκεν ἡμᾶς ὁ Θεὸς κεφαλὴν ἔχοντας Χριστὸν τὸν Θεὸν ἡμῶν, καθὼς εἶπεν ὁ ἅγιος Ἀπόστολος, ὅτι· Πάντα τὰ μέλη τοῦ σώματος πολλὰ ὄντα ἕν ἐστι σῶμα, κεφαλὴ δὲ πάντων ἐστὶν ὁ Χριστός. Ὅταν οὖν θλίβῃ σε ὁ ἀδελφός, πάντως ὡς χεὶρ πάσχουσα ἢ ὡς ὀφθαλμὸς ἀσθενῶν θλίβει· ἀλλ' ὅμως καίπερ πονοῦντες, οὔτε τὴν χεῖρα κόπτομεν καὶ ῥίπτομεν οὔτε τὸν ὀφθαλμὸν ἐξορύττομεν, ζημίαν μεγίστην ἡγούμενοι τὴν ἑκάστου τούτων ἀποβολήν. Ἀλλὰ καὶ τὴν σφραγῖδα Χριστοῦ τὴν πάντων τιμιωτέραν ἐπιτίθεμεν καὶ ἁγίους εὔξασθαι παρακαλοῦμεν καὶ ἐκτενεῖς

174. Α΄ Κορ. 6, 9. 175. Ματθ. 5, 12.
176. Α΄ Κορ. 12, 12· Κολ. 1, 18.

Καί ἔλεγε ὁ μακάριος: «Ἄς παρατηρήσουμε τήν ὥρα πού ξεκίνησε ὁ λογισμός μέσα του πῶς ἀποδείχθηκε φιλόσοφος καί στά λόγια καί στήν πράξη καί αὐτό, γιά νά κερδίσει λίγα χρόνια ζωῆς· καί πολύ σωστά ἐνήργησε· γιατί συλλογίσθηκε ὅτι "ἄν πεθάνω, τί ἔχω νά κερδίσω ἀπό τίς πέτρες". Ἐμεῖς ὅμως μιά μικρή ζημιά χάριν τῆς ἐντολῆς τοῦ Χριστοῦ δέν ὑπομένουμε.

Καί ἐάν ὁπωσδήποτε εἶναι ἀνάγκη νά θλιβόμαστε, ἄς θλιβόμαστε γιά τήν ἀπώλεια τοῦ ἀνθρώπου, πού μᾶς προκάλεσε τή ζημιά, καί ὄχι γιά τή χρηματική ζημιά. Γιατί αὐτός μέ τήν ἀδικία πού ἔκανε, ἔβγαλε τόν ἑαυτό του ἔξω ἀπό τή Βασιλεία τῶν Οὐρανῶν· ἐφόσον "ὅσοι κάνουν ἀδικίες, δέν θά κληρονομήσουν τή Βασιλεία τοῦ Θεοῦ"[174]. Ἀλλά σέ σένα πού ἀδικήθηκες, προξένησε τή ζωή. "Νά χαίρεστε λοιπόν καί νά εὐφραίνεσθε —λέει— γιατί θά ἔχετε μεγάλο μισθό στόν Οὐρανό"[175]. Ἀλλά ἐμεῖς ἀντί νά λυπόμαστε, γιατί χάνονται μέλη τοῦ Χριστοῦ, καθόμαστε καί πλέκουμε λογισμούς γιά πράγματα πρόσκαιρα καί τιποτένια, πού καταστρέφονται καί δέν ἔχουν καμιά ἀξία. Ὄντως δίκαια τιμωρούμαστε.

Καί εἶναι γνωστό ὅτι ὁ Θεός μᾶς ἔβαλε στήν τάξη τῶν μελῶν καί ἔχουμε ὡς κεφαλή τόν Χριστό, τόν Θεό μας, ὅπως εἶπε ὁ ἅγιος Ἀπόστολος, ὅτι "ὅλα τά μέλη τοῦ σώματος, ἄν καί εἶναι πολλά, ἀποτελοῦν ἕνα σῶμα καί κεφαλή ὅλων εἶναι ὁ Χριστός"[176]. Ὅταν λοιπόν σέ θλίβει ὁ ἀδελφός, σέ θλίβει μέ λίγα λόγια σάν νά 'ναι τό χέρι σου πού πάσχει ἤ τό μάτι σου πού εἶναι ἄρρωστο· ἀλλ' ὅμως ἄν καί πονοῦμε, οὔτε τό χέρι κόβουμε καί τό πετᾶμε, οὔτε τό μάτι τό βγάζουμε, γιατί θεωροῦμε πολύ μεγάλη ζημία νά χάσουμε τό καθένα ἀπ' αὐτά. Ἀντίθετα, καί τή σφραγίδα τοῦ Χριστοῦ —πού εἶναι τό πολυτιμότερο ἀπ' ὅλα— θέτουμε ἐπάνω μας καί τούς ἁγίους παρακαλοῦμε νά μεσιτεύσουν καί

εὐχὰς ὑπὲρ αὐτῶν προσφέρομεν τῷ Θεῷ καὶ σὺν τούτοις κολλύρια καὶ ἔμπλαστρα κατασκευάζομεν, ἵνα τὸ μέλος τὸ πονοῦν θεραπεύσωμεν. Ὥσπερ οὖν εὔχῃ ὑπὲρ τοῦ ὀφθαλμοῦ σου ἢ τῆς χειρός σου ἵνα ὑγιάνῃ καὶ μηκέτι θλίβεσαι, οὕτως καὶ ὑπὲρ τοῦ ἀδελφοῦ σου. Ἀλλὰ τὰ μέλη τοῦ Χριστοῦ ὁρῶντες οὕτως βλαπτόμενα, οὐ μόνον οὐ λυπούμεθα ἀλλὰ καὶ κατευχόμεθα αὐτῶν. Ταῦτα ἀληθῶς μὴ ἐχόντων σπλάγχνα χρηστά ἐστι.

Καὶ ἔλεγεν ὅτι· Ὁ κεκτημένος σπλάγχνα οἰκτιρμῶν ἢ ἀγάπης ἢ συμπαθείας πρῶτον ἑαυτὸν εὐφραίνει καὶ ὠφελεῖ, ἔπειτα τὸν πλησίον, ὥσπερ καὶ τοὐναντίον ἡ κακία τὸν ἔχοντα αὐτὴν ἐκτήκει καὶ δαμάζει. Εἰ δὲ ἄρα δόξει βλάπτειν τὸν πλησίον ἢ εἰς χρήματα ἢ εἰς δόξαν ἢ καὶ ἕως τοῦ σώματος φανεῖ ἡ βλάβη, ἑαυτὸν τῆς ζωῆς ἐκβάλλει. Καὶ ἔλεγε τὴν χρῆσιν ἐκείνην, ὅτι· Ὁ μὴ βλάπτει ψυχήν, οὐδὲ ἄνθρωπον.

ζ΄. Καὶ πάλιν ἔλεγεν ὁ μακάριος ὅτι· Εἰπέ μοί τις· Ἀββᾶ, πολλά εἰσι τὰ ἐπιταχθέντα καὶ σκοτοῦται ὁ νοῦς ποῖα φυλάξει καὶ ποῖα μὴ φυλάξει· καὶ εἶπον αὐτῷ· Τοῦτο μὴ θορυβήσῃ σε ἀλλὰ τοῦτο λογίζου, ὅτι ἀπροσπαθῶς ἔχων πρὸς τὰ πράγματα, εὐκόλως κατορθοῖς τὴν ἀρετὴν καὶ μὴ ἀντιποι-

177. Βλ. ἀββᾶ Δωροθέου Διδ. 6η, κεφ. 77 (ὅ.π.).

θερμές προσευχές γι' αὐτά προσφέρουμε στόν Θεό καί κοντά σ' αὐτά ἑτοιμάζουμε καί κολλύρια καί καταπλάσματα, γιά νά θεραπεύσουμε τό μέλος πού πονάει. Ὅπως λοιπόν προσεύχεσαι γιά τό μάτι σου ἤ τό χέρι σου, γιά νά γίνει καλά καί νά πάψει ἡ λύπη σου, τό ἴδιο πρέπει νά κάνεις καί γιά χάρη τοῦ ἀδελφοῦ σου. Ἀλλά ἐμεῖς ἄν καί βλέπουμε τόσο πολύ νά βλάπτονται τά μέλη τοῦ Χριστοῦ, ὄχι μόνο δέν λυπόμαστε ἀλλά καί τούς καταριόμαστε. Αὐτά, πραγματικά, τά κάνουν ἄνθρωποι πού δέν ἔχουν καρδιά σπλαχνική».

Καί ἔλεγε: «Αὐτός πού ἔχει καρδιά σπλαχνική, ἀγάπη καί συμπάθεια, πρῶτα τόν ἑαυτό του εὐφραίνει καί ὠφελεῖ, ἔπειτα τόν πλησίον. Ὅπως ἀκριβῶς ἀντίθετα ἡ κακία διαλύει καί ὑποδουλώνει αὐτόν πού τήν ἔχει. Κι ἄν ἀκόμη φανεῖ ὅτι βλάπτει τόν πλησίον ἤ σέ χρήματα ἤ στήν ὑπόληψή του ἤ καί μέχρι τῆς σωματικῆς του ἀκεραιότητος φθάσει ἡ βλάβη, οὐσιαστικά τόν ἑαυτό του ἀπομακρύνει ἀπό τή ζωή»[177]. Καί ἀνέφερε τό χωρίο ἐκεῖνο ὅτι ὅποιο πράγμα δέν βλάπτει τήν ψυχή οὔτε τόν ἄνθρωπο βλάπτει[178].

«Οἱ ἅγιοι καί οἱ καθαροί εἶναι ἄξιοι νά ἀτιμασθοῦν γιά τόν Χριστό. Ἐμεῖς δίκαια ἀτιμαζόμαστε γιά τίς ἁμαρτίες μας καί τά ἐλεεινά μας ἔργα»

ζ΄. Ἄλλη φορά πάλι ἄρχισε νά λέει ὁ μακάριος: «Μοῦ εἶπε κάποιος: "Ἀββᾶ, πολλές εἶναι οἱ ἐντολές καί θολώνει ὁ νοῦς ποιές νά τηρήσει καί ποιές ὄχι". Καί τοῦ εἶπα: "Αὐτό μή σέ ἀνησυχεῖ, τοῦτο μόνο νά 'χεις στό μυαλό σου, ὅτι, ἄν δέν θά ἔχεις ἐμπαθή προσκόλληση πρός τά πράγματα, εὔκολα θά κατορθώνεις τήν ἀρετή. Καί ἐφόσον δέν θά τά δι-

178. Πρβλ. Ματθ. 15, 17-20.

ούμενος αὐτῶν οὐκ ἔσῃ μνησίκακος. Ποῖον κόπον ἔχει τὸ προσεύχεσθαι ὑπὲρ ἐχθρῶν, σκάψαι ἐπὶ τὴν γῆν, ἀλλὰ ὁδεῦσαι ὁδόν, ἀλλὰ ζημίαν φέρειν χρημάτων; Εὐχαρίστει ἀτιμαζόμενος καὶ γέγονας μαθητὴς τῶν ἁγίων Ἀποστόλων, οἵτινες ἐπορεύοντο χαίροντες, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτιμασθῆναι. Καὶ ἐκεῖνοι μὲν ὡς καθαροὶ καὶ ἅγιοι ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ, ἡμεῖς δὲ χρεωστοῦμεν ἀτιμάζεσθαι διὰ τὰς ἁμαρτίας ἡμῶν· καὶ ἄτιμοί ἐσμεν, κἂν μηδεὶς ἀτιμάσῃ ἡμᾶς, καὶ ἐπικατάρατοι· ἐπικατάρατοι γάρ φησιν οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου.

Μὴ γὰρ πάντων ἐστὶν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτιμασθῆναι; Οὐ πάντων ἀλλὰ τῶν ἁγίων καὶ καθαρῶν, ὡς εἶπον· τῶν δὲ καθ' ἡμᾶς ἐστιν εὐγνωμόνως κινεῖσθαι καὶ ὁμολογεῖν ὅτι δικαίως ἀτιμαζόμεθα διὰ τὰς ἁμαρτίας ἡμῶν καὶ τὰ φαῦλα ἡμῶν ἔργα. Ἀλλ' ἡ ἀθλία αὕτη ψυχὴ καίπερ γινώσκουσα τὰ ἔργα αὐτῆς τὰ ἀκάθαρτα καὶ ὅτι ἀξίως πάσχει εἴ τι πάσχει, κάθηται παραλογιζομένη τὴν ἰδίαν συνείδησιν καὶ πλέκουσα λογισμοὺς καὶ λέγουσα ὅτι, εἶπέ μοι καὶ ἠτίμασέ με καὶ ἐλοιδόρησέ με, ἐπιβουλεύουσα ἑαυτῇ καὶ τὸν τόπον τῶν δαιμόνων πληροῦσα.

Ὥσπερ δὲ ἐπὶ τῶν τεχνῶν, οὕτω συμβαίνει καὶ ἐπὶ τῆς ψυχῆς· ὡς γὰρ ἐκεῖ ὁ ἐπιστάτης παραδίδωσι τὴν τέχνην τῷ μαθητῇ καὶ ἐᾷ αὐτὸν λοιπὸν καθ' ἑαυτὸν ἐργάζεσθαι καὶ οὐκέτι ἔχει χρείαν παρακαθέζεσθαι αὐτῷ, μόνον δὲ μίαν μίαν ἐπισκέπτεται αὐτόν, μήποτε ἠμέλησεν ἢ ἠφάνισεν, οὕτως καὶ οἱ δαίμονες, ἐὰν ἴδωσι ψυχὴν ὑπακούουσαν καὶ εὐχερῶς δεχομένην πονηροὺς λογισμούς, παραδιδόασιν αὐτὴν τῇ σατανικῇ τέχνῃ καὶ οὐ χρείαν ἔχουσι παρα-

179. Πρ. 5, 41. 180. Ψαλμ. 118, 21.

εκδικεῖς, δέν θά εἶσαι καί μνησίκακος. Τί σοῦ στοιχίζει νά προσεύχεσαι γιά τούς ἐχθρούς; Νά σκάβεις τή γῆ; Νά κάνεις ἀκόμη καί δρόμο ἤ νά ὑπομένεις καί χρηματική ζημιά;

Ἀλλά νά εὐχαριστεῖς, ὅταν περιφρονεῖσαι, καί ἔτσι γίνεσαι μαθητής τῶν ἁγίων Ἀποστόλων, οἱ ὁποῖοι ἦταν γεμάτοι χαρά, γιατί ἀξιώθηκαν γιά χάρη τοῦ Χριστοῦ νά δεχθοῦν ἐξευτελισμούς[179]. Καί ἐκεῖνοι βέβαια ὡς καθαροί καί ἅγιοι ἐξευτελίζονταν γιά τό ὄνομα τοῦ Χριστοῦ, ἐμεῖς ὅμως χρωστᾶμε νά δεχόμαστε ἐξευτελισμούς ἐξαιτίας τῶν ἁμαρτιῶν μας. Κι ἄν ἀκόμη δέν μᾶς ἐξευτελίσει κανείς, εἴμαστε τιποτένιοι καί καταραμένοι. Γιατί λέει ὁ λόγος τοῦ Θεοῦ: "Καταραμένοι ὅσοι παρεκκλίνουν ἀπό τίς ἐντολές σου"[180].

Καί μήπως μποροῦν ὅλοι νά ὑπομένουν τήν ἐξουθένωση γιά χάρη τοῦ Χριστοῦ; Ὄχι ὅλοι, ἀλλά οἱ ἅγιοι καί οἱ καθαροί, ὅπως εἶπα· ὅσο γιά μᾶς, πρέπει νά κινούμαστε μέ εὐγνωμοσύνη στήν ψυχή καί νά ὁμολογοῦμε ὅτι δίκαια ἀτιμαζόμαστε γιά τίς ἁμαρτίες μας καί τά ἐλεεινά μας ἔργα. Ἀλλά αὐτή ἡ ἄθλια ψυχή μας, ἐνῶ γνωρίζει τά ἔργα της τά ἀκάθαρτα καί ὅτι ἄξια παθαίνει ὅ,τι παθαίνει, κάθεται καί ἐξαπατᾶ τόν ἴδιο τόν ἑαυτό της καί φτιάχνει λογισμούς καί λέει ὅτι "μοῦ 'πε καί μέ ἐξευτέλισε καί μέ ἔβρισε" καί ἐπιβουλεύεται ἔτσι τόν ἑαυτό της· ἄρα ἀντικαθιστᾶ τόν διάβολο στόν ρόλο του.

Ὅ,τι βέβαια γίνεται μέ τίς τέχνες, τό ἴδιο συμβαίνει καί μέ τήν ψυχή. Ὅπως δηλαδή ἐκεῖ ὁ τεχνίτης παραδίδει τήν τέχνη στόν μαθητή καί τόν ἀφήνει κατόπιν νά δουλεύει μόνος του καί δέν βλέπει πιά τόν λόγο νά κάθεται δίπλα του, παρά μόνο πότε-πότε τόν ἐπισκέπτεται μήπως παραμελεῖ τή δουλειά ἤ μήπως κατέστρεψε κάτι, τό ἴδιο καί οἱ δαίμονες, ἐάν δοῦν τήν ψυχή νά ὑπακούει σ' αὐτούς καί άνετα νά δέχεται πονηρούς λογισμούς, τήν παραδίνουν στή σατανική τέχνη καί δέν βλέπουν τήν ἀνάγκη νά κάθονται δί-

καθῆσθαι αὐτῇ εἰδότες ὅτι ἀρκεῖ ἑαυτῇ πρὸς ἐπιβουλήν· μόνον παραβάλλουσιν ἐκ διαλειμμάτων μήπως ἠμέλησεν.

Τί εὐκολώτερον τοῦ ἀγαπᾶν πάντας καὶ ἀγαπᾶσθαι ὑπ' αὐτῶν; Ποίαν ἀνάπαυσιν οὐκ ἔχουσιν αἱ ἐντολαὶ τοῦ Χριστοῦ; Ἀλλ' οὐχ ὁρμᾷ ἡ προαίρεσις· εἰ γὰρ ὥρμα, τῇ χάριτι τοῦ Χριστοῦ πάντα αὐτῇ εὔκολα ἦν· μικρὰ ῥοπὴ τοῦ θελήματος ἡμῶν, ὡς πολλάκις εἶπον, τὸν Θεὸν ἐπισπᾶται εἰς βοήθειαν· καὶ καθώς φησιν ὁ θεῖος Ἀντώνιος· Ἡ ἀρετὴ τοῦ θέλειν ἡμῶν μόνον χρείαν ἔχει. Καὶ πάλιν· Οὐ χρείαν ἔχομεν ἀποδημίας διὰ τὴν Βασιλείαν τῶν Οὐρανῶν οὐδὲ περάσαι θάλασσαν διὰ τὴν ἀρετήν. Ποίαν ἀνάπαυσιν οὐκ ἔχει ὁ πρᾶος καὶ ταπεινός; Ὄντως οἱ πραεῖς κληρονομήσουσι γῆν καὶ κατατρυφήσουσιν ἐπὶ πλήθει εἰρήνης.

η΄. Ἔλεγε δὲ πάλιν ὁ μακάριος· Ὡδεύομεν ἐγώ τε καὶ εἷς ἀδελφὸς μετὰ κοσμικῶν τὴν ὁδὸν Νεαπόλεως καὶ ἤλθομεν εἰς τόπον ὅπου τελώνιον ἦν. Καὶ οἱ μὲν κοσμικοὶ εἰδότες τὴν συνήθειαν ἔδωκαν τὸ τέλος, ὁ δὲ ἀδελφὸς ὁ ὢν μετ' ἐμοῦ ἤρξατο ἀντιτείνειν καὶ λέγειν αὐτοῖς· Τολμᾶτε μοναχοὺς ἀπαιτῆσαι; Ἐγὼ δὲ ἀκούσας εἶπον αὐτῷ· Τί ποιεῖς, ἀδελφέ; Οὐδὲν ἄλλο λέγεις αὐτοῖς ἢ θέλων καὶ μὴ θέλων, τίμησόν με ὡς ἅγιον· μᾶλλον αὐτοὶ ὤφειλον ἰδεῖν τὴν καλοθέλειάν σου καὶ ταπείνωσιν αἰδεῖσθαι καὶ εἰπεῖν· Συγχώρησον. Οὐκοῦν

181. Ματθ. 5, 5 καὶ 9.

πλα της· γιατί ξέρουν πολύ καλά ὅτι ἐπαρκεῖ γιά νά μηχανεύεται κακό γιά τόν ἑαυτό της· μόνο τήν ἐπισκέπτονται κατά διαστήματα μήν τυχόν καί παραμέλησε τήν τέχνη της.

Τί πιό εὔκολο ἀπό τό νά ἀγαπᾶ κανείς ὅλους καί νά τόν ἀγαποῦν; Ποιά ἀνάπαυση δέν προσφέρουν οἱ ἐντολές τοῦ Χριστοῦ; Ἀλλά δέν ξεκινάει ἡ προαίρεσή μας· γιατί ἐάν ξεκινοῦσε, μέ τή χάρη τοῦ Χριστοῦ ὅλα θά ἦταν εὔκολα γι' αὐτήν. Μικρό ξεκίνημα τοῦ θελήματός μας, ὅπως πολλές φορές τό εἴπαμε, προσελκύει τόν Θεό γιά βοήθεια. Καί καθώς λέει ὁ θεῖος Ἀντώνιος "ἡ ἀρετή χρειάζεται ἀπό μᾶς μόνο τή θέλησή μας". Καί ἀκόμη "δέν ὑπάρχει ἀνάγκη νά ταξιδεύουμε μακριά ἀπ' τή χώρα γιά χάρη τῆς Βασιλείας τῶν Οὐρανῶν οὔτε νά διασχίσουμε θάλασσες γιά νά βροῦμε τήν ἀρετή". Ποιά ἐσωτερική ἀνάπαυση δέν ἔχει ὁ πράος καί ταπεινός; Πραγματικά οἱ πράοι θά κληρονομήσουν τή γῆ καί θά ἀπολαύσουν πληθωρικά τήν εἰρήνη[181]».

«Ὡς μαθητής τοῦ πράου καί ταπεινοῦ, πλήρωσε καί πέρασε εἰρηνικά»

η΄. Ἔλεγε πάλι ὁ μακάριος: «Βαδίζαμε μ' ἕναν ἀδελφό καί μερικούς λαϊκούς μαζί, τόν δρόμο πρός τή Νεάπολη[182]· καί φθάσαμε σ' ἕνα σημεῖο πού ὑπῆρχε τελωνεῖο. Οἱ λαϊκοί, ἐπειδή γνώριζαν τή συνήθεια, πλήρωσαν τόν φόρο. Ὁ ἀδελφός ὅμως πού ἦταν μαζί μου ἄρχισε νά φέρνει ἀντίρρηση καί νά λέει σ' αὐτούς: "Τολμᾶτε νά ζητᾶτε ἀπό μοναχούς;" Ἐγώ ὅταν τόν ἄκουσα, τοῦ εἶπα: "Τί κάνεις, ἀδελφέ; Τίποτε ἄλλο δέν τούς λές τώρα, παρά, 'θέλοντας καί μή, τίμησέ με ὡς ἅγιο'. Αὐτοί μᾶλλον ἔπρεπε νά δοῦν τήν καλή σου θέληση καί τήν ταπείνωσή σου νά σεβαστοῦν καί νά

182. Πόλη τῆς Παλαιστίνης, βορειότερα τῆς ἀρχαίας Συχέμ.

ὡς μαθητὴς τοῦ πράου καὶ ταπεινοῦ δὸς καὶ πάρελθε μετ' εἰρήνης.

Ἄλλοτε γενομένου μου εἰς τὴν Ἁγίαν Πόλιν ἔρχεταί τις τῶν φιλοχρίστων καὶ λέγει μοι· Ἐπεὶ δὴ μικρὸν ἀηδῶς ἔσχομεν μετ' ἀλλήλων ἐγώ τε καὶ ὁ ἀδελφός μου καὶ οὐ θέλει διαλλαγῆναί μοι, ἀλλὰ παρακλήθητι καὶ λάλησον αὐτῷ. Ἐγὼ δὲ μετὰ χαρᾶς δεξάμενος τὸν λόγον καὶ καλέσας τὸν ἀδελφὸν αὐτοῦ ἐλάλησα αὐτῷ τὰ συντείνοντα εἰς ἀγάπην καὶ εἰρήνην καὶ ἔδοξέ μοι πείθεσθαι.

Ὕστερον δὲ λέγει μοι· Οὐ δύναμαι διαλλαγῆναι αὐτῷ ὅτι ὤμοσα εἰς τὸν σταυρόν. Ἐγὼ δὲ ὑπομειδιάσας εἶπον αὐτῷ· Ὁ ὅρκος σου τοιαύτην δύναμιν ἔχει, ὅτι μὰ τὸν τίμιόν σου, Χριστέ, σταυρόν, οὐ μὴ φυλάξω τὰς ἐντολάς σου, ἀλλὰ τὸ θέλημα τοῦ ἐχθροῦ σου τοῦ διαβόλου ποιήσω. Καὶ γὰρ οὐ μόνον οὐκ ὀφείλομεν στῆσαι τὸ κακῶς ὁρισθὲν ὑφ' ἡμῶν, ἀλλὰ καὶ μετανοεῖν καὶ θλίβεσθαι ἐφ' οἷς κακῶς ὁριζόμεθα καθ' ἑαυτούς, καθώς φησιν ὁ θεοφόρος Βασίλειος. Καὶ γὰρ Ἡρῴδης εἰ μετενόησε καὶ μὴ ἔστησε τὸν ὅρκον αὐτοῦ, οὐκ ἂν εἰργάσατο τὸ μέγα ἁμάρτημα ἐκεῖνο ἀποκεφαλίσας τὸν τοῦ Χριστοῦ Πρόδρομον. Καὶ λοιπὸν ἤνεγκα αὐτῷ τὴν χρῆσιν τοῦ ἁγίου Βασιλείου, ἣν ἤνεγκεν ἐκ τοῦ ἁγίου Εὐαγγελίου, ὅτε ἠθέλησεν ὁ Κύριος νίψαι τοὺς πόδας τοῦ ἁγίου Πέτρου κἀκεῖνος ἀντεῖπεν.

183. Ἁγία Πόλη: ἡ Ἱερουσαλήμ.

ποῦν: 'Συγχώρα μας'. Λοιπόν ὡς μαθητής τοῦ πράου καί ταπεινοῦ Ἰησοῦ πλήρωσε καί πέρασε εἰρηνικά".

Ἄλλοτε πού βρέθηκα στήν Ἁγία Πόλη[183], ἔρχεται κάποιος εὐσεβής ἄνθρωπος καί μοῦ λέει: "Ἐπειδή εἶναι λίγος καιρός πού ἔχει δημιουργηθεῖ μιά δυσάρεστη κατάσταση ἀνάμεσα σέ μένα καί στόν ἀδελφό μου καί δέν θέλει νά συμφιλιωθεῖ μαζί μου, σέ παρακαλῶ πολύ, μίλησέ του". Δέχθηκα εὐχαρίστως τήν πρότασή του καί κάλεσα τόν ἀδελφό του. Τοῦ εἶπα αὐτά πού οἰκοδομοῦν τήν ἀγάπη καί τήν εἰρήνη καί μοῦ φάνηκε ὅτι πείσθηκε.

Σέ λίγο ὅμως μοῦ λέει: "Δέν μπορῶ νά συμφιλιωθῶ, γιατί ὁρκίσθηκα στόν σταυρό". Ἐγώ χαμογέλασα καί τοῦ εἶπα: Ὁ ὅρκος σου ἔχει τέτοια σημασία, πού εἶναι σάν νά λές· "μά τόν τίμιο Σταυρό σου, Χριστέ, δέν θά κρατήσω τίς ἐντολές σου, ἀλλά θά κάνω τοῦ ἐχθροῦ σου τοῦ διαβόλου τό θέλημα". Καί μάλιστα ὄχι μόνο δέν ἔχουμε χρέος νά κρατήσουμε μιά ἀπόφαση πού κακῶς τήν πήραμε, ἀλλά, ἀντίθετα, πρέπει καί νά μετανοιώνουμε καί νά θλιβόμαστε γιά ὅσα, ἀκολουθώντας τή γνώμη μας, κακῶς ὁρίζουμε νά κάνουμε, ὅπως λέει ὁ θεοφόρος Βασίλειος*. Καί ὁ Ἡρώδης βέβαια, ἐάν θά μετανοοῦσε καί δέν κρατοῦσε τόν ὅρκο του, δέν θά ἔκανε τό μεγάλο ἐκεῖνο ἁμάρτημα νά ἀποκεφαλίσει τόν Πρόδρομο τοῦ Χριστοῦ. Καί στή συνέχεια τοῦ ἀνέφερα τό σχόλιο τοῦ ἁγίου Βασιλείου[184] πάνω στό περιστατικό τοῦ ἁγίου Εὐαγγελίου, τότε πού ὁ Κύριος θέλησε νά πλύνει τά πόδια τοῦ ἁγίου Πέτρου καί ἐκεῖνος ἀρνήθηκε».

184. Μ. Βασιλείου *Ὅροι κατ' ἐπιτομήν* 60 (βλ. καί Ἰω. 13, 8-9).

θ΄. Ἔλεγε πάλιν ὁ μακάριος ὅτι ἠρωτήθη πῶς ὀφείλει κρατῆσαί τις θυμοῦ· Καὶ ἀποκριθεὶς εἶπον, ὅτι ἡ ἀρχὴ τοῦ κρατῆσαι θυμοῦ τέως ἐν τῷ ταράσσεσθαι μὴ λαλεῖν. Διὰ τοῦτο ὁ ἀββᾶς Μωυσῆς οὐκ ἐταράχθη, ὅταν ἐξουθένωσαν αὐτόν· Τί καὶ ὁ Αἰθίοψ —λέγοντες— οὗτος ἔρχεται ἐν μέσῳ ἡμῶν; Ἀλλ' εἶπεν· Εἰ καὶ ἐταράχθην, ἀλλ' οὐκ ἐλάλησα. Τὸ δὲ δεύτερον οὐ μόνον οὐκ ἐταράχθη ἀλλὰ καὶ ἐπέπληξεν ἑαυτὸν λέγων· Σποδόδερμε, μελανέ, καλῶς σοι ἐποίησαν, μὴ ὢν ἄνθρωπος τί ἔρχῃ ἐν μέσῳ ἀνθρώπων;

Ἀλλ' ἡμεῖς κάτω πολὺ ὄντες, τὰ τῶν ἀρχαρίων φθάσαι μὴ δυνάμενοι διὰ πολλὴν ἀμέλειαν, νομίζομεν ὑπέρογκα καὶ ἀδύνατα εἶναι τὰ ἐπιτάγματα· τὸ γὰρ ταράσσεσθαι καὶ μὴ λαλεῖν οὐ τελείων ἐστίν, ἀλλὰ ἀρχαρίων· μέγα δέ ἐστιν κατὰ ἀλήθειαν τὸ μηδὲ ὅλως ταράσσεσθαι κατὰ τὸν εἰπόντα ἅγιον προφήτην· Ἡτοιμάσθην καὶ οὐκ ἐταράχθην. Ἀλλ' αὐτὸ τοῦτο βαλεῖν ἀρχὴν οὐ ζητοῦμεν οὐδὲ δεικνύομεν προαίρεσιν τοιαύτην, ὥστε ἐπισπάσασθαι τὴν χάριν τοῦ Θεοῦ πρὸς βοήθειαν ἡμῶν· ἀλλὰ κἂν δοκῶμεν ἐνδείκνυσθαι, προαίρεσιν νωθρὰν καὶ εὐτελῆ καὶ μὴ ἀξίαν τίποτε ἀγαθὸν λαβεῖν παρὰ τῷ Θεῷ.

Πάντα γὰρ τὰ ἡμῶν ὡς ἐπὶ σπόρον καὶ ἐπικαρπίαν εἰσί. Προσφέρει τις τὰ τῆς προαιρέσεως καὶ λαμβάνει τὰ ἀπὸ τῆς χάριτος. Καὶ ὥσπερ γεωργὸς σπείρει μὲν ὀλίγα, ἐὰν

185. Ψαλμ. 118, 60.

«Ἡ ἄσκηση βίας στήν προσευχή ἀνήκει στήν προαίρεσή μας, ἐνῶ ἡ "ἀνάπαυση" κατά τήν προσευχή εἶναι δῶρο τῆς Χάριτος»

θ΄. Εἶπε ἀκόμη ὁ μακάριος ὅτι ρωτήθηκε κάποτε πῶς μπορεῖ νά κυριαρχήσει κανείς στόν θυμό του. «Ἀπάντησα λοιπόν ὅτι βασική προϋπόθεση, γιά νά κυριαρχεῖ κανείς στόν θυμό του, εἶναι, τήν ὥρα πού ταράζεται νά μή μιλάει. Γι' αὐτό ὁ ἀββᾶς Μωυσῆς, ὅταν τόν ἐξευτέλισαν λέγοντας: "Τί θέλει ὁ Αἰθίοπας αὐτός καί ἔρχεται ἀνάμεσά μας;" δέν ἔδειξε νά ταράχθηκε. Κατόπιν εἶπε: "Ἄν καί ταράχθηκα, δέν μίλησα". Καί τό σημαντικότερο εἶναι ὅτι ὄχι μόνο δέν ἔδειξε ταραχή ἀλλά καί ἤλεγξε τόν ἑαυτό του λέγοντας: "Σταχτόδερμε, μαῦρε, καλά σοῦ ἔκαναν· ἐνῶ δέν εἶσαι ἄνθρωπος, τί πηγαίνεις ἀνάμεσά τους;"

Ἀλλά ἐμεῖς ἐπειδή βρισκόμαστε σέ πολύ χαμηλά σκαλοπάτια καί λόγω τῆς μεγάλης μας ἀμέλειας δέν μποροῦμε νά κάνουμε οὔτε αὐτά πού κάνουν οἱ ἀρχάριοι, νομίζουμε τίς ἐντολές ὑπερβολικές καί ἀνεφάρμοστες. Γιατί τό νά ταράζεται κανείς καί νά μή μιλάει δέν εἶναι γνώρισμα τῶν ἀνθρώπων πού ἔφθασαν στήν τελειότητα, ἀλλά τῶν ἀρχαρίων. Μεγάλη πράγματι ἀρετή εἶναι νά μήν ταράζεται διόλου κανείς, σύμφωνα μέ τόν ἅγιο Προφήτη πού εἶπε "ἑτοιμάσθηκα καί δέν ταράχθηκα"[185]· ἀλλά ἐμεῖς οὔτε ἐπιδιώκουμε νά βάλουμε ἀρχή οὔτε δείχνουμε τέτοια ψυχική διάθεση, ὥστε νά ἑλκύσουμε τή χάρη τοῦ Θεοῦ γιά βοήθειά μας. Ἀλλά κι ἄν φανεῖ ὅτι δείχνουμε κάποια διάθεση, εἶναι τόσο δυσκίνητη κι ἀσήμαντη πού δέν ἀξίζει νά πάρει ὁποιοδήποτε ἀγαθό ἀπό τόν Θεό.

Ὅλος μας ὁ ἀγώνας μοιάζει σάν τή σπορά καί τή σοδιά. Προσφέρει κανείς ὅ,τι ἡ προαίρεσή του μπορεῖ νά δώσει καί λαμβάνει κατόπιν τά δῶρα τῆς χάριτος. Καί ὅπως ἀκριβῶς ὁ γεωργός σπέρνει λίγα, ἄν ὅμως μείνει ὁ Θεός

δὲ εὐδοκήσῃ ὁ Θεὸς εἰς τὸν κόπον αὐτοῦ, κερδαίνει πολλά, ὥσπερ ἐν τῷ Ἰσαὰκ γέγραπται, ὅτι· Ἔσπειρεν ἐν τῇ γῇ ἐκείνῃ καὶ ἐποίησεν ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ ἑκατοστεύουσαν κριθήν, οὕτως, ἐὰν εὐδοκήσῃ ὁ Θεὸς εἰς τὴν προαίρεσιν ἡμῶν, δυνάμεθα ἀπαθῶς καὶ ἀβιάστως καὶ μετὰ ἀναπαύσεως πάντα ποιεῖν καὶ ἀπὸ πάντων κερδαίνειν. Τὸ γὰρ μετὰ βίας προσεύξασθαι καὶ ὑπομένειν τίκτει τὸ καθαρῶς καὶ μετὰ ἀναπαύσεως προσεύξασθαι· καὶ τὸ μὲν μετὰ βίας τῆς προαιρέσεως, τὸ δὲ μετὰ ἀναπαύσεως τῆς χάριτος.

Καὶ ἐπὶ πασῶν τῶν τεχνῶν οὕτως ὁρῶμεν· προσελθὼν γάρ τις τέχνῃ θέλων μαθεῖν αὐτήν, κατὰ τὴν ἀρχὴν μὲν κοπιᾷ καὶ ἀσυστροφεῖ καὶ πολλάκις ἀφανίζει, ἀλλ᾽ ὅμως οὐκ ἐκκακεῖ· ἀλλὰ πάλιν ἐπιχειρεῖ καὶ πάλιν, ἐὰν ἀφανίσῃ, οὐ παραχωρεῖ δεικνύων τῷ ἐπιστάτῃ τὴν προαίρεσιν αὐτοῦ. Ἐὰν δὲ ἐκκακήσῃ καὶ ὑποχωρήσῃ, οὐδὲν μανθάνει· ἀφανίζων δὲ πολλάκις καὶ μὴ παραχωρῶν, ἀλλ᾽ ἐπιμένων, κοπιῶν καὶ ἐργαζόμενος λοιπὸν τῇ συνεργίᾳ τοῦ Θεοῦ γενόμενος ἐν ἕξει, πάντα ἀκόπως ποιεῖ καὶ μετὰ ἀνέσεως, ὥστε καὶ ἀποτρέφεσθαι ἐξ αὐτῆς.

Οὕτω καὶ εἰς τὸ πνευματικόν· ἐὰν ἐπιλάβηταί τις ποιῆσαι ἀρετήν, οὐκ ὀφείλει ἔχειν ὅτι εὐθέως κατορθοῖ αὐτήν, οὐδὲ γὰρ δύναται, ἀλλ᾽ ἐπιχειρήσει· κἂν ἀφανίσῃ, μὴ ἀναχωρήσῃ, ἐπεὶ οὐδὲν δύναται κατορθῶσαι, ἀλλὰ πάλιν ἐπιχειρήσει κατὰ τὸν θέλοντα μαθεῖν τέχνην. Καὶ ἐν τῷ ὑπομένειν πολλάκις καὶ μὴ ἐκκακεῖν, ἐπινεύει ὁ Θεὸς εἰς τὸν κόπον τῆς προαιρέσεως αὐτοῦ καὶ παρέχει αὐτῷ ἄνευ βίας

186. Γεν. 26, 12.

εὐχαριστημένος μέ τόν κόπο του, κερδίζει πολλά, ὅπως ἔχει γραφεῖ γιά τήν περίπτωση τοῦ Ἰσαάκ ὅτι ἔσπειρε στή γῆ ἐκείνη καί πῆρε ἐκεῖνο τόν χρόνο ἑκατονταπλάσιο κριθάρι[186], ἔτσι, ἐάν ὁ Θεός ἀποδεχθεῖ τήν προαίρεσή μας, μποροῦμε χωρίς νά ὑποφέρουμε καί χωρίς νά ἀσκοῦμε ἰδιαίτερη βία στόν ἑαυτό μας, νά τά κάνουμε ὅλα μέ ἐσωτερική ἀνάπαυση καί νά κερδίζουμε ἀπ᾽ ὅλα. Τό νά βιάζουμε τόν ἑαυτό μας γιά προσευχή καί νά ἐπιμένουμε σ᾽ αὐτήν καρτερικά γεννᾶ τήν καθαρά προσευχή, πού γίνεται καί μέ ἀνάπαυση ψυχῆς. Καί ἡ βία στήν προσευχή ἀνήκει στήν προαίρεσή μας, ἐνῶ ἡ ἀνάπαυση κατά τήν προσευχή εἶναι δῶρο τῆς Χάριτος.

Καί σ᾽ ὅλες τίς τέχνες τά ἴδια βλέπουμε. Ὅταν δηλαδή πάει κάποιος νά μάθει μιά τέχνη, στήν ἀρχή κοπιάζει καί δέν τά καταφέρνει καί πολλές φορές κάνει καί ζημιά, ὅμως δέν χάνει τό θάρρος του, ἀλλά ἐπιχειρεῖ πάλι· κι ἄν πάλι ἀποτύχει, δέν παραιτεῖται δείχνοντας ἔτσι στόν ἐπιστάτη τῆς δουλειᾶς τήν προαίρεσή του. Ἐνῶ ἄν ἀποκάμει καί ὑποχωρήσει, δέν μαθαίνει τίποτε. Ἀποτυχαίνοντας λοιπόν πολλές φορές καί μή ὑποχωρώντας, ἐπιμένοντας ὅμως νά κοπιάζει καί νά δουλεύει, στή συνέχεια συνηθίζει μέ τή βοήθεια τοῦ Θεοῦ καί ὅλα τά κάνει ἄκοπα καί μέ ἄνεση, φθάνει μάλιστα στό σημεῖο καί νά συντηρεῖται ἀπό τήν τέχνη αὐτή.

Τό ἴδιο συμβαίνει καί στόν πνευματικό τομέα. Ἐάν ἐπιχειρήσει κάποιος νά ἀσκηθεῖ στήν ἀρετή, δέν πρέπει νά νομίζει ὅτι ἀμέσως θά τήν κατακτήσει· δέν τό μπορεῖ αὐτό· ἀλλ᾽ ὅμως πρέπει νά ἐπιχειρήσει· κι ἄν ἀποτύχει, νά μήν κάνει πίσω, μέ τή δικαιολογία ὅτι τίποτε δέν μπορεῖ νά κατορθώσει, ἀλλά νά ξαναπροσπαθήσει σάν αὐτόν πού θέλει νά μάθει τέχνη. Καί καθώς θά κάνει ὑπομονή πάλι καί πάλι καί δέν θά ἀποκάμνει, θά σκύψει ὁ Θεός πάνω του ἐπιδοκιμάζοντας τόν κόπο τῆς προαίρεσής του καί θά τοῦ

πάντα ποιεῖν καὶ τοῦτό ἐστιν ὃ εἶπεν ὁ ἀββᾶς Μωυσῆς· Ἡ ἰσχὺς τῶν θελόντων κτήσασθαι τὰς ἀρετὰς αὕτη ἐστίν, ἵνα, ἐὰν πέσωσι, μὴ μικροψυχήσωσιν ἀλλὰ πάλιν φροντίσωσι.

ι΄. Καὶ ἔλεγεν ὅτι· Πᾶσα ἀρετὴ καὶ κόπου δεῖται καὶ χρόνου καὶ τοῦ θέλειν ἡμᾶς καὶ πρὸ πάντων χρεία τῆς συνεργίας τοῦ Θεοῦ· ἐὰν γὰρ μὴ συνεργήσῃ ὁ Θεὸς τῇ προαιρέσει ἡμῶν, μεματαίωται ἡμῖν, ὥσπερ καὶ τῷ γεωργῷ τῷ ἐργασαμένῳ καὶ σπείροντι τὴν γῆν αὐτοῦ, ἐὰν μὴ βρέξῃ ὁ Θεὸς εἰς τὸν σπόρον αὐτοῦ. Ἀλλ' ἡ συνεργία τοῦ Θεοῦ χρῄζει τῆς δεήσεως ἡμῶν καὶ παρακλήσεως· δι' αὐτῶν γὰρ ἐπισπώμεθα τὴν βοήθειαν τοῦ Θεοῦ πρὸς ἀντίληψιν ἡμῶν· ἐὰν δὲ ἀμελήσωμεν τῆς προσευχῆς, πῶς ὁ Θεὸς ἐπινεύσει τῇ ἐργασίᾳ ἡμῶν; Ἢ πάλιν ἐὰν νωθρῶς καὶ ἐκλελυμένως ἢ καὶ ἐὰν ταχέως ἐκκακήσωμεν, καθὼς ἀεὶ λέγω, οὐδὲν καταξιούμεθα λαβεῖν· τῇ γὰρ προαιρέσει ὁ Θεὸς προσέχων, πρὸς αὐτὴν καὶ τὰ δωρήματα χαρίζεται.

Μὴ γὰρ οὐκ ἦν τὸ πρῶτον ὁ ἀββᾶς Μωυσῆς ἀρχιληστής, μὴ οὐκ ἐποίησε μυρία φαῦλα, ὥστε καὶ ἐκριφῆναι αὐτὸν ἀπὸ τοῦ κυρίου αὐτοῦ διὰ τὴν δυστροπίαν αὐτοῦ; Ἀλλ' ὅμως ἐπειδὴ γενναίως προσῆλθε τῷ πράγματι καὶ μετὰ τοιαύτης θερμῆς προαιρέσεως, οἴδαμεν πάντες εἰς ποῖα μέτρα ἔφθασεν, ὥστε συναριθμεῖσθαι αὐτὸν τοῖς ἐκλεκτοῖς δούλοις τοῦ Θεοῦ κατὰ τὸν εἰπόντα συγγραφέα περὶ αὐτοῦ.

---

187. Τό ἀπόφθεγμα ἀναφέρεται καί ἀπό τόν ἀββᾶ Δωρόθεο, Διδ. 13η, κεφ. 146 (ὅ.π.).

δώσει τή δυνατότητα νά τά κάνει ὅλα ἀβίαστα. Καί αὐτό ἐπαληθεύει τόν λόγο τοῦ ἀββᾶ Μωυσῆ* πού εἶπε: Ἡ δύναμη αὐτῶν πού θέλουν νά ἀποκτήσουν τίς ἀρετές αὐτή εἶναι, νά μή μικροψυχήσουν, ἄν πέσουν, ἀλλά πάλι νά προσπαθήσουν[187]».

«Μακάρια ἡ ψυχή πού μέ τή δίψα της γιά τόν Θεό, ἑτοίμασε ἀληθινά τόν ἑαυτό της νά δεχθεῖ τίς δωρεές του»

ι΄. Ἔλεγε ἐπίσης: «Κάθε ἀρετή χρειάζεται καί κόπο καί χρόνο καί τή θέλησή μας· ἀλλά πάνω ἀπ' ὅλα εἶναι ἀνάγκη νά συνεργήσει ὁ Θεός· γιατί, ἐάν δέν συνεργήσει ὁ Θεός στήν προαίρεσή μας, πάει χαμένος ὅλος ὁ κόπος μας, ὅπως ἀκριβῶς παθαίνει καί ὁ γεωργός, πού ὄργωσε καί ἔσπειρε τό χωράφι του, ἐάν ὁ Θεός δέν βρέξει πάνω στόν σπόρο πού ἔριξε. Ἀλλά ἡ συνεργία τοῦ Θεοῦ χρειάζεται τίς δεήσεις μας καί τίς παρακλήσεις μας, γιατί μ' αὐτές ἑλκύουμε τή βοήθεια τοῦ Θεοῦ πρός τό μέρος μας. Ἄν ὅμως ἀμελήσουμε τήν προσευχή, πῶς ὁ Θεός θά ἐπιδοκιμάσει τήν ἐργασία μας; Ἤ ἐξάλλου, ἐάν προσευχόμαστε νωθρά καί χαλαρωμένα ἤ ἀκόμη ἐάν γρήγορα λιποψυχοῦμε, ὅπως συνηθίζω νά λέω, τίποτε δέν ἀξιωνόμαστε νά πάρουμε. Γιατί ὁ Θεός τήν προαίρεσή μας προσέχει καί ἀνάλογα μ' αὐτήν χαρίζει καί τίς δωρεές του.

Μήπως ἀλήθεια ὁ ἀββᾶς Μωυσῆς ἀρχικά δέν ἦταν ἀρχηγός τῶν ληστῶν; Μήπως δέν ἔκανε μύριες ὅσες ἐλεεινές πράξεις, ὥστε νά διωχθεῖ καί ἀπό τόν κύριό του ἐξαιτίας τῆς δυστροπίας του; Ἀλλ' ὅμως, ἐπειδή ξεκίνησε μέ γενναιότητα τή μεταστροφή του καί μέ τόσο θερμή προαίρεση, γνωρίζουμε ὅλοι σέ τί μέτρα ἔφθασε, ὥστε νά συναριθμεῖται μέ τούς ἐκλεκτούς δούλους τοῦ Θεοῦ, σύμφωνα μέ ὅσα λέει γι' αὐτόν ὁ βιογράφος του.

Ἀλλ' ἡμεῖς καὶ ἣν δοκοῦμεν ἔχειν θέρμην ἐν τῇ ἀποταγῇ ἡμῶν, τῷ χρόνῳ διὰ τῆς ἀμελείας ἀπωλέσαμεν προσπάσχοντες πράγμασι ψυχροῖς καὶ εὐτελέσι καὶ οὐδενὸς λόγου ἀξίοις, ἀντικαταλλάσσοντες αὐτοῖς τὴν ἀγάπην τοῦ Θεοῦ καὶ τοῦ πλησίον, ἰδιοποιούμενοι τὰ πράγματα, ὡς ἐξ ἑαυτῶν ἔχοντες αὐτὰ καὶ μὴ λαβόντες αὐτὰ παρὰ τοῦ Θεοῦ. Τί γὰρ ἔχεις, φησίν, ὃ οὐκ ἔλαβες, εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών;

Καὶ ἔλεγεν· Μὴ γὰρ πτωχός ἐστιν ὁ Ἰησοῦς καὶ ὧδε ἀδυνατεῖ χαρίσασθαι ἡμῖν τὰ ἀγαθά, ὥσπερ ἐπλούτησε τοὺς ἁγίους πατριάρχας, εἰ ὅλως ἔβλεπεν ἡμᾶς κερδαίνοντας ἐξ ὧν παρέσχεν ἡμῖν; Ἀλλ' ἐπειδὴ βλέπει ἡμᾶς βλαπτομένους εἰς τὰ μικρὰ καὶ ὀλίγα διὰ τὴν ἀσυστροφίαν ἡμῶν, διὰ τοῦτο οὐ πιστεύει ἡμῖν πολλά, ἵνα μὴ τελείως ἀπολώμεθα, φιλάνθρωπος ὤν· εἰ γὰρ ἔβλεπεν ἡμᾶς κερδαίνοντας εἰς τὰ ὀλίγα, οὐκ ἦν ἀδύνατος παρασχεῖν ἡμῖν τὰ πολλά, καθὼς προεῖπον. Ἐπεὶ τίς ἔπεισεν ἐκείνους ῥίπτειν τὰ χρήματα εἰς τοὺς πόδας τῶν ἁγίων Ἀποστόλων; Ἀλλὰ καθὼς ἀεὶ λέγω ὅτι ὁ Θεὸς ἔδωκεν ἡμῖν ἀπὸ πάντων κερδαίνειν ἀγαθὸς ὤν, καὶ ἡμεῖς διὰ τοῦ προσπάσχειν καὶ κακῶς χρῆσθαι τὰ δωρήματα τοῦ Θεοῦ ἀφανίζομεν καὶ ἀπαίρομεν αὐτὰ ἐξ ἡμῶν· καὶ ἐξ αὐτῶν τῶν δωρηθέντων ἡμῖν διὰ τὴν κακὴν ἡμῶν γνώμην βλαπτόμεθα.

Καὶ ἔλεγε πολλάκις ὅτι· Οὐδεὶς δύναται βλάψαι πιστὴν ψυχήν· ἀλλὰ πᾶν ὅ,τι ἂν πάθῃ, εἰς κέρδος αὐτῆς λογίζεται αὐτό. Καὶ ὡς ὁ ἐργάτης ὁ κάμνων ἵνα μὴ λάβῃ τὸν μισθὸν μετὰ τὸν κόπον, οὕτως κολάζεται ὁ ἄπιστος ἐκ τῆς ἀπιστίας

---

188. Α' Κορ. 4, 7. 189. Πρ. 4, 34-35.

Ἐνῶ ἐμεῖς καί ὅποια θέρμη φαίνεται νά ἔχουμε τόν πρῶτο καιρό πού ἀπαρνούμαστε τόν κόσμο, σύν τῷ χρόνῳ ἐξαιτίας τῆς ἀμέλειάς μας τή χάνουμε, καθώς ἑλκύουν τήν καρδιά μας ἄλλα πράγματα ψυχρά, φτηνά καί ἀνάξια λόγου. Καί ἀνταλλάσσουμε μ' αὐτά τήν ἀγάπη τοῦ Θεοῦ καί τοῦ πλησίον· μάλιστα τά σφετεριζόμαστε ἔτσι σάν νά τά εἴχαμε ἐμεῖς καί σάν νά μήν τά πήραμε ἀπό τόν Θεό: "Γιατί τί ἔχεις —λέει— πού δέν τό ἔλαβες καί ἐφόσον τό ἔλαβες, γιατί καυχᾶσαι σάν νά μήν τό ἔλαβες;"[188]»

Καί συνέχισε ὁ Γέροντας: «Μήν εἶναι τάχα πτωχός ὁ Ἰησοῦς καί ἀδυνατεῖ νά χαρίσει καί σέ μᾶς κατά τόν ἴδιο τρόπο τά ἀγαθά του, ὅπως ἀκριβῶς πλούτισε τούς ἁγίους Πατριάρχες, ἐάν ἔβλεπε νά κερδίζουμε ὁπωσδήποτε ὠφέλεια ἀπ' ὅσα μᾶς ἔδωσε; Ἀλλ' ἐπειδή βλέπει νά ζημιώνουμε καί στά μικρά καί στά λίγα ἐξαιτίας τῆς ἀμέλειάς μας, γι' αὐτόν τόν λόγο δέν μᾶς ἐμπιστεύεται πολλά ὡς φιλάνθρωπος πού εἶναι, γιά νά μή χαθοῦμε ἐντελῶς. Γιατί, ἄν μᾶς ἔβλεπε νά κερδίζουμε στά λίγα, ὅπως εἶπα πρό ὀλίγου, δέν ἦταν ἀνήμπορος ὁ Θεός νά μᾶς δώσει τά πολλά. Ποιός, ἀλήθεια, ἔπεισε ἐκείνους τούς ἀνθρώπους νά ρίχνουν τά χρήματα στά πόδια τῶν ἁγίων Ἀποστόλων[189]; Ἀλλά, καθώς τό λέω συχνά, ὁ Θεός πού εἶναι ἀγαθός, μᾶς ἔδωσε τή δυνατότητα ἀπό ὅλα νά ὠφελούμαστε, ἀλλά ἐμεῖς μέ τήν προσκόλλησή μας στά ὑλικά καί τήν κακή χρήση τους καταστρέφουμε τά δῶρα τοῦ Θεοῦ καί τά ἀπομακρύνουμε ἀπό μᾶς. Ἔτσι ἀπό αὐτά πού μᾶς χάρισε ὁ Θεός, ἐξαιτίας τῆς κακογνωμιᾶς μας ζημιώνουμε».

Κι ἔλεγε συχνά: «Κανείς δέν μπορεῖ νά βλάψει τήν ψυχή πού πιστεύει· ἀλλά, ὅ,τι κι ἄν πάθει, λογαριάζεται ὡς κέρδος της. Ὅπως συμβαίνει καί μέ τόν ἐργάτη πού κουράζεται χωρίς νά περιμένει νά ἀμειφθεῖ μετά ἀπό τόν κόπο, κατά τόν ἴδιο τρόπο ὁ μέν ἄπιστος τιμωρεῖται ἀπό τήν

αὐτοῦ, ὁ δὲ πιστὸς καὶ ἐν αὐτῷ τῷ κάμνειν πιστὸς ὢν καὶ προσδοκῶν λαβεῖν μισθὸν διὰ τὴν ὑπομονὴν αὐτοῦ πολλὴν παράκλησιν ἔχει· ὁ δὲ ἄπιστος μὴ ἔχων πίστιν τοῦ λήψεσθαι παρὰ τοῦ Κυρίου, ποίαν παράκλησιν ἔχει;

Κάθηται οὖν σηπόμενος ἐν τοῖς λογισμοῖς αὐτοῦ κἄν τι μικρὸν πάθῃ διαλογιζόμενος καί· Εἶπέ μοι καὶ ἔχω εἰπεῖν αὐτῷ, μνησικακῶν καὶ διανοούμενος ἀδύνατα πράγματα, ἃ οὐ δύναται πολλάκις εἰς ἔργον ἀγαγεῖν. Οὐδὲ γὰρ ἃ βουλεύονται οἱ ἄνθρωποι ταῦτα καὶ δύνανται, ἀλλ' ἐκεῖνα μόνον, ἃ συγχωρεῖται αὐτοῖς παρὰ τοῦ Θεοῦ καὶ ταῦτα οἷς οἶδε λόγοις αὐτὸς μόνος· πολλάκις γάρ τις ἐπιχειρεῖ κακοποιῆσαί τινα καὶ μὴ συγχωροῦντος τοῦ Θεοῦ ματαιοῦται ὁ σκοπὸς αὐτοῦ καὶ μόνον δοκιμάζονται αἱ προαιρέσεις τῶν ἀνθρώπων. Πόσοι ἐπεχείρησαν κακῶσαι τοὺς ἁγίους πατριάρχας καὶ ἐπειδὴ οὐ συνεχώρησεν ὁ Θεός, οὐδὲ ἠδυνήθησαν βλάψαι αὐτούς, καθὼς γέγραπται· Οὐκ ἀφῆκεν ἄνθρωπον ἀδικῆσαι αὐτοὺς καὶ ἤλεγξεν ὑπὲρ αὐτῶν βασιλεῖς· μὴ ἅπτεσθε τῶν χριστῶν μου καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε.

Ὅσον δὲ θελήσει τὴν ὑπερβολὴν τῆς δυνάμεως αὐτοῦ ἐνδείξασθαι, καὶ αὐτῶν τὰς καρδίας τῶν ἀνελεημόνων κινεῖ εἰς ἔλεον, καθὼς καὶ ἐν τῷ Δανιὴλ γέγραπται· Καὶ ἔδωκε Κύριος τὸν Δανιὴλ εἰς ἔλεον καὶ οἰκτιρμὸν ἐναντίον τοῦ ἀρχιευνούχου· καὶ μακαρία ἡ ψυχὴ ἡ ἑαυτὴν ἑτοιμάσασα ἐν ἀληθείᾳ διὰ τοῦ διψᾶν τὸν Θεὸν πρὸς ὑποδοχὴν τῶν δωρημάτων αὐτοῦ, ὅτι ἐν οὐδενὶ ἐγκαταλιμπάνει αὐτήν, ἀλλ' ἐν παντὶ ὑπερασπίζει αὐτῆς καὶ εἰς ἃ ἀγνοοῦσα μὴ αἰτεῖται

190. Ψαλμ. 104, 14-15. 191. Δαν. 1, 9.

ἀπιστία του, ἐνῶ ὁ πιστός καί μέσα στόν πολύ κόπο ἐπειδή παραμένει πιστός καί ἀναμένει νά πάρει μισθό, ἡ ἀναμονή του αὐτή τοῦ δίνει μεγάλη παρηγοριά. Ἐνῶ ὁ ἄπιστος χωρίς τήν ἐλπίδα τῆς ἀμοιβῆς ἀπό τόν Κύριο, ποιά παρηγοριά μπορεῖ νά ἔχει;

Κάθεται λοιπόν καί σαπίζει μές στούς λογισμούς του· καί κάτι ἀσήμαντο ἄν τοῦ συμβεῖ, ἀρχίζει νά συλλογίζεται μέ μνησικακία "καί μοῦ εἶπε καί θά τοῦ πῶ" καί βάζει στόν νοῦ του πράγματα ἀδύνατα, πού δέν μπορεῖ τίς περισσότερες φορές νά τά πραγματοποιήσει. Ἄλλωστε δέν εἶναι στό χέρι τῶν ἀνθρώπων ὅσα σκέφτονται καί νά τά πραγματοποιοῦν· ἀλλά ἐκεῖνα μόνο πού παραχωροῦνται σ' αὐτούς ἀπό τόν Θεό· καί αὐτά ὁ Ἴδιος μόνο γνωρίζει γιά ποιούς λόγους.

Πολλές φορές βέβαια ἐπιχειρεῖ κάποιος νά κάνει κακό σέ κάποιον ἄλλο καί, ἐπειδή ὁ Θεός δέν τό ἐπιτρέπει, ματαιώνεται ὁ σκοπός του· καί τό μόνο ἀποτέλεσμα εἶναι νά δοκιμάζονται οἱ προαιρέσεις τῶν ἀνθρώπων. Πόσοι ἐπιχείρησαν νά κακοποιήσουν τούς ἁγίους Πατριάρχες καί ἐπειδή δέν τό ἐπέτρεψε ὁ Θεός, δέν μπόρεσαν νά τούς βλάψουν, ὅπως εἶναι γραμμένο· "Δέν ἄφησε ἄνθρωπο νά τούς κάνει κακό καί ἤλεγξε βασιλεῖς γιά χάρη τους· μήν πειράζετε τούς ἁγίους μου καί μήν κάνετε κακό στούς προφῆτες μου"[190].

Καί σ' ὅσο μέτρο θελήσει νά δείξει τή μεγάλη του δύναμη, καί αὐτῶν ἀκόμη τῶν ἄσπλαχνων ἀνθρώπων τίς καρδιές παρακινεῖ σέ εὐσπλαχνία, ὅπως λέει ἡ ἁγία Γραφή καί γιά τήν περίπτωση τοῦ Δανιήλ: "Ὁ Θεός ἐνέπνευσε στόν ἀρχιευνοῦχο συναισθήματα συμπαθείας πρός τόν Δανιήλ"[191]. Καί εἶναι μακάρια ἡ ψυχή πού μέ τή δίψα της γιά τόν Θεό, ἑτοίμασε ἀληθινά τόν ἑαυτό της νά δεχθεῖ τίς δωρεές του. Γιατί σέ καμιά περίπτωση δέν τήν ἐγκαταλείπει, ἀλλά πάντοτε τήν ὑπερασπίζεται καί σ' αὐτά ἀκόμη πού

αὐτόν· καὶ καλῶς ἔλεγεν ὁ σοφός· ὑπερασπίζεται σοφὸς ἀνὴρ ὑπὸ τοῦ Θεοῦ· καὶ γὰρ τὸν μακάριον Δαβὶδ πόσα ἐπεχείρησε τοῦ θανατῶσαι ὁ Σαούλ; Τί οὐκ ἐποίησε, τί οὐκ ἐπραγματεύσατο; Καὶ ἐπειδὴ ὑπερασπίζετο ὑπὸ τοῦ Κυρίου, πᾶσα ἡ βουλὴ τοῦ Σαοὺλ ἐματαιοῦτο· καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ παρεδίδετο εἰς τὰς χεῖρας τοῦ ἁγίου ἐκείνου φειδομένου αὐτοῦ· οὐ γὰρ εἶχε κακίαν παροξύνουσαν οὐδὲ ἐρεθίζουσαν.

Ἠρωτήθη πάλιν πῶς ὀφείλει τις ἐξουδενούμενος ἢ κακολογούμενος παρά τινος μὴ θυμοῦσθαι καὶ εἶπεν· Ἐάν τις ἔχῃ ἑαυτὸν εὐτελέστερον, οὐ ταράσσεται, καθὼς εἶπεν ὁ ἀββᾶς Ποιμήν· ἐὰν ἑαυτὸν εὐτελίσῃς, ἕξεις ἀνάπαυσιν.

ια΄. Καὶ ἔλεγεν ὅτι· Ποτέ τις τῶν ἀδελφῶν τῶν μεινάντων μετ᾽ ἐμοῦ καὶ λαβόντων παρ᾽ ἐμοῦ τὸ σχῆμα, πολλὰ συγκροτηθεὶς παρ᾽ ἐμοῦ —καὶ γὰρ τῶν τρυφερῶν ἦν καὶ συγκατέβαινον αὐτῷ διὰ τὴν ἀσθένειαν αὐτοῦ— ἐν μιᾷ λέγει μοι· Ἀββᾶ μου, πολλὰ ἀγαπῶ σε· καὶ λέγω αὐτῷ· Ἐγὼ ἀκμὴν οὐχ εὗρόν τινα ἀγαπῶντά με ὡς ἀγαπῶ αὐτόν· ἰδοὺ νῦν λέγεις ὅτι ἀγαπῶ σε καὶ πείθομαι· ἐὰν δὲ συμβῇ τίποτε μὴ ἀρέσκον σοι, οὐ μενεῖς ὁ αὐτός· ἐγὼ δὲ πᾶν ὅ,τι οὖν πάθω παρὰ σοῦ, οὐδὲν δύναται ἀποστῆσαί με τῆς ἀγάπης σου.

Μικρὸς χρόνος παρῆλθε καὶ οὐκ οἶδα τί συνέβη αὐτῷ καὶ ἤρξατο λέγειν κατ᾽ ἐμοῦ πολλὰ ἕως καὶ αἰσχρῶν ῥημάτων καὶ πάντα ἤκουον καὶ ἔλεγον ἐν ἐμαυτῷ· Οὗτος καυτὴρ

192. Σοφ. Σολ. 5, 15-16.

ἀπό ἄγνοια ἡ ψυχή δέν τοῦ τά ζητάει. Πολύ σωστά ἔλεγε ὁ σοφός Σολομών ὅτι ὁ συνετός ἄνθρωπος ἔχει ὑπερασπιστή του τόν Θεό[192]. Εἶναι γνωστό ἐπίσης πόσες φορές ἐπιχείρησε ὁ Σαούλ νά θανατώσει τόν μακάριο Δαβίδ. Τί δέν ἔκανε; Πόσες προσπάθειες δέν κατέβαλε; Ἀλλά ἐπειδή τόν ὑπερασπιζόταν ὁ Κύριος, ὅλα τά σχέδια τοῦ Σαούλ ματαιώνονταν· καί ὄχι μόνο αὐτό, ἀλλά ἔπεφτε καί στά χέρια τοῦ ἁγίου ἐκείνου πού τόν λυπόταν. Κι αὐτό, γιατί δέν εἶχε κακία πού παροξύνει καί ἐρεθίζει».

Ρωτήθηκε ἄλλη φορά ὁ Γέροντας πῶς μπορεῖ νά καταφέρει κανείς, ὅταν ἐξευτελίζεται ἤ ὑβρίζεται ἀπό κάποιον, νά μή θυμώνει, καί εἶπε: «Ἐάν θεωρεῖ κανείς τόν ἑαυτό του τιποτένιο, δέν ταράζεται· ὅπως εἶπε ὁ ἀββᾶς Ποιμήν: Ἐάν ἐξευτελίσεις τόν ἑαυτό σου, θά βρεῖς ἀνάπαυση».

«Ἐμεῖς οἱ ἄνθρωποι δέν γνωρίζουμε νά ἀγαπᾶμε καί νά ἐκτιμοῦμε ὁ ἕνας τόν ἄλλον. Χάσαμε τή φρόνησή μας»

ια΄. Καί συνέχισε νά λέει: «Κάποτε ἕνας ἀπό τούς ἀδελφούς πού ἔμεναν μαζί μου καί εἶχαν πάρει ἀπ᾽ τά χέρια μου τό μοναχικό σχῆμα, ἀφοῦ καταρτίσθηκε ἀρκετά κοντά μου —καί μάλιστα ἦταν ἀπό τούς "καλομαθημένους" καί συγκατέβαινα στήν ἀδυναμία του— κάποια μέρα μοῦ λέει: "Ἀββᾶ μου, πολύ σέ ἀγαπῶ". Τοῦ λέω κι ἐγώ: "Δέν βρῆκα ἀκόμη κάποιον πού νά μέ ἀγαπάει, ὅπως τόν ἀγαπῶ ἐγώ. Τώρα λές: σέ ἀγαπῶ, καί σέ πιστεύω· ἐάν ὅμως συμβεῖ κάτι πού δέν σοῦ ἀρέσει, δέν θά παραμείνεις ὁ ἴδιος, ἐνῶ ἐγώ ὁτιδήποτε κι ἄν πάθω ἀπό μέρους σου, τίποτε δέν εἶναι ἱκανό νά μέ ἀπομακρύνει ἀπό τήν ἀγάπη σου".

Λίγος χρόνος πέρασε καί δέν ξέρω τί τοῦ συνέβη καί ἄρχισε νά λέει ἐναντίον μου πολλά, ἀκόμη καί αἰσχρά λόγια· ὅλα λοιπόν τά μάθαινα καί ἔλεγα μόνος μου: "Αὐτός

ἐστι τοῦ Ἰησοῦ καὶ ἐπέμφθη ἰατρεῦσαι τὴν κενόδοξόν μου ψυχήν· ἀπὸ τῶν τοιούτων δύναταί τις κερδῆσαι, ἐὰν νήφῃ, ἅπερ ἀπὸ τῶν μακαριζόντων ζημιοῦται· οὗτος ἀληθῶς εὐεργέτης ἐστί· καὶ ἐμεμνήμην αὐτοῦ ὡς ἰατροῦ καὶ εὐεργέτου καὶ ἔλεγον τοῖς ἀναγγέλλουσί μοι· Τὰ φανερά μου κακὰ μόνον οἶδε καὶ οὐδὲ ὅλα, ἀλλὰ μέρος τι, τὰ δὲ κεκρυμμένα ἀναρίθμητά εἰσιν.

Μετὰ καιρὸν οὖν ἀπαντᾷ μοι εἰς Καισάρειαν καὶ ἔρχεται κατὰ τὸ ἔθος καὶ περιπτύσσεται καὶ καταφιλεῖ με κἀγὼ αὐτὸν ὡς μηδενὸς γενομένου· καὶ ἐν τῷ γὰρ λέγειν ταῦτα αὐτόν, ὅτε ἀπήντα μοι, περιεπτύσσετό με πολλά· ἐμοῦ δὲ δεικνύοντος αὐτῷ μηδεμίαν ὑποψίαν μηδὲ ὅλως λείψανον λύπης καίπερ πάντα ἀκούων, ὅμως προσπίπτει μοι καὶ κατέχων τοὺς πόδας μου λέγει μοι· Συγχώρησον, ἀββᾶ μου, διὰ τὸν Κύριον, ὅτι πολλὰ καὶ δεινὰ ἐλάλησα κατὰ σοῦ. Ἐγὼ δὲ καταφιλήσας αὐτὸν λέγω αὐτῷ μετὰ χαριεντισμοῦ· Μέμνηται ἡ θεοφίλειά σου ὅτι εἶπές μοι· Πολλὰ ἀγαπῶ σε, καὶ εἶπόν σοι· Οὔπω εὗρόν τινα ἀγαπῶντά με, ὡς ἀγαπῶ αὐτόν, καί· Ἐὰν συμβῇ τι παρὰ τὸ ἀρέσκον σοι, οὐ μενεῖς ὁ αὐτός, ἐγὼ δὲ εἴ τι πάθω παρὰ σοῦ, οὐδὲν δύναταί με ἀποστῆσαι τῆς ἀγάπης σου;

Πληροφορήθητι ἡ καρδία σου, οὐδὲν ἔλαθέ με ὧν ἐλάλησας, ἀλλὰ καὶ ποῦ καὶ τίσι πάντα ἤκουσα καὶ οὐδέποτε εἶπον ὅτι οὐκ ἔστιν οὕτως οὐδὲ ἔπεισέ μέ τις εἰπεῖν κατὰ σοῦ τίποτε κακόν· ἀλλὰ καὶ ἔλεγον ὅτι, ἅπερ λέγει, ἀληθῆ λέγει καὶ ἀπὸ ἀγάπης λέγει ἰδιοποιούμενός με, καὶ οὐ διέλιπον μεμνημένος σου ἐν τῇ προσευχῇ. Καὶ ἵνα δείξω σοι τεκ-

193. Πιθανότατα εἶναι ἡ Καισάρεια ἡ Φιλίππου στήν περιοχή Τύρου, πατρίδα τοῦ ἀββᾶ Ζωσιμᾶ.

εἶναι καυτήρας τοῦ Ἰησοῦ καί μοῦ τόν ἔστειλε, γιά νά γιατρέψει τήν κενόδοξη ψυχή μου. Ἀπό τέτοιους ἀνθρώπους μπορεῖ κανείς, ἐάν εἶναι ἄγρυπνος, νά κερδίσει, ὅσα χάνει ἀπ' αὐτούς πού τόν καλοτυχίζουν. Αὐτός εἶναι ἀληθινός εὐεργέτης". Καί τόν μνημόνευα σάν γιατρό καί εὐεργέτη· καί σ' αὐτούς πού μοῦ ἀνήγγελλαν τά ὅσα διέδιδε ἐναντίον μου, τούς ἔλεγα: "Αὐτός γνωρίζει μόνο τά φανερά μου κακά καί ὄχι ὅλα, παρά ἕνα μέρος· ἐνῶ αὐτά πού εἶναι κρυμμένα δέν μετριῶνται".

Μετά λοιπόν ἀπό κάποιο χρονικό διάστημα μέ συναντᾶ στήν Καισάρεια[193]· καί, ὅπως τό συνήθιζε πάντοτε, ἔρχεται, μ' ἀγκαλιάζει καί μέ κατασπάζεται κι ἐγώ αὐτόν, σάν νά μή συνέβη τίποτε. Καί ἐνῶ συνέχιζε νά μοῦ σέρνει τά ἴδια, ὅσες φορές μέ συναντοῦσε μέ ἐναγκαλιζόταν θερμά. Κι ἐνῶ ἐγώ δέν τοῦ ἔδινα καμιά ἀφορμή ὅτι τόν ὑποπτευόμουν οὔτε ἴχνος λύπης δέν ἔδειχνα, ἄν καί τά ἄκουα ὅλα, ὅμως κάποια φορά πέφτει μπροστά μου καί κρατώντας τά πόδια μου λέει: "Συγχώρεσέ με, ἀββᾶ μου, γιά χάρη τοῦ Κυρίου, γιατί πολλά καί φοβερά εἶπα ἐναντίον σου". Ἐγώ ἀφοῦ τόν κατεφίλησα, τοῦ εἶπα χαριτολογώντας "Θυμᾶται ἡ θεοφιλία σου, πού μοῦ εἶπες: πολύ σέ ἀγαπῶ, καί σοῦ ἀποκρίθηκα ὅτι δέν βρῆκα ἀκόμη κάποιον πού νά μέ ἀγαπᾶ, ὅπως ἐγώ τόν ἀγαπῶ, καί ὅτι, ἐάν συμβεῖ κάτι πού δέν θά σοῦ ἀρέσει, δέν θά παραμείνεις ὁ ἴδιος, ἐνῶ ἐγώ ὅ,τι κι ἄν πάθω ἀπό σένα, τίποτε δέν μπορεῖ νά μέ ἀπομακρύνει ἀπό τήν ἀγάπη σου;

Πληροφορήσου το λοιπόν ὅτι τίποτε ἀπ' ὅσα εἶπες ἐναντίον μου δέν μοῦ διέφυγε, ἀλλά ἀκόμη καί ποῦ τά εἶπες καί σέ ποιούς, ὅλα τά ἄκουσα καί καμιά φορά δέν εἶπα πώς δέν εἶναι ἔτσι οὔτε μέ ἔπεισε κανένας νά πῶ ἐναντίον σου κακό λόγο. Ἀντίθετα, ἔλεγα, ὅτι ὅσα λέει εἶναι ἀληθινά καί ἀπό ἀγάπη τά λέει, γιατί μέ νιώθει δικό του ἄνθρωπο· καί δέν παρέλειψα νά σέ μνημονεύω στήν προσευχή μου.

μήριον ἀγάπης, ποτὲ ἐπόνεσα τὸν ὀφθαλμόν μου σφοδρῶς καὶ μνησθείς σου ἐποίησα τὸ σημεῖον τοῦ τιμίου σταυροῦ καὶ εἶπον· Κύριε Ἰησοῦ Χριστέ, δι᾽ εὐχῶν αὐτοῦ ἴασαί με καὶ εὐθέως ἰάθην. Καὶ ταῦτα μὲν πρὸς τὸν ἀδελφόν.

Πολλάκις δὲ ἔλεγεν ὁ μακάριος· Οὐκ οἴδαμεν οἱ ἄνθρωποι ἀγαπᾶσθαι οὐδὲ τιμᾶσθαι ἀλλὰ ἀπωλέσαμεν τὴν φρόνησιν ἡμῶν· μικρὸν βαστάσει τις τὸν ἀδελφὸν αὐτοῦ, ὅταν θυμοῦται ἢ θλίβηται· καὶ μετ᾽ ὀλίγον ἔρχεται ἐκεῖνος εἰς ἑαυτὸν καὶ γνοὺς ὅπως ἐβάσταξεν αὐτὸν αὐτὴν τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ αὐτοῦ.

ιβ΄. Ἐμέμνητο δὲ ὁ μακάριος τινὸς ἀπαγγείλαντος αὐτῷ ὅτι εἶχεν ἀββᾶν πάνυ πραότατον καὶ ἔλεγεν ὅτι διὰ τὴν μεγάλην αὐτοῦ ἀρετὴν καὶ τὰ σημεῖα ἃ ἐποίει εἶχεν αὐτὸν ὅλη ἡ χώρα ὡς ἄγγελον Θεοῦ. Ποτὲ οὖν ἐνεργηθεὶς ὑπὸ τοῦ ἐχθροῦ ἐλθὼν ἐξύβρισεν αὐτὸν ἐσχάτως, πάντων ἱσταμένων καὶ τοῦ Γέροντος στήκοντος καὶ προσέχοντος μόνον εἰς τὸ στόμα αὐτοῦ καὶ λέγοντος· Χάρις Θεοῦ εἰς τὸ στόμα σου, ἀδελφέ μου, ἐκείνου μαινομένου καὶ λέγοντος· Ναί, φαῦλε, φαγοπόλιε, ταῦτα λέγεις ἵνα δείξῃς πρᾶος φαίνεσθαι. Λέγει ὁ Γέρων· Ὄντως ἃ λέγεις, ἀδελφέ μου, καλὰ λέγεις. Μετὰ ταῦτα, φησίν, ἠρώτησεν αὐτόν τις λέγων· Ἄρτι οὐκ ἐταράχθης, καλόγηρε; Καὶ λέγει· Οὔ, ἀλλ᾽ οὕτως ᾐσθόμην τὴν ψυχήν μου ὡς ὑπὸ Χριστοῦ σκεπομένην.

Καί γιά νά σοῦ φέρω μιά ἀπόδειξη τῆς ἀγάπης μου, κάποτε πόνεσε πάρα πολύ τό μάτι μου καί σέ θυμήθηκα· ἔκανα τότε τό σημεῖο τοῦ σταυροῦ καί εἶπα: Κύριε Ἰησοῦ Χριστέ, χάρις στίς προσευχές τοῦ ἀδελφοῦ θεράπευσέ με, καί ἀμέσως θεραπεύθηκα"». Αὐτά ὅσα ἀφοροῦν τόν ἀδελφό.

Συχνά ἔλεγε ὁ μακάριος: «Ἐμεῖς οἱ ἄνθρωποι δέν γνωρίζουμε νά ἀγαπᾶμε καί νά ἐκτιμοῦμε ὁ ἕνας τόν ἄλλο· χάσαμε τή φρόνησή μας. Χρειάζεται νά ἀντέξει κανείς λίγο τόν ἀδελφό του, ὅταν εἶναι θυμωμένος ἤ στενοχωρημένος. Γιατί μετά ἀπό λίγο θά συνέλθει ἐκεῖνος καί ἀντιλαμβανόμενος πῶς τόν ἄντεξε, θά εἶναι ἕτοιμος καί τήν ἴδια του τή ζωή νά δώσει γιά χάρη του».

«Κύριε, Ἐσύ πού μέ ἀξίωσες νά πάρω τό σχῆμα τῶν ἁγίων Γερόντων, ἀξίωσέ με τώρα νά βαδίσω πάνω στά ἴχνη τους»

ιβ΄. Καί θυμόταν ὁ μακάριος κάποιον πού τοῦ εἶχε πεῖ ὅτι εἶχε Γέροντα πάρα πολύ πράο καί ὅτι γιά τή μεγάλη του ἀρετή καί τά θαύματα πού ἔκανε, ὅλη ἡ χώρα τόν εἶχε σάν ἄγγελο Θεοῦ.

Κάποτε λοιπόν τόν βάζει ὁ διάβολος σέ πειρασμό, πάει στόν Γέροντα καί ἀρχίζει νά τόν βρίζει μέ τόν χειρότερο τρόπο ἐνώπιον ὅλων. Ὁ Γέροντας στεκόταν ἔχοντας στραμμένη τήν προσοχή του στό στόμα τοῦ ἀδελφοῦ καί ἔλεγε: «Χάρις Θεοῦ, ἀδελφέ μου, στό στόμα σου» ἐνῶ ἐκεῖνος ἔκανε σάν τρελλός καί ἔλεγε «Ναί, ἐλεεινέ, γερολαίμαργε, αὐτά τά λές γιά νά δείξεις πώς εἶσαι πράος». Καί ὁ Γέροντας ἀπαντοῦσε: «Πραγματικά, ἀδελφέ μου, ὅσα λές εἶναι σωστά». Μετά τό γεγονός αὐτό, λέει, κάποιος ρώτησε τόν Γέροντα: «Αὐτή τήν ὥρα δέν ταράχθηκες, καλόγερε;» «Ὄχι, τοῦ ἀπάντησε· ἀντίθετα, αἰσθανόμουν τήν ψυχή μου νά τή σκεπάζει ὁ Χριστός».

Καὶ ἔλεγεν ὁ μακάριος· Καὶ γὰρ ἀληθῶς ὀφείλει τις εὐχαριστεῖν τοῖς τοιούτοις καὶ ἔχειν αὐτούς, εἰ μὲν ἐμπαθής ἐστιν, ὡς ἰατροὺς θεραπεύοντας τὰ τραύματα τῆς ψυχῆς αὐτοῦ· εἰ δὲ ἀπαθής, ὡς εὐεργέτας προξενοῦντας αὐτῷ τὴν Βασιλείαν τῶν Οὐρανῶν.

Ἔλεγε πάλιν ὁ μακάριος ὅτι· Ὄντος μου ἔτι ἐν τῷ μοναστηρίῳ ἐν Τύρῳ πρὸ τοῦ ἐξελθεῖν με, παρέβαλεν ἡμῖν τις Γέρων ἐνάρετος· καὶ ἀναγινωσκόντων ἡμῶν εἰς τὰ ἀποφθέγματα τῶν ἁγίων Γερόντων —ἠγάπα δὲ ὁ μακάριος πάντοτε διέρχεσθαι αὐτὰ καὶ σχεδὸν αὐτὰ ἔπνεεν, ὅθεν καὶ ἐξ αὐτῶν ἐκαρπώσατο πᾶσαν ἀρετήν— καὶ εἶπεν ὅτι, ὅτε ἤλθομεν εἰς τὸν Γέροντα ἐκεῖνον πρὸς ὃν ἦλθον οἱ λῃσταὶ καὶ εἶπον αὐτῷ ὅτι· Πάντα τὰ ἐν τῇ κέλλῃ σου λαβεῖν ἥκαμεν, καὶ αὐτοῦ εἰπόντος· Ὅσα ἂν δοκεῖ ὑμῖν, τέκνα, λάβετε, ἔλαβον πάντα καὶ ἀπῆλθον καὶ κατέλιπον ἓν μαρσίπιον. Ὁ οὖν Γέρων, φησί, λαβὼν αὐτὸ ἐπεδίωξεν ὀπίσω αὐτῶν βοῶν καὶ λέγων αὐτοῖς· Τέκνα, λάβετε παρ᾽ ἐμοῦ ὃ ἐπελάθεσθε ἐν τῷ κελλίῳ ἡμῶν. Οἱ δὲ θαυμάσαντες ἐπὶ τῇ ἀνεξικακίᾳ τοῦ Γέροντος ἀπεκατέστησαν αὐτῷ πάντα ἐν τῷ κελλίῳ καὶ μετανοήσαντες εἶπον πρὸς ἀλλήλους· Ἀληθῶς οὗτος ἄνθρωπος τοῦ Θεοῦ ἐστιν.

Ὡς οὖν ἀνέγνωμεν τοῦτο, λέγει μοι ὁ Γέρων· Οἶδας, ἀββᾶ μου, τοῦτο τὸ ἀπόφθεγμα πάνυ με ὠφέλησε. Λέγω αὐτῷ· Πῶς, πάτερ; Καὶ λέγει μοι· Ποτὲ μένοντός μου ἐν τοῖς τόποις τοῖς κατὰ τὸν Ἰορδάνην, ἀνέγνων τοῦτο· καὶ ἐθαύμαζον τὸν Γέροντα καὶ ἔλεγον· Κύριε, καταξίωσόν με κατ᾽ ἴχνος τούτου ἀκολουθῆσαι ὁ καταξιώσας με εἰς τὸ σχῆμα αὐτοῦ ἐλθεῖν.

---

194. Βλ. Εἰσαγ. σελ. 14.

Καί ἔλεγε ὁ μακάριος Ζωσιμᾶς: «Ἔτσι εἶναι, ἀλήθεια, ὀφείλει κανείς νά εὐχαριστεῖ τέτοιους ἀνθρώπους· καί ἐάν εἶναι ἐμπαθής, νά τούς θεωρεῖ σάν γιατρούς πού τοῦ θεραπεύουν τά τραύματα τῆς ψυχῆς· ἄν πάλι ἔχει φθάσει σέ κατάσταση ἀπάθειας, νά τούς θεωρεῖ εὐεργέτες του, γιατί τοῦ χαρίζουν τή Βασιλεία τῶν Οὐρανῶν».

Κάποια ἄλλη φορά ἔλεγε ὁ μακάριος: «Ὅταν ἤμουν ἀκόμη στό μοναστήρι τῆς Τύρου, προτοῦ φύγω γιά τήν ἔρημο, μᾶς ἐπισκέφθηκε ἕνας Γέροντας ἐνάρετος, τήν ὥρα μάλιστα πού διαβάζαμε τά Ἀποφθέγματα τῶν ἁγίων Γερόντων[194] —γιατί ἀγαποῦσε ὁ μακάριος Ζωσιμᾶς πάντοτε νά τά διαβάζει καί σχεδόν ἦταν ἀναπνοή του αὐτά, γι᾽ αὐτό καί καρπώθηκε ἀπ᾽ αὐτά κάθε ἀρετή— καί εἶπε· ὅταν φθάσαμε στόν Γέροντα ἐκεῖνον πού πῆγαν οἱ ληστές καί τοῦ εἶπαν "ἤρθαμε νά πάρουμε ὅλα ὅσα ἔχεις στό κελί σου" καί ἐκεῖνος τούς ἀπάντησε "ὅσα σᾶς κάνουν, παιδιά μου, πάρτε τα" τά πῆραν ὅλα καί φεύγοντας ἄφησαν ἕνα σακκίδιο κι ὁ Γέροντας —λέει τό ἀπόφθεγμα— τό πῆρε αὐτό καί ἄρχισε νά τρέχει ἀπό πίσω τους φωνάζοντας "Παιδιά, πάρτε το ἀπό μένα αὐτό πού ξεχάσατε μέσα στό κελί μου". Κι αὐτοί λοιπόν θαύμασαν τήν ἀνεξικακία τοῦ Γέροντα καί ξαναέβαλαν ὅλα τά πράγματα στή θέση τους μέσα στό κελί καί μετανοημένοι εἶπαν μεταξύ τους: "Πράγματι αὐτός εἶναι ἄνθρωπος τοῦ Θεοῦ".

Ὅταν λοιπόν διαβάσαμε αὐτό τό ἀπόφθεγμα, μοῦ λέει ὁ Γέροντας ἐπισκέπτης μας: "Ξέρεις, ἀββᾶ μου, αὐτό τό ἀπόφθεγμα πολύ μέ ἔχει ὠφελήσει". "Πῶς, πάτερ;" τόν ρώτησα. Καί μοῦ διηγήθηκε τό ἑξῆς: "Κάποτε ὅταν ἔμενα στήν περιοχή τοῦ Ἰορδάνη τό διάβασα αὐτό καί θαύμαζα τόν Γέροντα καί ἔλεγα: Κύριε, Ἐσὺ πού μέ ἀξίωσες νά πάρω τό ἅγιο σχῆμα πού εἶχε κι αὐτός, ἀξίωσέ με τώρα νά βαδίσω πάνω στά ἴχνη του.

Ὡς οὖν εἶχον τὸν πόθον τοῦτον, μετὰ δύο ἡμέρας ἰδοὺ λῃσταὶ ἐπιρρίπτουσιν· ὡς οὖν ἔκρουσαν τὴν θύραν καὶ ἔγνων ὅτι λῃσταί εἰσιν, εἶπον ἐμαυτῷ· Χάρις τῷ Θεῷ, ἰδοὺ καιρὸς ἐνδείξασθαι τὸν καρπὸν τοῦ πόθου. Ἀνοίξας δὲ ἐδεξάμην αὐτοὺς μετὰ ἱλαρότητος καὶ ἅψας λύχνον ἠρξάμην δεικνύειν αὐτοῖς τὰ πράγματα λέγων αὐτοῖς· Μὴ θορυβεῖσθε, πιστεύω τῷ Κυρίῳ οὐ μὴ κρύψω ἀφ' ὑμῶν τίποτε. Λέγουσί μοι· Ἔχεις χρυσίον; Λέγω αὐτοῖς· Ναί, ἔχω τρία νομίσματα. Καὶ ἤνοιξα τὸ σκεῦος ἔμπροσθεν αὐτῶν καὶ λαβόντες ἀπῆλθον μετ' εἰρήνης. Ἐγὼ δέ, φησὶν ὁ μακάριος, χαριεντισάμενος εἶπον πρὸς αὐτόν· Ὑπέστρεψαν ὥσπερ ἐκεῖνοι οἱ ἐπὶ τοῦ Γέροντος; Λέγει μοι εὐθέως· Οὐ μὴ ποιήσῃ ὁ Θεός, οὐ γὰρ τοῦτο ἤθελον, ἵνα ὑποστρέψωσι. Καὶ ἔλεγεν· Ἰδοὺ ὁ πόθος τοῦ Γέροντος καὶ ἡ ἑτοιμασία αὐτοῦ, τί αὐτῷ παρέσχεν· ὅτι οὐ μόνον οὐκ ἐλυπήθη, ἀλλὰ καὶ ἐχάρη ὡς τοιούτου ἀγαθοῦ καταξιωθείς.

ιγ΄. Ἐπειδὴ δὲ ἐμνήσθην, φησί, διαλεγόμενος ἀνωτέρω καὶ ἔλεγον ὅτι, μικρὸν εἰ ἐβαστάζομεν τὸν ἀδελφὸν ἡμῶν ταρασσόμενον, ἐκερδαίνομεν τὴν ψυχὴν αὐτοῦ, βούλομαι διηγήσασθαι, ἃ ἤκουσα παρὰ τοῦ μακαρίου Σεργίου τοῦ ἐν τῇ πεδιάδι ἡγουμένου. Οὗτος διηγήσατό μοι ὅτι· Ποτὲ ὁδευόντων ἡμῶν μετά τινος ἁγίου Γέροντος ἐπλανήθημεν τὴν ὁδόν· καὶ μὴ γινωσκόντων ἡμῶν ποῦ πορευόμεθα, εὑρέθημεν εἰς τὰ σπόριμα καὶ κατεπατήσαμεν ὀλίγα τῶν σπορίμων· αἰσθόμενος δὲ ὁ γεωργός, εὑρέθη γὰρ ἐκεῖ ἐργαζόμενος,

Καί νά πού, ὅπως ἀκριβῶς τό ποθοῦσα, μετά δύο μέρες πέφτουν ληστές ἐπάνω μας. Μόλις χτύπησαν τήν πόρτα καί κατάλαβα ὅτι εἶναι ληστές, εἶπα μέσα μου: Σ' εὐχαριστῶ, Θεέ μου. Νά, ἡ εὐκαιρία νά δείξω τόν καρπό τοῦ πόθου μου. Ἄνοιξα λοιπόν καί τούς δέχθηκα μέ καλοσύνη· ἄναψα ἕνα λυχνάρι καί ἄρχισα νά τούς δείχνω τά πράγματα λέγοντάς τους, μήν ἀνησυχεῖτε, πιστεύω μέ τή βοήθεια τοῦ Θεοῦ νά μή σᾶς κρύψω τίποτε. Μέ ρώτησαν: ἔχεις χρυσό; Ναί, —τούς εἶπα— ἔχω τρία νομίσματα, καί ἄνοιξα μπροστά τους τό κουτί ὅπου τά φύλαγα, τά πῆραν καί ἔφυγαν εἰρηνικά.

Κι ἐγώ τότε —λέει ὁ μακάριος— χαριτολογώντας τοῦ εἶπα: "Γύρισαν πίσω κι αὐτοί, ὅπως ἐκεῖνοι στόν Γέροντα πού διαβάζουμε;" Καί λέει ἀμέσως: "Νά μή δώσει ὁ Θεός· δέν ζητοῦσα αὐτό, νά τά γυρίσουν πίσω"».

Κι ἔλεγε πάνω σ' αὐτά: «Νά, ὁ πόθος τοῦ Γέροντα καί ἡ ψυχική του προετοιμασία τί τοῦ πρόσφεραν· ὄχι μόνο δέν λυπήθηκε ἀλλά καί χάρηκε πού ἀξιώθηκε τέτοιο καλό».

«Τά ἐργαλεῖα τῶν παθῶν εἶναι μέσα σου.
Δῶσε τους πίσω τόν ἀρραβῶνα καί φεύγουν»

ιγ΄. «Καί ἐπειδή θυμήθηκα —λέει ὁ ἀββᾶς Ζωσιμᾶς— πώς στήν παραπάνω συζήτηση ἔλεγα ὅτι, ἄν λίγο ἀντέχαμε τόν ἀδελφό μας, ὅταν ταράζεται, θά κερδίζαμε τήν ψυχή του, θέλω νά σᾶς διηγηθῶ ὅσα ἄκουσα ἀπό τόν μακάριο Σέργιο τόν ἡγούμενο στήν πεδιάδα.

Αὐτός λοιπόν μοῦ διηγήθηκε τά ἑξῆς: "Κάποτε πού βαδίζαμε μέ κάποιον ἅγιο Γέροντα, χάσαμε τόν δρόμο καί μή ξέροντας ποῦ κατευθυνόμαστε, βρεθήκαμε στά σπαρμένα χωράφια καί καταπατήσαμε λίγα σπαρτά. Μόλις μᾶς ἀντιλήφθηκε ὁ γεωργός, γιατί ἔτυχε νά ἐργάζεται ἐκεῖ,

ἤρξατο ὑβρίζειν πολλὰ μετ᾽ ὀργῆς καὶ λέγειν οὕτως· Ὑμεῖς μοναχοί; Ὑμεῖς φοβεῖσθε τὸν Θεόν; Εἰ εἴχετε φόβον Θεοῦ πρὸ ὀφθαλμῶν, τοῦτο οὐκ ἐποιεῖτε. Εὐθέως οὖν λέγει ἡμῖν ὁ ἅγιος· Διὰ τὸν Κύριον, μηδεὶς λαλείτω· καὶ ἔλεγεν αὐτῷ μετὰ πραότητος· Καλῶς λέγεις, τέκνον· εἰ εἴχομεν τὸν φόβον τοῦ Θεοῦ, ταῦτα οὐκ ἐποιοῦμεν. Πάλιν ἐκεῖνος ὕβριζε μετὰ θυμοῦ καὶ πάλιν ὁ Γέρων ἔλεγεν· Ἐν ἀληθείᾳ λέγεις, εἰ ἦμεν μοναχοί, τοῦτο οὐκ ἐποιοῦμεν, ἀλλὰ διὰ τὸν Κύριον συγχώρησον ἡμῖν, ὅτι ἡμάρτομεν. Ἐκπλαγεὶς δὲ ἐκεῖνος καὶ ἐλθὼν ἔρριψεν ἑαυτὸν εἰς τοὺς πόδας τοῦ Γέροντος λέγων· Συγχώρησόν μοι διὰ τὸν Κύριον καὶ λάβετέ με μεθ᾽ ὑμῶν. Καὶ ἔλεγεν ὁ μακάριος Σέργιος ὅτι· Ἐν ἀληθείᾳ μεθ᾽ ἡμῶν ἠκολούθησε καὶ ἐλθὼν ἔλαβε τὸ σχῆμα. Καὶ ἔλεγεν ὁ μακάριος· Ἰδοὺ ἡ πραότης καὶ τὸ καλοθελὲς τοῦ Γέροντος τί ἠδυνήθη μετὰ Θεὸν ποιῆσαι καὶ σῶσαι ψυχὴν κατ᾽ εἰκόνα Θεοῦ ποιηθεῖσαν, ἣν θέλει ὁ Θεὸς μᾶλλον ἢ μυρίους κόσμους μετὰ τῶν χρημάτων αὐτῶν.

Ποτὲ δὲ ὄντος μου πρὸς αὐτὸν λέγει μοι· Μελέτησον ἡμῖν τινα τῆς γραφῆς. Ὡς οὖν ἠρξάμην μελετᾶν ἐκ τῶν Παροιμιῶν, ἦλθον εἰς τὸ ῥητὸν ὅπου λέγει· Ἐν πολλοῖς ξύλοις θάλλει πῦρ, ὅπου δὲ οὐκ ἔστι θυμός, ἡσυχάζει μάχη. Ἠρώτων οὖν αὐτόν· Τί ἐστι τὸ ῥητὸν τοῦτο, πάτερ; Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ὥσπερ τὰ ξύλα αἴτιά εἰσι τῆς φλογὸς τοῦ πυρὸς καί, ἐὰν μὴ ἐπαρκέσῃ τις, σβέννυται τὸ πῦρ, οὕτως εἰσί τινα αἴτια τῶν παθῶν· καὶ ἐὰν ἐκκόψῃ τις τὰ αἴτια, οὐκ ἐνεργοῦσι τὰ πάθη· οἷον τὰ αἴτια τῆς πορνείας εἰσίν, ὡς εἶπεν ὁ ἀββᾶς Μωυσῆς, τὸ φαγεῖν καὶ πιεῖν εἰς πλησμονὴν καὶ ὁ κόρος τοῦ ὕπνου καὶ τὸ ἀργεῖν καὶ παίζειν καὶ ἀργολογεῖν

195. Ἐδῶ μιλάει σέ πρῶτο πρόσωπο ὁ καταγράψας τίς διδαχές τοῦ ἀββᾶ Ζωσιμᾶ, ὁ ἀββᾶς Δωρόθεος.

196. Παροιμ. 26, 20.

ἄρχισε ὀργισμένος νά βρίζει ἄσχημα καί νά λέει: Εἶστε μοναχοί ἐσεῖς; Εἶστε θεοφοβούμενοι; Ἄν λαβαίνατε ὑπόψιν σας τόν φόβο τοῦ Θεοῦ, αὐτό δέν θά τό κάνατε. Ἀμέσως λοιπόν μᾶς λέει ὁ ἅγιος Γέροντας: Γιά τόν Κύριο, μή μιλήσει κανείς. Καί ἄρχισε νά μιλάει σ' αὐτόν μέ πραότητα: Καλά λές, παιδί μου· ἐάν εἴχαμε φόβο Θεοῦ, δέν θά τά κάναμε αὐτά. Ἐκεῖνος συνέχιζε νά βρίζει μέ θυμό καί πάλι ὁ Γέροντας ἔλεγε: Εἶναι ἀληθινά αὐτά πού λές· ἐάν ἤμασταν μοναχοί, δέν θά τό κάναμε αὐτό. Ἀλλά γιά τόν Κύριο συγχώρα μας, γιατί ἁμαρτήσαμε. Ἔκπληκτος τότε ἐκεῖνος ἦρθε καί ἔπεσε στά πόδια τοῦ Γέροντα λέγοντας Συγχώρεσέ με γιά τόν Κύριο καί πάρτε με μαζί σας. Καί πράγματι —εἶπε ὁ μακάριος Σέργιος— μᾶς ἀκολούθησε καί ἔγινε καί μοναχός».

Καί συνέχισε ὁ μακάριος Ζωσιμᾶς: «Νά ἡ πραότητα καί ἡ καλή θέληση τοῦ Γέροντα τί μπόρεσε μετά τόν Θεό νά κάνει· νά σώσει ψυχή πλασμένη κατ' εἰκόνα Θεοῦ, πού τήν προτιμάει ὁ Θεός περισσότερο ἀπό μύριους κόσμους μαζί μ' ὅλα τους τά ἀγαθά».

Κάποτε πάλι πού βρέθηκα κοντά του[195] μοῦ λέει: «Διάβασέ μας κάτι ἀπ' τή Γραφή». Ἄρχισα νά διαβάζω ἀπ' τίς Παροιμίες καί ἔφθασα στό ρητό πού λέει: «Μέ τά πολλά ξύλα ζωηρεύει ἡ φωτιά, ὅπου ὅμως δέν ὑπάρχει θυμός, καταλαγιάζει ἡ μάχη»[196]. Τόν ρώτησα λοιπόν: «Τί σημαίνει αὐτό τό ρητό, πάτερ;» Κι ἐκεῖνος ἀπάντησε: «Ὅπως ἀκριβῶς τά ξύλα εἶναι τά αἴτια γιά τή φλόγα τῆς φωτιᾶς καί ἄν δέν τήν τροφοδοτεῖ κανείς ἀρκετά, σβήνει ἡ φωτιά, ἔτσι εἶναι καί κάποια αἴτια τῶν παθῶν. Ἄν δηλαδή κόψει κανείς τά αἴτια, δέν ἐνεργοῦν τά πάθη. Ὅπως γιά παράδειγμα, τά αἴτια τῆς πορνείας, καθώς εἶπε ὁ ἀββᾶς Μωυσῆς*, εἶναι τό περίσσιο φαγητό καί πιοτό, τό χόρτασμα τοῦ ὕπνου, τό νά εἶναι κανείς ἀργόσχολος, νά παίζει καί νά

καὶ ὁ καλλωπισμὸς τῶν ἱματίων. Ταῦτα ἐὰν ἐκκόψῃ τις, ἀσθενεῖ τὸ πάθος τῆς πορνείας.

Πάλιν τὰ αἴτια τῆς ὀργῆς ὡσαύτως, εἶπε, τὸ δοῦναι καὶ λαβεῖν καὶ τὸ ποιῆσαι τὸ ἴδιον θέλημα καὶ τὸ ἀγαπᾶν διδάσκειν καὶ τὸ νομίζειν ἑαυτὸν φρόνιμον εἶναι. Ταῦτα ἐὰν ἐκκόψῃ τις, ἀτονεῖ τὸ πάθος· καὶ τοῦτό ἐστιν, ὃ εἶπεν ὁ ἀββᾶς Σισόης ἐρωτώμενος παρὰ τοῦ ἀδελφοῦ· Διὰ τί τὰ πάθη οὐκ ἀναχωροῦσιν ἀπ' ἐμοῦ, λέγων· Τὰ σκεύη αὐτῶν, τουτέστι τὰ αἴτια, ἔνδοθέν σου εἰσί· δὸς αὐτοῖς τὸν ἀρραβῶνα αὐτῶν καὶ ὑπάγουσιν. Ὁ δὲ δίθυμος, ὅπου οὐχ ἡσυχάζει μάχη, οὗτός ἐστιν ὁ μὴ ἀρκούμενος τῇ πρώτῃ ταραχῇ, ἀλλ' ἐρεθίζων ἑαυτὸν εἰς δεύτερον θυμόν. Οἷον, ἐὰν ἐξαρθῇ τις εἰς θυμόν, εὐθέως δὲ ἔλθῃ εἰς ἑαυτὸν καὶ καταγνῷ ἑαυτοῦ καὶ μετανοήσῃ ἐπὶ τῷ ἀδελφῷ ᾧ ἐθυμώθη, οὗτος οὐ λέγεται δίθυμος, ἐν τούτῳ γὰρ ἡσυχάζει μάχη· κατέγνω γὰρ ἑαυτοῦ καὶ ἐποίησε φιλίαν μετὰ τοῦ ἀδελφοῦ καὶ ἐν τούτῳ ἡ μάχη χώραν οὐκ ἔχει, ὡς προεῖπον. Ὁ δὲ θυμωθεὶς καὶ μὴ καταγνοὺς ἑαυτοῦ, ἀλλὰ μᾶλλον ἐρεθίζων ἑαυτὸν εἰς θυμὸν καὶ μεταμελόμενος οὐχ ὅτι ἐθυμώθη, ἀλλ' ὅτι οὐκ ἐλάλησε πλείονα ὧν ἐλάλησεν ἐν τῇ ταραχῇ αὐτοῦ, οὗτος λέγεται δίθυμος· καὶ ἐν τούτῳ οὐχ ἡσυχάζει μάχη· διαδέχεται γὰρ αὐτὸν μνησικακία καὶ λύπη καὶ κακία. Ἀλλ' ὁ Κύριος Ἰησοῦς Χριστὸς λυτρώσηται ἡμᾶς τῆς μερίδος τῶν τοιούτων καὶ καταξιώσῃ τῆς μερίδος τῶν πραέων καὶ ταπεινῶν.

Ἔλεγε πολλάκις ὅτι· Πολλῆς νήψεως καὶ φρονήσεως χρεία πρὸς τὴν ποικιλίαν τοῦ διαβόλου· ἔστι γὰρ ὅτε ἐκ τοῦ μηδενὸς ποιεῖ τινα ταράττεσθαι, ἔστι δὲ ὅτε καὶ φέρει εὐλο-

---

197. Τό ἀπόφθεγμα τοῦ ἀββᾶ Σισόη ἀναφέρεται καί ἀπό τόν ἀββᾶ Δωρόθεο στήν 13η Διδασκαλία του, κεφ. 141 (ὅ.π.).

198. Βλ. ὑποσημ. 77α σελ. 89.

ἀργολογεῖ καί τό νά ἐπιδιώκει τό ὡραῖο ντύσιμο. Αὐτά ἄν κανείς τά κόψει, ἐξασθενεῖ τό πάθος τῆς πορνείας.

Τά αἴτια τῆς ὀργῆς πάλι κατά τόν ἴδιο τρόπο, εἶπε, εἶναι οἱ δοσοληψίες, τό νά κάνει κανείς τό θέλημά του, τό νά θέλει νά κάνει τόν δάσκαλο καί τό νά θεωρεῖ τόν ἑαυτό του συνετό. Αὐτά ἐάν τά κόψει κανείς, ἀτονεῖ τό πάθος. Καί αὐτό ἀκριβῶς εἶναι ἐκεῖνο πού εἶπε ὁ ἀββᾶς Σισόης*, ὁ ὁποῖος, ὅταν τόν ρώτησε κάποιος ἀδελφός "γιατί τά πάθη δέν φεύγουν ἀπό μένα", ἀποκρίθηκε· "τά σκεύη τους, δηλαδή τά αἴτια, βρίσκονται μέσα σου. Δῶσε τους λοιπόν πίσω τόν ἀρραβώνα καί φεύγουν"[197]. Ἐνῶ ὁ ἐριστικός ἄνθρωπος —ὅπου δέν σταματάει ἡ διαμάχη— εἶναι αὐτός πού δέν ἀρκεῖται στήν πρώτη ταραχή, ἀλλά ἐρεθίζει τόν ἑαυτό του γιά νά ξεσπάσει καί δεύτερη φορά. Π.χ. ἄν κάποιος ἀνάψει ἀπό θυμό, ἀλλά ἀμέσως συνέλθει καί κατηγορήσει τόν ἑαυτό του καί ζητήσει συγγνώμη ἀπ' τόν ἀδελφό μέ τόν ὁποῖο θύμωσε, αὐτός δέν χαρακτηρίζεται ἐριστικός, γιατί σ' αὐτόν σταματάει ἡ φιλονικία· ἐφόσον κατέκρινε τόν ἑαυτό του καί συμφιλιώθηκε μέ τόν ἀδελφό του, σ' αὐτόν ἡ φιλονικία δέν ἔχει θέση, ὅπως εἶπα προηγουμένως. Ἐκεῖνος ὅμως πού θύμωσε καί δέν κατέκρινε τόν ἑαυτό του ἀλλά τόν ἐρεθίζει περισσότερο νά θυμώνει καί μετανοιώνει ὄχι γιατί θύμωσε, ἀλλά γιατί δέν εἶπε πιό πολλά, ἀπ' ὅσα εἶπε τήν ὥρα τῆς ταραχῆς του, αὐτός λέγεται ἐριστικός καί σ' αὐτόν δέν παύει ἡ ἐσωτερική ταραχή· γιατί τόν καταλαμβάνει διαδοχικά καί ἡ μνησικακία καί ἡ λύπη καί ἡ κακία. Ἀλλά ἄς μᾶς λυτρώσει ὁ Θεός ἀπ' τή μερίδα τέτοιων ἀνθρώπων καί ἄς μᾶς ἀξιώσει νά ἀνήκουμε στή μερίδα τῶν πράων καί ταπεινῶν».

Ἔλεγε ἀκόμη συχνά: «Χρειάζεται πολλή νήψη[198] καί φρόνηση γιά νά ἀντιμετωπίζει κανείς τά ποικίλα τεχνάσματα τοῦ διαβόλου. Γιατί μερικές φορές κάνει κάποιον νά

γον πρόφασιν, ἵνα δόξῃ τις ὅτι δικαίως ἐκ τοῦ εὐλόγου ἐθυμώθη. Ἔστι δὲ τοῦτο τῷ ἐν ἀληθείᾳ ποθοῦντι τὴν ὁδὸν τῶν ἁγίων ὁδεῦσαι παντάπασιν ἀλλότριον· ὡς φησὶν ὁ ἅγιος Μακάριος· Ξένον μοναχῷ τὸ ὀργίζεσθαι. Καὶ πάλιν· Ξένον τὸ λυπεῖν τὸν πλησίον.

Καὶ ἔλεγεν ὅτι· Ἐπέταξά ποτε βιβλία τινί καλλιγράφῳ εὐφυεῖ, καὶ μετὰ τὸ τελέσαι τὸ γράψιμον πέμπει καὶ λέγει μοι ὅτι· Ἰδοὺ ἐτέλεσα· ὅτε δοκεῖ σοι, πέμψον καὶ λάβε αὐτά. Ἀδελφὸς δέ τις ἀκούσας ταῦτα, ἀπελθὼν ἐξ ὀνόματός μου πρὸς τὸν καλλιγράφον καὶ δοὺς τὸ λογάριον ἔλαβεν αὐτά, ἐγὼ δὲ μὴ γνοὺς τοῦτο ἔπεμψα ἀδελφὸν ἡμέτερον μετὰ γραμμάτων σὺν τῷ λογαρίῳ, ὥστε λαβεῖν αὐτά. Ὡς οὖν ἔγνω ὁ καλλιγράφος ὅτι ἐνεπαίχθη ὑπὸ τοῦ λαβόντος αὐτά, ταραχθεὶς εἶπεν· Ὄντως ἀπέρχομαι καὶ ἀηδίζω αὐτὸν κατὰ δύο τρόπους, καὶ ὅτι ἐχλεύασέ με καὶ ὅτι τὰ μὴ ὄντα αὐτοῦ ἔλαβεν.

Ἐγὼ δὲ ἀκούσας τοῦτο πέμψας εἶπον αὐτῷ· Οἶδας, ἀδελφέ μου, βιβλία διὰ τοῦτο κτώμεθα, ἵνα μάθωμεν ἐξ αὐτῶν ἀγάπην, ταπείνωσιν καὶ πραότητα· εἰ δὲ ἡ ἀρχὴ τῆς κτήσεως τῶν βιβλίων μάχη ἐστίν, οὐ θέλω κτήσασθαι βιβλίον καὶ μόνον μὴ μαχήσωμαι· δοῦλον γὰρ Κυρίου οὐ δεῖ μάχεσθαι. Ἰδοὺ οὖν καταφρονήσας τοῦ βιβλίου ἐποίησα μὴ παντελῶς ὀχληθῆναι τὸν ἀδελφόν.

199. Τό ἀπόφθεγμα ἀνήκει στόν Εὐάγριο, ἀποδόθηκε ὅμως στόν ἅγιο Μακάριο μετά τή γνωστή καταδίκη τοῦ πρώτου.

ταράζεται ἀπ' τό τίποτε· ἄλλοτε πάλι παρουσιάζει καί εὔλογη πρόφαση γιά νά νομίσει κανείς ὅτι μέ τό εὔλογο τῆς προφάσεως δίκαια θύμωσε. Καί αὐτό εἶναι ἐντελῶς ἀσυμβίβαστο γι' αὐτόν πού ποθεῖ ἀληθινά νά βαδίσει τήν ὁδό τῶν ἁγίων· ὅπως λέει ὁ ἅγιος Μακάριος[199], "ἡ ὀργή εἶναι ξένο πράγμα γιά τόν μοναχό". Κι ἀκόμη "ξένο τοῦ εἶναι νά λυπεῖ τόν πλησίον του"».

Καί συνέχισε: «Κάποτε παρήγγειλα κάποια βιβλία σ' ἕναν ἱκανό καλλιγράφο καί ὅταν τέλειωσε τό γράψιμο, στέλνει καί μέ εἰδοποιεῖ: "Ἐγώ τελείωσα, ὅποτε νομίζεις, στεῖλε καί πάρε τα".

Κάποιος ἀδελφός πού τ' ἄκουσε αὐτά, πῆγε δῆθεν ἀπό μέρους μου στόν καλλιγράφο καί, ἀφοῦ τοῦ πλήρωσε τόν λογαριασμό, τά πῆρε. Κι ἐγώ χωρίς νά τό ξέρω αὐτό τό πράγμα, ἔστειλα κάποιον ἀδελφό δικό μας μαζί μέ ἐπιστολή καί χρήματα γιά νά τά παραλάβει. Μόλις λοιπόν κατάλαβε ὁ καλλιγράφος ὅτι ἐμπαίχτηκε ἀπ' αὐτόν πού τά πῆρε, ταράχτηκε καί εἶπε: "Πραγματικά πάω τώρα νά τόν περιποιηθῶ γιά δύο λόγους, καί γιατί μέ κορόϊδεψε καί γιατί πῆρε αὐτά πού δέν ἦταν δικά του".

Κι ἐγώ μόλις τό πληροφορήθηκα, ἔστειλα ἄνθρωπο καί τοῦ μήνυσα· "Ξέρεις, ἀδελφέ μου, πώς γι' αὐτό τό σκοπό ἀποκτοῦμε βιβλία, γιά νά μάθουμε ἀπ' αὐτά τήν ἀγάπη, τήν ταπείνωση, τήν πραότητα. Ἐάν ὅμως ἡ ἀπόκτηση τῶν βιβλίων ἀρχίζει μέ φιλονικία, δέν θέλω νά ἀποκτήσω βιβλίο· ἀρκεῖ νά ἀποφύγω τή διαμάχη. "Γιατί ὁ δοῦλος τοῦ Θεοῦ δέν πρέπει νά μάχεται"[200]. Ἔτσι λοιπόν ἀδιαφορώντας γιά τήν ἀπόκτηση τοῦ βιβλίου, ἔκανα τόν ἀδελφό νά ἀπαλλαγεῖ πέρα γιά πέρα ἀπό τήν ἐνόχληση».

200. Β΄ Τιμ. 2, 24.

ιδ΄. Καθημένου δὲ τοῦ μακαρίου καὶ λαλοῦντος περὶ ὠφελείας ἤρξατο λέγειν τινὰ ῥήματα τῶν ἁγίων Γερόντων καὶ ἦλθεν εἰς τὸ ῥητόν, ὃ εἶπεν ὁ ἀββᾶς Ποιμήν, ὅτι· Ὁ μεμφόμενος ἑαυτὸν εὑρίσκει ἀνάπαυσιν ἐν παντί, καὶ ὃ εἶπεν ὁ ἀββᾶς τοῦ ὄρους τῆς Νιτρίας ἐρωτηθείς· Τί πλέον εὗρες ἐν τῇ ὁδῷ ταύτῃ, πάτερ; καὶ ἀπεκρίθη, ὅτι· Τὸ αἰτιᾶσθαι καὶ μέμφεσθαι ἑαυτὸν πάντοτε, τοῦ ἐρωτήσαντος ἀποκριναμένου· Ἄλλη ὁδὸς οὐκ ἔστιν εἰ μὴ αὕτη. Καὶ ἔλεγε· Πόσην δύναμιν ἔχουσιν οἱ λόγοι τῶν ἁγίων! Καὶ ἀληθῶς, εἴ τι ἐλάλησαν ἀπὸ πείρας καὶ ἀληθείας ἐλάλησαν, ὥς φησιν ὁ θεῖος Ἀντώνιος. Καὶ διὰ τοῦτο δυνατοί εἰσιν, ἐπειδὴ ἅπαντα ἐμπράκτως ἐλαλήθη, ὥς φησί τις τῶν σοφῶν· Τοὺς λόγους σου βεβαιούτω σου ὁ βίος.

Καὶ διηγήσατο τοιοῦτον πρᾶγμα· ὅτι· Ποτὲ ἐκάθησα μικρὸν χρόνον ἐπὶ τὴν Λαύραν τοῦ ἀββᾶ Γερασίμου καὶ

201. Βλ. ἀββᾶ Δωροθέου, Διδασκαλία 7η, κεφ. 86 (ὅ.π.).

202. Πρόκειται γιά τόν ἅγιο Ἰσίδωρο Πηλουσιώτη. Σέ τρεῖς σύντομες ἐπιστολές του ἀναφέρεται στό ὅτι ὁ κήρυκας τῶν θείων λόγων ἐάν θέλει νά ἀποφύγει τή γελοιοποίηση ἀπό τούς ἀνθρώπους, ἀλλά καί τήν εὐθύνη του ἐνώπιον τοῦ Θεοῦ νά ἀντιμετωπίσει, ὀφείλει νά ζεῖ κατά τρόπον πού ἡ ζωή του νά συμφωνεῖ μέ τούς λόγους του. Ἔτσι μόνο θά μπορέσει νά καθοδηγήσει τούς ἀνθρώπους πρός τόν Θεό, ὅπως ἔκαναν καί οἱ μαθητές τοῦ Χριστοῦ «θαυμαστὸν τὸν βίον παρεχόμενοι» καί καμία ἀντίθετη δύναμη δέν ἴσχυσε ἐναντίον τους, καθώς αὐτοί μέ τόν βίο τους «οὐρανοπολῖται κατέστησαν» ἀπό τόν κόσμο αὐτό.

Χαρακτηριστική εἶναι ἡ σύντομη φράση τοῦ ἁγίου: «Βίος ἄνευ λόγου μᾶλλον ὠφελεῖν πέφυκεν ἢ λόγος ἄνευ βίου. Ὁ μὲν γὰρ (ἐνν. βίος) καὶ σιγῶν ὠφελεῖ, ὁ δὲ (λόγος) καὶ βοῶν ἐνοχλεῖ» (Ἰσ. Πηλουσιώτου *Ἐπιστολὲς* ΙΙ σνα΄, ΙΙ σοε΄ καί IV σιβ΄, PG 78, 688· 708 καί 1305).

«Ἄν προλαβαίναμε καί διαθέταμε σωστά τήν καρδιά μας στά σπέρματα τῆς πραότητας καί τῆς ταπεινοφροσύνης, δέν θά εὕρισκε τόπο ὁ ἐχθρός γιά νά σπείρει στόν ἴδιο χῶρο τά κακά σπέρματα».

ιδ΄. Κι ἐνῶ καθόταν ὁ μακάριος καί μιλοῦσε γιά ὠφέλιμα πράγματα, ἄρχισε νά λέει κάποια λόγια τῶν ἁγίων Γερόντων, ὁπότε ἔφθασε καί στό ρητό πού εἶπε ὁ ἀββᾶς Ποιμήν, ὅτι δηλαδή «αὐτός πού κατηγορεῖ τόν ἑαυτό του, βρίσκει ἀνάπαυση σέ κάθε περίπτωση», καί σ᾽ αὐτό πού εἶπε ὁ ἀββᾶς τοῦ ὄρους τῆς Νιτρίας, ὅταν ρωτήθηκε: «Τί περισσότερο βρῆκες σ᾽ αὐτόν τόν δρόμο, πάτερ;» κι ἀποκρίθηκε: «Τό νά κατηγορῶ καί νά μέμφομαι τόν ἑαυτό μου πάντοτε». Καί τότε αὐτός πού ρώτησε, συμφώνησε: «Ἄλλος δρόμος δέν ὑπάρχει, παρά μόνο αὐτός»[201].

Κι ἔλεγε: «Πόση δύναμη ἔχουν τά λόγια τῶν ἁγίων!

Πραγματικά ὅσα εἶπαν, τά εἶπαν ἀπό τήν πεῖρα τους καί ἀπό τήν πραγματικότητα, ὅπως λέει ὁ θεῖος Ἀντώνιος. Γι᾽ αὐτό ἔχουν δύναμη τά λόγια τους, γιατί ὅλα εἰπώθηκαν ἀπό ἀνθρώπους πού τά ἐφάρμοζαν, ὅπως λέει καί κάποιος ἀπ᾽ τούς σοφούς, "τά λόγια σου νά τά ἐπιβεβαιώνει ἡ ζωή σου"[202]».

Καί διηγήθηκε ἕνα σχετικό περιστατικό: «Ἔμεινα κάποτε γιά λίγο στή Λαύρα τοῦ ἀββᾶ Γερασίμου[203]· εἶχα ἐκεῖ

203. Ἡ περίφημη αὐτή Λαύρα ἱδρύθηκε ἀπό τόν ἅγιο Γεράσιμο τόν Ἰορδανίτη γύρω στό 455 σέ ἔρημο τόπο κοντά στόν Ἰορδάνη. Εἶχε πρωτότυπο μοναχικό σύστημα, γιατί συνεδύαζε τήν κοινοβιακή μέ τήν ἐρημιτική ζωή. Στό μέσον τῆς Λαύρας ὑπῆρχε κοινόβιο γιά τούς ἀρχάριους καί στόν γύρω χῶρο ἦταν τά κελιά γιά τούς ἐρημίτες· αὐτοί ὀνομάζονταν «τέλειοι». Τά κελιά, 70 τόν ἀριθμό, ἀπεῖχαν μεταξύ τους, ὥστε νά μήν παρενοχλοῦνται οἱ μοναχοί ὁ ἕνας ἀπό τόν ἄλλο.

Κανένας μοναχός δέν μποροῦσε νά γίνει ἐρημίτης, πρίν ὑποστεῖ δοκιμα-

ἔσχον τινὰ ἀγαπητόν· καθημένων δὲ ἡμῶν μιᾷ τῶν ἡμερῶν καὶ λαλούντων περὶ ὠφελείας, ἐμνήσθην τῶν λόγων τούτων τοῦ ἀββᾶ Ποιμένος καὶ τοῦ ἄλλου καὶ λέγει μοι, ὅτι· Ἐγὼ πεῖραν ἔχω τούτων τῶν λόγων καὶ τῆς ἀναπαύσεως τῆς ἐνεργείας αὐτῶν. Ποτὲ γὰρ ἔσχον τινὰ διάκονον γνήσιον ἀγαπητὸν τῆς Λαύρας· καὶ οὐκ οἶδα πόθεν ἔσχεν εἰς ἐμὲ ὑπόνοιαν περὶ πράγματος φέροντος αὐτῷ λύπην καὶ ἤρξατο στυγνάζειν μοι· ἰδὼν δὲ αὐτὸν ἐγὼ στυγνὸν ἠρώτων μαθεῖν τὴν αἰτίαν καὶ λέγει μοι ὅτι· Τόδε τὸ πρᾶγμα ἐποίησας· ἐγὼ δὲ μὴ συνειδὼς ἐμαυτῷ παντελῶς τοιοῦτον πρᾶγμα ποιήσας, ἠρξάμην πληροφορεῖν αὐτὸν καὶ λέγει μοι· Συγχώρησον, οὐ πληροφοροῦμαι. Ἀναχωρήσας ἐγὼ εἰς τὸ κελλίον μου ἠρξάμην ἐρευνᾶν τὴν καρδίαν μου εἰ τοιοῦτον πρᾶγμα πέπρακται ἐν ἐμοὶ καὶ οὐχ εὕρισκον.

Βλέπω οὖν αὐτὸν κατέχοντα τὸ ποτήριον καὶ μεταδιδόντα καὶ ὀμνύω αὐτῷ ἐν αὐτῷ, ὅτι οὐ σύνοιδα ἐμαυτῷ τοῦτο ποιήσαντα, καὶ οὐκ ἐπείσθη. Ἐλθὼν πάλιν εἰς ἑαυτὸν καὶ μνησθεὶς τούτων τῶν λόγων τῶν ἁγίων πατέρων καὶ πιστεύσας αὐτοῖς, στρέφω μικρὸν τὸν λογισμόν μου καὶ λέγω ἐμαυτῷ· Ὁ διάκονος γνησίως ἀγαπᾷ με καὶ ἀπὸ ἀγάπης κινούμενος ἐθάρρησέ μοι ὃ εἶχεν ἡ καρδία αὐτοῦ περὶ ἐμοῦ, ἵνα νήψω καὶ τοῦ λοιποῦ φυλάξω καὶ μὴ ποιήσω αὐτό. Πλὴν ἐπειδή, ψυχὴ ἀθλία, λέγεις ὅτι οὐκ ἐποίησα τὸ πρᾶγμα τοῦτο, μυρία κακὰ πέπρακταί σοι καὶ ἐπελάθου αὐτῶν. Ποῦ εἰσιν ἃ ἐποίησας χθὲς ἢ πρὸ δέκα ἡμερῶν; Μέμνησαι αὐτῶν;

σία μακροχρόνια στό κοινόβιο. Οἱ ἐρημίτες τίς πέντε μέρες τῆς ἑβδομάδος ἔμεναν ἐντελῶς ἀπομονωμένοι. Προσεύχονταν, μελετοῦσαν τίς Γραφές καί ἔφτιαχναν κοφίνια ἀπό φοινικόφυλλα. Τό ἀπόγευμα τοῦ Σαββάτου ὅλοι συγκεντρώνονταν στό κοινόβιο γιά νά παραστοῦν στή Λειτουργία τῆς Κυριακῆς. Τήν ἑπομένη ἀφοῦ ἔδιναν λόγο τῶν πράξεών τους στόν ἡγούμενο καί ἐφοδιάζονταν μέ νερό, φοινικόφυλλα καί ὅ,τι ἄλλο ἀπαραίτητο, ἐπέστρεφαν στά κελιά τους. Μαγειρεμένο φαγητό ἔτρωγαν μόνο τό Σάββατο

κάποιον φίλο· καί ἐνῶ καθόμασταν κάποια μέρα καί μιλούσαμε γιά τήν ὠφέλεια τῆς ψυχῆς μας, θυμήθηκα αὐτά τά λόγια τοῦ ἀββᾶ Ποιμένος καί τοῦ ἄλλου ἀββᾶ· ὁπότε μοῦ λέει ὁ φίλος "ἔχω πείρα ἐγώ αὐτῶν τῶν λόγων καί τῆς ἀναπαύσεως πού φέρνουν, ὅταν κανείς τά ἐφαρμόζει. Γιατί κάποτε συνδεόμουν μέ ἕναν διάκονο τῆς Λαύρας μέ γνήσια ἀγάπη καί δέν ξέρω πῶς ἔγινε καί ὑποψιάστηκε σέ βάρος μου κάτι πού τοῦ προκάλεσε λύπη καί ἄρχισε νά μοῦ φέρεται ψυχρά. Καί καθώς τόν εἶδα ἐγώ σκυθρωπό, ζήτησα νά μάθω τήν αἰτία, ὁπότε μοῦ λέει 'ἔκανες τό τάδε πράγμα'· ἐγώ ὅμως εἶχα πέρα γιά πέρα ἥσυχη τή συνείδησή μου ὅτι δέν ἔκανα κάτι τέτοιο, καί ἄρχισα νά τόν διαβεβαιώνω, ἀλλά μοῦ λέει: 'Συγχώρεσέ με, δέν πείθομαι'. Γύρισα στό κελί μου καί ἄρχισα νά ψάχνω τά αἰσθήματά μου ἄν τυχόν εἶχε συμβεῖ κάτι τέτοιο, καί δέν εὕρισκα τίποτα.

Τόν βλέπω λοιπόν κάποια φορά νά κρατάει τό ἅγιο Ποτήριο καί νά κοινωνεῖ τούς ἀδελφούς καί τοῦ ὁρκίζομαι καί σ' αὐτό ὅτι δέν μέ ἐλέγχει ἡ συνείδησή μου νά ἔχω κάνει αὐτό τό πράγμα, ἀλλά δέν πείστηκε. Συγκεντρώθηκα πάλι στόν ἑαυτό μου καί θυμήθηκα τά παραπάνω λόγια τῶν ἁγίων πατέρων καί μ' ἐμπιστοσύνη σ' αὐτά δίνω κάποια στροφή στή σκέψη μου καί λέω στόν ἑαυτό μου: "Ὁ διάκονος πραγματικά μέ ἀγαπάει καί ἀπό ἀγάπη κινούμενος πῆρε τό θάρρος καί μοῦ εἶπε αὐτό πού εἶχε στήν καρδιά του γιά μένα, ὥστε νά συνέλθω καί στό ἑξῆς νά εἶμαι προσεκτικός καί νά μήν τό ξανακάνω.

Ἀλλά ἐσύ, ἄθλια ψυχή μου, λές ὅτι δέν τό ἔκανα αὐτό· μύρια κακά ἔχεις κάνει καί τά ξέχασες. Ποῦ εἶναι αὐτά πού ἔπραξες χθές ἤ πρίν ἀπό δέκα μέρες; Τά θυμᾶσαι; Ἄρα λοι-

---

καί τήν Κυριακή, γιατί ὅλες τίς ἄλλες μέρες δέν ἄναβαν στίς καλύβες τους οὔτε φωτιά οὔτε λυχνάρι.

Οὐκοῦν καὶ τοῦτο ἐποίησας ὡς ἐκεῖνα καὶ ἔλαθες ὡς καὶ τὰ πρῶτα. Καὶ οὕτως διεθέμην τὴν καρδίαν μου ὅτι ἐν ἀληθείᾳ ἐποίησα αὐτό· ἀλλ' ὥσπερ ἔλαθα τὰ πρῶτα, οὕτως καὶ τοῦτο· καὶ ἠρξάμην εὐχαριστεῖν τῷ Κυρίῳ καὶ τῷ διακόνῳ, ὅτι δι' αὐτοῦ ἠξίωσέ με ὁ Κύριος ἐπιγνῶναι τὸ σφάλμα μου καὶ μετανοῆσαι περὶ αὐτοῦ.

Ἀναστὰς οὖν ἐν τοιούτοις λογισμοῖς ἦλθον μετανοῆσαι τῷ διακόνῳ καὶ εὐχαριστῆσαι αὐτῷ· καὶ ὡς ἔκρουσα εἰς τὴν θύραν αὐτοῦ, ἀνοίξας βάλλει μοι μετάνοιαν πρῶτος λέγων· Συγχώρησόν μοι ὅτι ἀπὸ δαιμόνων ἐχλευάσθην ὑπονοήσας περὶ σοῦ εἰς τὸ πρᾶγμα ἐκεῖνο, ἐν ἀληθείᾳ γὰρ ἐπληροφόρησέ με ὁ Θεὸς ὅτι οὐκ ἔχεις πρᾶγμα. Καὶ ἔλεγεν· Οὐδὲ ἀφῆκέ με πληροφορῆσαι αὐτὸν λέγων· Οὐκ ἔστι χρεία.

Καὶ ἔλεγεν ὁ μακάριος· Ἰδοὺ ἡ γνησία ταπείνωσις πῶς διέθηκε τὴν καρδίαν τοῦ ποθοῦντος αὐτήν, ὡς μὴ μόνον μὴ σκανδαλισθῆναι εἰς τὸν διάκονον καὶ λυπηθῆναι κατ' αὐτοῦ, πρῶτον μὲν ὡς καὶ ὑπονοήσαντα, δεύτερον δὲ πληροφορηθέντα ὑπ' αὐτοῦ καὶ μὴ δεξάμενον πληροφορίαν, ἀλλὰ καὶ ἐπιγράψαι ἔτι ἑαυτῷ τὸ σφάλμα· καὶ οὐ μόνον τοῦτο ἀλλὰ καὶ προσευχαριστῆσαι αὐτῷ. Καὶ ἔλεγεν· Ὁρᾷς τί ποιεῖ ἡ ἀρετή; Πόσους βαθμοὺς προκοπῆς ἔχει τῷ ποιοῦντι αὐτήν; Εἰ γὰρ ἠθέλησε, μυρίας ἀφορμὰς ἔλαβε διὰ τοῦ διακόνου εἰς τὸ γενέσθαι αὐτὸν δαίμονα, ἀλλ' ἐπειδὴ ὥρμησεν εἰς τὴν ἀρετήν, οὐ μόνον οὐκ ἐλυπήθη κατ' αὐτοῦ, ἀλλὰ καὶ προσευχαρίστησεν αὐτῷ τῆς ἀρετῆς προκαταλαβούσης τὴν καρδίαν αὐτοῦ.

Οὕτω καὶ ἡμεῖς, εἰ προελαμβάνομεν καὶ διετίθεμεν καλῶς τὴν καρδίαν ἡμῶν ἐν τοῖς σπέρμασι τῆς πραΰτητος καὶ τῆς ταπεινότητος, οὐκ ἂν εἶχε χώραν ὁ ἐχθρὸς σπείρειν

πόν καί αὐτό τό ἔκαμες ὅπως κι ἐκεῖνα καί τό ξέχασες, ὅπως καί τά προηγούμενα. Καί διέθεσα ἔτσι τήν καρδιά μου ὅτι πραγματικά τό ἔκανα ἀλλά τό ξέχασα κι αὐτό, ὅπως καί τά ἄλλα, καί ἄρχισα νά εὐχαριστῶ τόν Κύριο καί τόν διάκονο, γιατί μέ ἀφορμή αὐτόν μέ ἀξίωσε ὁ Κύριος νά καταλάβω τό σφάλμα μου καί νά μετανοήσω γι' αὐτό.

Μέ τέτοιους λογισμούς σηκώθηκα καί πῆγα νά βάλω μετάνοια στόν διάκονο καί νά τόν εὐχαριστήσω· καί μόλις χτύπησα τήν πόρτα του, ἀνοίγει καί μοῦ βάζει πρῶτος μετάνοια λέγοντας: Συγχώρεσέ με, γιατί περιγελάστηκα ἀπό τούς δαίμονες καί ὑποψιάστηκα ἐσένα γιά τό θέμα ἐκεῖνο. Γιατί πραγματικά μέ πληροφόρησε ὁ Θεός ὅτι δέν ἔχεις εὐθύνη." Καί ἔλεγε ὁ φίλος μου: "Δέν μέ ἄφησε νά τόν διαβεβαιώσω λέγοντας: Δέν χρειάζεται"».

Καί πρόσθεσε ὁ μακάριος: «Νά, ἡ γνήσια ταπείνωση πῶς διέθεσε τήν καρδιά αὐτοῦ πού τήν ποθοῦσε, ὥστε ὄχι μόνο νά μή σκανδαλιστεῖ μέ τόν διάκονο καί νά μή στενοχωρηθεῖ μαζί του, πρῶτα γιατί τόν ὑποψιάστηκε, καί δεύτερον γιατί, ἐνῶ τόν διαβεβαίωνε, δέν δέχθηκε τή διαβεβαίωσή του, ἀλλά, ἀντίθετα, νά ἀποδώσει στόν ἑαυτό του τό σφάλμα καί ὄχι μόνο αὐτό, ἀλλά ἐπιπλέον καί νά τόν εὐχαριστήσει».

Ἐπίσης ἔλεγε: «Βλέπεις τί κάνει ἡ ἀρετή; Πόσους βαθμούς προκοπῆς ἔχει γι' αὐτόν πού τήν ἐπιδιώκει; Γιατί ἄν ἤθελε (ὁ φίλος μου), μύριες ἀφορμές εἶχε ἀπό τόν διάκονο γιά νά γίνει δαίμονας. Ἀλλά ἐπειδή κατέφυγε στήν ἀρετή, ὄχι μόνο δέν στενοχωρήθηκε ἐναντίον του, ἀλλά καί τόν εὐχαρίστησε, ἐφόσον πρόλαβε ἡ ἀρετή καί κυριάρχησε στήν καρδιά του.

Ἔτσι κι ἐμεῖς, ἄν προλαβαίναμε καί διαθέταμε σωστά τήν καρδιά μας στά σπέρματα τῆς πραότητας καί τῆς ταπεινοφροσύνης, δέν θά εὕρισκε τόπο ὁ ἐχθρός γιά νά σπεί-

ἐν αὐτῷ τὰ κακὰ σπέρματα. Ἀλλ᾽ ἐπειδὴ εὑρίσκει ἡμᾶς ἐρήμους παντὸς λογισμοῦ ἀγαθοῦ ἢ μᾶλλον δὲ καὶ ἐρεθίζοντας ἑαυτοὺς εἰς κακίαν, διὰ τοῦτο λαβὼν παρ᾽ ἡμῶν ἀφορμὰς τὰ αὐτοῦ ἀναπληροῖ. Ὥσπερ τοὐναντίον συμβαίνει ἐπὶ τῆς ἀρετῆς, ὅτι ἐὰν ἴδῃ Κύριος ψυχὴν διψῶσαν σωθῆναι καὶ γεωργοῦσαν σπέρματα ἀγαθά, ἰδὼν τὴν ἀγαθὴν αὐτῆς προαίρεσιν τὰ παρ᾽ αὐτοῦ δωρήματα ἀναπληροῖ.

ιε΄. Ποτὲ δὲ μνησθεὶς τοῦ Γέροντος τοῦ κλεπτομένου ὑπὸ τοῦ ἀδελφοῦ τοῦ γειτνιῶντος αὐτῷ, ὅτι εἰδὼς οὐκ ἤλεγξεν αὐτόν ποτε, ἀλλὰ καὶ περισσότερον εἰργάζετο λέγων· Τάχα χρείαν ἔχει ὁ ἀδελφός. Ἐθαύμαζεν οὖν τὰ σπλάγχνα τῶν ἁγίων καὶ διηγήσατο λέγων ὅτι· Ποτὲ γενόμενος ἐν τῇ πεδιάδι διηγήσατό μοί τις τῶν ἡγουμένων ὅτι ἔμενεν ἐγγὺς τοῦ κοινοβίου ἡμῶν Γέρων τις· ἦν δὲ ἀγαθοτάτης ψυχῆς· ἐγειτνίαζε δὲ αὐτῷ ἀδελφός. Καὶ ἀπόντος τοῦ Γέροντος ἐνεργηθεὶς ὑπὸ τοῦ σατανᾶ ἀνοίξας τὴν κέλλαν αὐτοῦ καὶ εἰσελθὼν ἐν αὐτῇ ἔλαβε τὰ σκεύη αὐτοῦ καὶ τὰ βιβλία. Ὡς οὖν ἦλθεν ὁ Γέρων, ἀνοίξας τὸ κελλίον καὶ μὴ εὑρὼν τὰ σκεύη αὐτοῦ ἦλθε πρὸς τὸν ἀδελφὸν ἀναγγεῖλαι αὐτῷ καὶ εὗρεν ἀκμὴν τὰ σκεύη αὐτοῦ ἐν τῷ μέσῳ —οὔπω γὰρ ἦν ὁ ἀδελφὸς συστείλας αὐτὰ— καὶ θέλων ὁ Γέρων μὴ καταισχύναι αὐτὸν μηδὲ ἐλέγξαι, ἐποίησεν ἑαυτὸν ὡς ὅτι ἔνυξεν αὐτὸν ἡ γαστὴρ αὐτοῦ καὶ ἀπελθὼν ἔμεινεν εἰς τὰ ἀναγκαῖα ἱκανὴν ὥραν, ἕως οὗ συστείλῃ ὁ ἀδελφὸς ἐκ τοῦ μέσου τὰ

ρει στόν ἴδιο χῶρο τά κακά σπέρματα. Ἀλλά ἐπειδή μᾶς βρίσκει ἔρημους ἀπό κάθε καλό λογισμό ἤ μᾶλλον καί νά ἐρεθίζουμε τούς ἑαυτούς μας πρός τήν κακία, γι᾽ αὐτό παίρνει ἀφορμές ἀπό μᾶς καί συμπληρώνει τά δικά του. Ὅπως ἀκριβῶς τό ἀντίθετο συμβαίνει στήν ἀρετή· γιατί ἄν δεῖ ὁ Κύριος μιά ψυχή νά ἔχει δίψα γιά τή σωτηρία της καί νά καλλιεργεῖ καλά σπέρματα, βλέποντας τήν καλή της προαίρεση, ἀναπληρώνει μέ τίς δικές του δωρεές».

«Αὐτός κι ἄν ὅλο τόν κόσμο εἶχε, θά ἦταν σάν νά μήν τόν εἶχε».

ιε΄. Κάποτε πάλι θυμήθηκε τόν Γέροντα πού τόν ἔκλεβε ὁ γείτονας ἀδελφός του καί παρόλο πού τό ἤξερε, δέν τοῦ ᾽κανε ποτέ παρατήρηση ἀλλά δούλευε περισσότερο (ν᾽ ἀναπληρώνει ὅσα ἔπαιρνε ἐκεῖνος) λέγοντας «ἴσως ἔχει ἀνάγκη ὁ ἀδελφός». Θαύμαζε λοιπόν τή σπλαχνικότητα τῶν ἁγίων καί μᾶς διηγήθηκε τό ἑξῆς: «Κάποτε, πού βρέθηκα στήν πεδιάδα, μοῦ διηγήθηκε κάποιος ἀπ᾽ τούς ἡγουμένους ὅτι ἔμενε κοντά στό κοινόβιο ἕνας Γέροντας πού εἶχε ἀγαθότατη ψυχή· καί γειτονικά μ᾽ αὐτόν ἔμενε ἕνας ἄλλος ἀδελφός. Κάποια φορά πού ἀπουσίαζε ὁ Γέροντας, ὁ ἀδελφός αὐτός ἀπό ἐπήρεια τοῦ Σατανᾶ, ἄνοιξε τό κελί τοῦ Γέροντα, μπῆκε μέσα καί τοῦ πῆρε τά σκεύη του καί τά βιβλία του. Ὅταν ὁ Γέροντας γύρισε καί ἄνοιξε τό κελί του, δέν βρῆκε τά πράγματά του καί πῆγε στόν ἀδελφό νά τοῦ τό ἀναγγείλει. Ἀλλά ἐκεῖ εἶδε τά σκεύη του πού ἦταν μές στή μέση —γιατί ἀκόμη δέν εἶχε προλάβει ὁ ἀδελφός νά τά συμμαζέψει— καί ἐπειδή ὁ Γέροντας δέν ἤθελε νά τόν ντροπιάσει οὔτε νά τόν ἐλέγξει, προσποιήθηκε ὅτι τόν πόνεσε ἡ κοιλιά· βγῆκε ἀμέσως καί ἔμεινε στό ἀποχωρητήριο ἀρκετή ὥρα, ὥσπου νά συμμαζέψει ὁ ἀδελφός ἀπ᾽ τή μέση

σκεύη. Καὶ ἐλθὼν ὁ Γέρων μετὰ ταῦτα ἤρξατο λαλεῖν αὐτῷ περὶ ἄλλου πράγματος καὶ τὸν ἀδελφὸν οὐκ ἤλεγξε.

Μεθ᾽ ἡμέρας δὲ ἐγνωρίσθησαν τὰ σκεύη τοῦ Γέροντος· καὶ λαβόντες αὐτόν τινες ἔβαλον εἰς φυλακήν, τοῦ Γέροντος μὴ μαθόντος. Ἀκούσας δὲ περὶ τοῦ ἀδελφοῦ ὅτι εἰς τὴν φυλακήν ἐστι, τὴν αἰτίαν δὲ οὐκ ᾔδει δι᾽ ἣν εἰς τὴν φυλακὴν ἐβέβλητο, ἀλλ᾽ ἐλθὼν —φησὶν ὁ ἡγούμενος— πρός με, ἐπύκναζε γὰρ πρὸς ἡμᾶς, λέγει μοι· Ποίησον ἀγάπην, δός μοι ὀλίγα ᾠὰ καὶ ὀλίγα καθαρά. Καὶ λέγω αὐτῷ· Πάντως ἔχεις τινὰς σήμερον; Λέγει μοι· Ναί· ἦν δὲ λαβὼν αὐτὰ ὁ Γέρων, ἵνα εἰσελθὼν εἰς τὴν φυλακὴν ποιήσῃ παράκλησιν τῷ ἀδελφῷ. Ὡς οὖν εἰσῆλθεν εἰς τὴν φυλακήν, πίπτει ὁ ἀδελφὸς εἰς τοὺς πόδας αὐτοῦ καὶ λέγει αὐτῷ· Διὰ σέ εἰμι ὧδε, ἀββᾶ, ἐγὼ γάρ εἰμι ὁ κλέψας τὰ σκεύη σου, ἀλλ᾽ ἰδοὺ τὸ βιβλίον σου παρὰ τῷδέ ἐστι καὶ τὸ ἱμάτιόν σου παρὰ τῷδε. Λέγει αὐτῷ ὁ Γέρων· Πληροφορηθήτω ἡ καρδία σου, τέκνον· οὐ διὰ τοῦτο ἦλθον ὧδε, οὐδὲ ὅλως ἔμαθον ὅτι δι᾽ ἐμὲ εἶ ὧδε, ἀλλὰ ἀκούσας ὅτι ὧδε εἶ καὶ λυπηθείς, εἰσῆλθον ποιῆσαί σοι παράκλησιν· καὶ ἰδοὺ ἴδε τὰ ᾠὰ καὶ τὰ καθαρά· νῦν οὖν πάντα ποιήσω, ἕως οὗ ἐκβάλω σε ἐκ τῆς φυλακῆς. Καὶ ἀπελθὼν παρεκάλεσέ τινας τῶν μεγάλων —ἦν γὰρ γνωστὸς αὐτοῖς διὰ τὴν ἀρετὴν αὐτοῦ— καὶ πέμψαντες ἐξέβαλον αὐτὸν ἐκ τῆς φυλακῆς.

Διηγοῦντο δὲ πάλιν περὶ τοῦ Γέροντος ὅτι ποτὲ ἀπελθὼν εἰς τὴν ἀγορὰν ἀγοράσαι ἑαυτῷ ἱμάτιον καὶ δοὺς τὸ ἓν χρυσίον, ἐλίπετο αὐτῷ ἀναπληρῶσαι νουμία· καὶ λαβὼν τὸ ἱμάτιον ἔθηκεν ὑποκάτω αὐτοῦ καὶ ὡς ἐμέτρει τὸ κέρμα εἰς

204. Νουμίον: μικρό νόμισμα (χρυσό ἢ ἀργυρό ἢ χάλκινο).

τά σκεύη. Κι ὅταν γύρισε ὁ Γέροντας ὕστερα ἀπ᾽ αὐτά, ἄρχισε νά τοῦ μιλάει γιά ἄλλα πράγματα καί δέν ἤλεγξε τόν ἀδελφό.

Ὕστερα ἀπό μερικές ἡμέρες κάποιοι ἀναγνώρισαν τά σκεύη τοῦ Γέροντα καί ἔπιασαν τόν ἀδελφό καί τόν ἔριξαν στή φυλακή, χωρίς νά τό ξέρει ὁ Γέροντας. Ἄκουσε ὅμως ὅτι ὁ ἀδελφός βρίσκεται στή φυλακή, ἀλλά δέν ἤξερε γιά ποιόν λόγο. "Ἔρχεται λοιπόν σέ μένα —λέει ὁ ἡγούμενος— γιατί σύχναζε σέ μᾶς, καί μοῦ λέει: Κάνε μου τή χάρη καί δός μου λίγα αὐγά καί λίγα ἄσπρα ψωμάκια. Καί τοῦ λέω: Ἐξάπαντος ἔχεις κάποιους σήμερα; Ναί, μοῦ ἀπαντᾶ· ἀλλά ὁ Γέροντας τά πῆρε γιά νά τά πάει στή φυλακή καί νά παρηγορήσει τόν ἀδελφό".

Μόλις λοιπόν μπῆκε στή φυλακή (συνέχισε ὁ ἀββᾶς Ζωσιμᾶς), πέφτει ὁ ἀδελφός στά πόδια του καί τοῦ λέει: "Γιά σένα εἶμαι ἐδῶ, ἀββᾶ, γιατί ἐγώ εἶμαι πού σοῦ ἔκλεψα τά πράγματα, ἀλλά νά τό βιβλίο σου εἶναι στόν τάδε καί τό ἔνδυμά σου στόν τάδε".

Κι ὁ Γέροντας τοῦ λέει: "Νά εἶσαι βέβαιος, παιδί μου, πώς δέν ἦρθα ἐδῶ γι᾽ αὐτόν τόν σκοπό κι οὔτε κἄν ἔμαθα ὅτι ἐξαιτίας μου εἶσαι ἐδῶ· ἀλλά ἐπειδή ἄκουσα πώς εἶσαι ἐδῶ καί λυπήθηκα, ἦρθα γιά νά σέ παρηγορήσω· νά, δές καί τ᾽ αὐγά καί τά ψωμάκια. Καί τώρα θά κάνω τό πᾶν, ὥσπου νά σέ βγάλω ἀπ᾽ τή φυλακή". Πράγματι πῆγε καί παρακάλεσε κάποιους ἀπ᾽ τούς μεγάλους —γιατί τούς ἦταν γνωστός λόγω τῆς ἀρετῆς του— καί αὐτοί ἔστειλαν καί τόν ἔβγαλαν ἀπ᾽ τή φυλακή.

Διηγοῦνταν ἀκόμη γιά τόν Γέροντα αὐτόν πώς κάποτε πῆγε στήν ἀγορά γιά νά ἀγοράσει ἔνδυμα γιά τόν ἑαυτό του καί ἀφοῦ ἔδωσε ἕνα χρυσό νόμισμα, ὑπολείπονταν κάποια νουμία[204] γιά νά συμπληρώσει τό ποσόν· πῆρε λοιπόν τό ἔνδυμα καί κάθισε ἐπάνω του καί, καθώς μετροῦσε τά

τὸ πλακίον, ἰδού τις ἔρχεται θέλων ἐπᾶραι τὸ ἱμάτιον. Καὶ αἰσθόμενος ὁ Γέρων ἐνόησε καὶ ἔχων σπλάγχνα οἰκτιρμῶν ἐκούφιζεν ἑαυτὸν κατὰ μικρόν, ὡς δῆθεν ἐπεκτείνων ἑαυτὸν πρὸς τὸ διάστημα τοῦ κέρματος, ἕως οὗ ἐπῆρε τὸ ἱμάτιον καὶ ἀπῆλθεν καὶ οὐκ ἤλεγξεν αὐτὸν ὁ Γέρων.

Καὶ ἔλεγεν ὁ μακάριος· Πόσου ἦν ἄξιον τὸ ἱμάτιον ἢ τὰ σκεύη ἃ ἀπώλεσεν, ἀλλ' ὅμως ἡ προαίρεσις μεγάλη· ἔδειξε γὰρ ὅτι ἔχων αὐτὰ ὡς μὴ ἔχων τίποτε οὕτως ἦν. Ἀμέλει ὅταν ἐπήρθησαν, ἔμεινεν ὁ αὐτός, μήτε λυπούμενος μήτε ταρασσόμενος· καὶ γὰρ ὡς ἀεὶ λέγω αὐτό· ἔχειν οὐ βλάπτει, ἀλλὰ τὸ προσπαθῶς ἔχειν. Οὗτος εἰ εἶχεν ὅλον τὸν κόσμον, οὕτως ἦν ὡς μὴ ἔχων· ἐξ ὧν γὰρ ἐποίησεν ἔδειξεν αὐτὸν ἐλεύθερον ἀπὸ πάντων.

Τέλος τῆς πραγματείας
τῆς παραινέσεως τῶν ἁγίων Πατέρων
εἰς προκοπὴν τελειότητος.



κέρματα στήν πλάκα, νά καί ἦρθε κάποιος θέλοντας νά κλέψει τό ροῦχο. Ὁ Γέροντας τόν ἀντιλήφθηκε καί κατάλαβε· καί ἀπό τή μεγάλη του εὐσπλαχνία ἀνασηκωνόταν λίγο-λίγο σάν νά τέντωνε τό σῶμα του πρός τό μέρος πού ἦταν τά κέρματα, ὥσπου ὁ ἄλλος πῆρε τό ροῦχο καί ἔφυγε κι ὁ Γέροντας δέν εἶπε τίποτε».

Καί ἔλεγε ὁ μακάριος Ζωσιμᾶς: «Πόση ἀξία εἶχε τό ἔνδυμα ἤ τά πράγματα πού ἔχασε, ἀλλ' ὅμως ἡ προαίρεσή του ἦταν μεγάλη. Γιατί ἀπέδειξε πώς τά εἶχε αὐτά καί ἦταν σάν νά μήν εἶχε τίποτε· μάλιστα ὅταν τοῦ τά πῆραν, ἔμεινε ὁ ἴδιος· οὔτε λυπήθηκε οὔτε ταράχθηκε. Καί ἀποδεικνύεται, ὅπως πάντα τό λέω: δέν βλάπτει τό νά κατέχει κανείς, ἀλλά τό νά κατέχει μέ πάθος.

Αὐτός κι ἄν ὅλο τόν κόσμο εἶχε, θά ἦταν ἔτσι σάν νά μήν τόν εἶχε. Γιατί μ' ὅσα ἔκανε, ἀπέδειξε πώς ὁ ἴδιος ἦταν ἐλεύθερος ἀπ' ὅλα».

Τέλος τῆς πραγματείας
τῆς παραινέσεως τῶν ἁγίων πατέρων
γιά προκοπή στήν τελειότητα.






ΚΕΦΑΛΑΙΟ Β΄

«Οὐ δύναται ἡ ψυχὴ
ὡς δεῖ τὸν Θεὸν ἐπιγνῶναι,
ἐὰν μὴ συστείλῃ ἑαυτὴν ἀπὸ τῶν ἀνθρώπων
καὶ ἀπὸ παντὸς περισπασμοῦ».

(Ἀββᾶ Ἀμμωνᾶ Ἐπιστ. Α΄)



Ὅτι δεῖ τὴν ἡσυχίαν πάσῃ σπουδῇ μεταδιώκειν




ἀββᾶς Ἀντώνιος καθεζόμενος ποτὲ ἐν τῇ ἐρήμῳ ἐν ἀκηδίᾳ γέγονε καὶ πολλῇ σκοτώσει λογισμῶν καὶ ἔλεγε πρὸς τὸν Θεόν· Κύριε, θέλω σωθῆναι καὶ οὐκ ἐῶσί με οἱ λογισμοί· τί ποιήσω ἐν τῇ θλίψει μου, πῶς σωθῶ;

Καὶ μικρὸν διαναστὰς ἐπὶ τὰ ἔξω θεωρεῖ τινα ὡς ἑαυτὸν ὁ Ἀντώνιος καθεζόμενον καὶ ἐργαζόμενον, εἶτα ἀνιστάμενον ἀπὸ τοῦ ἔργου καὶ προσευχόμενον καὶ πάλιν καθεζόμενον καὶ τὴν σειρὰν πλέκοντα, εἶτα πάλιν εἰς προσευχὴν ἀνιστάμενον. Ἦν δὲ ἄγγελος Κυρίου ἀποσταλεὶς πρὸς διόρθωσιν καὶ ἀσφάλειαν τοῦ Ἀντωνίου. Καὶ ἤκουσε τοῦ ἀγγέλου λέγοντος· Οὕτως ποίει καὶ σῴζῃ. Ὁ δὲ τοῦτο ἀκούσας πολλὴν χαρὰν ἔσχεν καὶ θάρσος καὶ οὕτως ποιῶν ἐσῴζετο.

---

1. Ὁ ὅρος ἡσυχία-ἡσυχάζω (ἡσυχαστής) ἐδῶ στά πατερικά κείμενα σημαίνει τρόπο ζωῆς καί ἰδιαίτερη πνευματική στάση τῆς ψυχῆς ἐνώπιον τοῦ Θεοῦ καί τοῦ ἑαυτοῦ της. Ὁ τρόπος αὐτὸς τῆς ζωῆς θεμελιώνεται σέ δυό βασικές ἀρχές: στήν ἀπομάκρυνση τοῦ μοναχοῦ (τήν τοπική καί τήν τροπική) ἀπό τόν κόσμο, καί στήν ἀδιάλειπτη ἐν ἡσυχίᾳ προσευχή.

Μακριά ἀπό τόν θόρυβο καί τούς περισπασμούς τῆς κατά κόσμον ζωῆς ὁ μοναχός, συγκεντρωμένος «εἰς ἑαυτόν» καί «ἐνώπιος ἐνωπίῳ τῷ Θεῷ» προσεύχεται ἀνελλιπῶς καί ἐπικαλεῖται, ὄχι μόνο γιά τόν ἑαυτό του ἀλλά καί γιά τόν κόσμο ὅλον, τό ἔλεος τοῦ Θεοῦ. Ταυτόχρονα μαθητεύει στό μυστήριο τῆς κοινωνίας μέ τόν Θεό καί τήν βιώνει στό μέτρο πού ἡ Χάρη τοῦ Θεοῦ τοῦ τήν παραχωρεῖ.



Γιά τό ὅτι πρέπει νά ἐπιδιώκουμε τήν «ἡσυχία»[1] μέ κάθε δυνατό τρόπο



ταν ὁ ἀββᾶς Ἀντώνιος* ἀσκήτευε στήν ἔρημο, ἔπεσε κάποτε σέ ἀκηδία[1α] καί σέ μεγάλη σύγχυση τῶν λογισμῶν του καί ἔλεγε στόν Θεό: «Κύριε, θέλω νά σωθῶ ἀλλά δέν μ' ἀφήνουν οἱ λογισμοί μου. Τί νά κάνω μέ τή θλίψη μου αὐτή; Πῶς νά σωθῶ;»

Κάποια φορά λοιπόν βγῆκε λίγο πρός τά ἔξω καί βλέπει κάποιον σάν τόν ἑαυτό του νά κάθεται καί νά κάνει ἐργόχειρο. Μετά ἀπό λίγο ἄφηνε τό ἐργόχειρο, σηκωνόταν καί προσευχόταν· καί ξανά καθόταν καί συνέχιζε νά πλέκει τό σχοινί του. Ὕστερα πάλι σηκωνόταν γιά προσευχή. Ἦταν ἄγγελος Κυρίου πού εἶχε σταλεῖ γιά νά διορθώσει τόν Ἀντώνιο καί νά τοῦ δώσει σιγουριά· καί ἄκουσε τόν ἄγγελο νά τοῦ λέει: «Κάνε κι ἐσύ τό ἴδιο καί θά σωθεῖς». Καί ὁ Ἀντώνιος ὅταν τ' ἄκουσε, πῆρε μεγάλη χαρά καί κουράγιο. Καί ἔτσι κάνοντας προχωροῦσε στό ἔργο τῆς σωτηρίας του.

1α. Βλ. ὑποσημ. 109 σελ. 124.

2. Εἶπεν ὁ ἀββᾶς Ἀντώνιος· Ὥσπερ οἱ ἰχθύες ἐγχρονίζοντες ἔξω τῆς θαλάσσης τῇ ξηρᾷ τελευτῶσιν, οὕτω καὶ οἱ μοναχοὶ βραδύνοντες ἔξω τοῦ κελλίου ἢ μετὰ κοσμικῶν διατρίβοντες πρὸς τὸν τῆς ἡσυχίας τόνον ἐκλύονται· δεῖ οὖν ὥσπερ τὸν ἰχθὺν εἰς τὴν θάλασσαν, οὕτως καὶ ἡμᾶς εἰς τὸ κελλίον ἐπείγεσθαι, μήποτε βραδύνοντες ἔξω ἐπιλαθώμεθα τῆς ἔνδον φυλακῆς.

3. Εἶπε πάλιν ὅτι· Ὁ καθήμενος ἐν τῇ ἐρήμῳ καὶ ἡσυχάζων τριῶν ἀπαλλάττεται πολέμων, τῆς ἀκοῆς καὶ τῆς λαλιᾶς καὶ τοῦ βλέπειν· πρὸς ἕνα δὲ μόνον ἔχει, τὸν τῆς καρδίας.

4. Ὁ ἀββᾶς Ἀρσένιος ἔτι ὢν ἐν τῷ παλατίῳ ηὔξατο τῷ Θεῷ λέγων· Κύριε, ὁδήγησόν με πῶς σωθῶ. Καὶ ἦλθεν αὐτῷ φωνὴ λέγουσα· Ἀρσένιε, φεῦγε τοὺς ἀνθρώπους καὶ σῴζῃ.

5. Ὁ αὐτὸς ἀναχωρήσας ἐν τῷ μονήρει βίῳ πάλιν ηὔξατο τὸν αὐτὸν λόγον εἰπὼν καὶ ἤκουσε φωνῆς λεγούσης αὐτῷ· Ἀρσένιε, φεῦγε, σιώπα, ἡσύχαζε, αὗται γάρ εἰσιν αἱ ῥίζαι τῆς ἀναμαρτησίας.

6. Παρέβαλέ ποτε ὁ μακάριος Θεόφιλος, ὁ ἀρχιεπίσκοπος Ἀλεξανδρείας, τῷ ἀββᾷ Ἀρσενίῳ μετὰ ἄρχοντός τινος· ἠρώτα δὲ τὸν Γέροντα ἀκοῦσαι παρ' αὐτοῦ λόγον· μικρὸν δὲ σιωπήσας ὁ Γέρων ἀπεκρίνατο πρὸς αὐτόν· Καὶ ἐὰν ὑμῖν εἴπω, φυλάσσετε; Οἱ δὲ συνέθεντο φυλάσσειν. Καὶ εἶπεν αὐ-

2. Εἶπε ὁ ἀββᾶς Ἀντώνιος: «Ὅπως ἀκριβῶς τά ψάρια πεθαίνουν, ὅταν μένουν γιά μεγάλο χρονικό διάστημα στή στεριά, ἔτσι καί οἱ μοναχοί, ὅταν καθυστεροῦν ἔξω ἀπό τό κελί ἤ περνοῦν τήν ὥρα τους μέ κοσμικούς, χαλαρώνει μέσα τους ὁ ρυθμός τῆς ἄσκησης.

Ὅπως λοιπόν τό ψάρι βιάζεται νά ἐπιστρέψει στή θάλασσα, ἔτσι καί μεῖς πρέπει νά βιαζόμαστε νά γυρίσουμε στό κελί μας, γιατί ἀργοπορώντας ἔξω, ὑπάρχει κίνδυνος νά λησμονήσουμε τήν ἐσωτερική μας ἐπαγρύπνηση».

3. Εἶπε ἀκόμη: «Ὅποιος μένει στήν ἔρημο καί ἀσκητεύει, ἀπαλλάσσεται ἀπό τρεῖς πολέμους: τῆς ἀκοῆς, τῆς γλώσσας καί τῆς ὅρασης. Καί ἔχει ἕνα μόνο πόλεμο νά ἀντιμετωπίσει, τόν πόλεμο τῆς καρδιᾶς».

4. Ὁ ἀββᾶς Ἀρσένιος* ὅταν ἀκόμη ἦταν στό παλάτι, προσευχήθηκε στόν Θεό καί τοῦ εἶπε: «Κύριε, ὁδήγησέ με πῶς νά σωθῶ». Καί τοῦ ἦλθε μιά φωνή πού ἔλεγε: «Ἀρσένιε, ἀπόφευγε τούς ἀνθρώπους καί θά σωθεῖς».

5. Ὁ ἴδιος ὅταν ἔφυγε ἀπό τόν κόσμο καί ἐντάχθηκε στόν μοναχικό βίο, πάλι προσευχήθηκε λέγοντας τά ἴδια λόγια. Καί ἄκουσε μιά φωνή πού τοῦ ἔλεγε: «Ἀρσένιε, νά φεύγεις, νά σιωπᾶς, νά ἡσυχάζεις, γιατί αὐτές εἶναι οἱ ρίζες τῆς ἀναμαρτησίας».

6. Ἐπισκέφθηκε κάποτε ὁ μακάριος Θεόφιλος, ὁ ἀρχιεπίσκοπος τῆς Ἀλεξάνδρειας, τόν ἀββᾶ Ἀρσένιο μαζί μέ κάποιον ἄρχοντα. Ζητοῦσε ὁ ἀρχιεπίσκοπος ἀπό τόν Γέροντα νά ἀκούσει κάποιον λόγο. Ὁ Γέροντας ἀφοῦ σώπασε γιά λίγο, ἀποκρίθηκε: «Καί ἐάν σᾶς πῶ, θά τόν τηρήσετε;» Καί αὐτοί συμφώνησαν νά τόν τηρήσουν. Τούς

τοῖς ὁ Γέρων· Ὅπου ἐὰν ἀκούσητε Ἀρσένιον, μὴ πλησιάσητε.

7. Ἄλλοτε πάλιν βουληθεὶς ὁ ἀρχιεπίσκοπος παραβαλεῖν αὐτῷ ἀπέστειλε πρῶτον εἰδέναι εἰ ἀνοίγει ὁ Γέρων· καὶ ἐδήλωσεν αὐτῷ λέγων· Ἐὰν ἔλθῃς, ἀνοίγω σοι· καὶ ἐάν σοι ἀνοίξω, πᾶσιν ἀνοίγω καὶ τότε οὐκέτι καθέζομαι ὧδε. Ταῦτα ἀκούσας ὁ ἀρχιεπίσκοπος εἶπεν· Εἰ διῶξαι αὐτὸν ἀπέρχομαι, οὐκέτι ἀπέρχομαι πρὸς αὐτόν.

8. Εἶπέ τις τῷ ἀββᾷ Ἀρσενίῳ· Οἱ λογισμοί μου θλίβουσί με λέγοντες· Οὐ δύνασαι νηστεύειν οὐδὲ ἐργάσασθαι· κἂν ἐπισκέπτου τοὺς ἀσθενοῦντας, καὶ τοῦτο γὰρ ἀγάπη ἐστίν. Ὁ δὲ Γέρων εἰδὼς τὰς σπορὰς τῶν δαιμόνων λέγει αὐτῷ· Ὕπαγε, φάγε, πίε, κοιμῶ καὶ μὴ ἐργάσῃ· μόνον τοῦ κελλίου σου μὴ ἀποστῇς· ᾔδει γὰρ ὅτι ἡ ὑπομονὴ τοῦ κελλίου φέρει τὸν μοναχὸν εἰς τὴν τάξιν αὐτοῦ.

9. Εἶπεν ὁ ἀββᾶς Μᾶρκος τῷ ἀββᾷ Ἀρσενίῳ· Διατί φεύγεις ἡμᾶς; Λέγει αὐτῷ ὁ Γέρων· Ὁ Θεὸς οἶδεν ὅτι ἀγαπῶ ὑμᾶς, ἀλλ' οὐ δύναμαι εἶναι μετὰ τοῦ Θεοῦ καὶ μετὰ τῶν ἀνθρώπων. Αἱ ἄνω χιλιάδες καὶ μυριάδες ἕνα θέλημα ἔχουσιν, οἱ δὲ ἄνθρωποι πολλὰ θελήματα ἔχουσιν· οὐ δύναμαι οὖν ἀφῆναι τὸν Θεὸν καὶ ἐλθεῖν μετὰ τῶν ἀνθρώπων.

εἶπε τότε ὁ Γέροντας: «Ὅπου ἀκούσετε ὅτι βρίσκεται ὁ Ἀρσένιος, μήν πλησιάσετε».

7. Ἄλλη φορά πάλι πού ἤθελε ὁ ἀρχιεπίσκοπος νά τόν ἐπισκεφθεῖ, ἔστειλε ἄνθρωπό του πρῶτα, γιά νά δεῖ, ἄν θά τοῦ ἀνοίξει ὁ Γέροντας. Καί ὁ Γέροντας τοῦ δήλωσε τά ἑξῆς: «Ἐάν ἔλθεις, θά σοῦ ἀνοίξω· καί ἐάν ἀνοίξω σέ σένα, σ' ὅλους θά ἀνοίγω. Καί τότε δέν θά μένω πιά ἐδῶ». Ὅταν τ' ἄκουσε αὐτά ὁ ἀρχιεπίσκοπος εἶπε: «Ἐάν πηγαίνω γιά νά τόν διώξω, δέν ξαναπηγαίνω».

8. Εἶπε κάποιος στόν ἀββᾶ Ἀρσένιο: «Μέ στενοχωροῦν οἱ λογισμοί μου, γιατί μοῦ λένε: Νά νηστέψεις δέν μπορεῖς οὔτε καί νά ἐργαστεῖς· τουλάχιστον νά ἐπισκέπτεσαι τούς ἀρρώστους· καί αὐτό εἶναι ἔργο ἀγάπης». Ὁ Γέροντας ὅμως, ἐπειδή γνώριζε αὐτά πού σπέρνουν οἱ δαίμονες, τοῦ λέει: «Πήγαινε, φάγε, πιές, κοιμήσου καί μήν ἐργάζεσαι· μόνο μήν ἀπομακρυνθεῖς ἀπ' τό κελί σου». Γιατί ἤξερε ὅτι ἡ ὑπομονητική ζωή τοῦ κελιοῦ ὁδηγεῖ τόν μοναχό στή μοναχική του τάξη.

9. Εἶπε ὁ ἀββᾶς Μάρκος στόν ἀββᾶ Ἀρσένιο: «Γιατί μᾶς ἀποφεύγεις;» Καί τοῦ λέει ὁ Γέροντας: «Ὁ Θεός γνωρίζει ὅτι σᾶς ἀγαπῶ. Ἀλλά δέν μπορῶ νά εἶμαι μαζί μέ τόν Θεό καί μαζί μέ τούς ἀνθρώπους. Οἱ μυριάδες καί χιλιάδες Δυνάμεις τῶν Οὐρανῶν ἕνα θέλημα ἔχουν· ἐνῶ οἱ ἄνθρωποι πολλά θελήματα ἔχουν. Δέν μπορῶ ἑπομένως ν' ἀφήσω τόν Θεό καί νά πάω μέ τούς ἀνθρώπους»[2].

2. Ἡ ἀπάντηση τοῦ ἀββᾶ (γιά νά γίνει πιό κατανοητή ἀπό μέρους μας) μποροῦμε νά ποῦμε ὅτι σημαίνει τό ἑξῆς: Οἱ ἄγγελοι στόν Οὐρανό ἔχουν ὅλοι ἕνα θέλημα, τό νά εἶναι σέ συνεχῆ κοινωνία μέ τόν Θεό, νά θεωροῦν καί νά ὑμνοῦν τή δόξα του. Καί ὁ μοναχός πού καλεῖται σέ ἰσάγγελη ζωή, πρέπει νά ἔχει τό ἕνα θέλημα τῶν ἀγγέλων, νά βρίσκεται δηλαδή σέ συνεχῆ κοινωνία μέ τόν Θεό. Ἄν ὅμως ἔχει τόν περισπασμό τῆς ἀναστροφῆς μέ ἀνθρώπους, οἱ ὁποῖοι ἔχουν πολλά θελήματα καί διάφορα ἀπό τό θέλημα τοῦ Θεοῦ, ἀστοχεῖ στό κύριο ἔργο του.

10. Ἔλεγον δὲ ὅτι εἶχε τὸ διάστημα τοῦ κελλίου αὐτοῦ μίλια τριάκοντα δύο, οὐκ ἐξήρχετο δὲ ταχέως· ἄλλοι γὰρ ἐποίουν αὐτῷ τὸ διακόνημα. Ὅτε δὲ ἠρημώθη ἡ Σκήτη, ἐξῆλθε κλαίων καὶ ἔλεγεν· Ἀπώλεσεν ὁ κόσμος τὴν Ῥώμην καὶ οἱ μοναχοὶ τὴν Σκήτην.

11. Παρέβαλέ ποτε ὁ ἀββᾶς Ἀρσένιος εἰς τόπον καὶ ἦσαν ἐκεῖ κάλαμοι καὶ ἐκινήθησαν ὑπὸ τοῦ ἀνέμου. Καὶ λέγει ὁ Γέρων τοῖς ἀδελφοῖς· Τί ἐστιν ὁ σεισμὸς οὗτος; Καὶ λέγουσι· Κάλαμοί εἰσι. Καὶ λέγει αὐτοῖς ὁ Γέρων· Φύσει ἐὰν κάθηταί τις ἐν ἡσυχίᾳ, ἀκούσῃ δὲ φωνῆς στρουθίου, οὐκ ἔχει ἡ καρδία τὴν αὐτὴν ἡσυχίαν· πόσῳ μᾶλλον ὑμεῖς ἔχοντες τὸν σεισμὸν τῶν καλάμων τούτων.

12. Καθημένου ποτὲ τοῦ ἀββᾶ Ἀρσενίου εἰς τὸν Κάνωπον Ἀλεξανδρείας, ἦλθε μία συγκλητικὴ παρθένος πλουσία σφόδρα καὶ φοβουμένη τὸν Θεὸν ἀπὸ Ῥώμης ἰδεῖν αὐτόν, καὶ ὑπεδέξατο αὐτὴν Θεόφιλος ὁ ἀρχιεπίσκοπος. Καὶ παρεκάλεσεν αὐτόν, ἵνα πείσῃ τὸν Γέροντα δέξασθαι αὐτήν. Καὶ ἐλθὼν πρὸς αὐτὸν παρεκάλει αὐτὸν λέγων· Ἡ δεῖνα ἡ συγκλητικὴ ἦλθεν ἀπὸ Ῥώμης καὶ θέλει σε ἰδεῖν. Ὁ δὲ Γέρων οὐ κατεδέξατο ἀπαντῆσαι αὐτῇ. Ὡς οὖν ἀνηγγέλη αὐτῇ ταῦτα, κελεύει στρωθῆναι κτῆνος λέγουσα· Πιστεύω τῷ Θεῷ ἰδεῖν αὐτόν, οὐ γὰρ ἄνθρωπον ἦλθον ἰδεῖν, εἰσὶ γὰρ καὶ ἐν τῇ πόλει μου πολλοὶ ἄνθρωποι, ἀλλὰ προφήτην ἦλθον ἰδεῖν.

3. Σκήτη: βλ. Εἰσαγ. σελ. 22.
Ἐρημώθηκε λόγω βαρβαρικῶν ἐπιδρομῶν (407).

4. Κάνωβος ἢ Κάνωπος: Ἀρχαία αἰγυπτιακή πόλη, στά δυτικά τοῦ Νείλου, πού ὑπῆρξε σπουδαῖο λιμάνι τῆς Μεσογείου. Ἀπό τή μεγάλη ἔκλυση

10. Ἔλεγαν γι' αὐτόν ὅτι τό κελί του βρισκόταν σέ ἀπόσταση τριάντα δύο μιλίων. Δέν ἔβγαινε ἀπ' τό κελί του χωρίς σοβαρό λόγο· γιατί οἱ ἄλλοι τόν ἐξυπηρετοῦσαν. Ὅταν ὅμως ἐρημώθηκε ἡ Σκήτη[3], βγῆκε κλαίοντας καί ἔλεγε: «Ἔχασε ὁ κόσμος τή Ρώμη καί οἱ μοναχοί τή Σκήτη».

11. Ἔφθασε κάποτε ὁ ἀββᾶς Ἀρσένιος σέ ἕνα τόπο, ὅπου ὑπῆρχαν καλαμιές. Κάποια στιγμή κινήθηκαν οἱ καλαμιές ἀπ' τόν ἀέρα. Καί ρώτησε ὁ Γέροντας τούς ἀδελφούς: «Τί εἶναι τό θρόϊσμα αὐτό;» Τοῦ λένε: «Οἱ καλαμιές εἶναι». Καί τότε τούς εἶπε ὁ Γέροντας: «Εἶναι ἀλήθεια πώς ἄν κάποιος μένει σέ ἥσυχο τόπο καί ἀκούσει τή φωνή ἀπό ἕνα σπουργιτάκι, ἡ καρδιά του παύει νά ἔχει τήν ἴδια ἡσυχία. Πόσο περισσότερο ἐσεῖς βέβαια πού ἔχετε τό θρόϊσμα τῶν καλαμιῶν αὐτῶν».

12. Ὅταν κάποτε ἔμενε ὁ ἴδιος ὁ ἀββᾶς Ἀρσένιος στόν Κάνωπο[4], πῆγε ἐκεῖ ἀπό τή Ρώμη κάποια κόρη ἀπό οἰκογένεια συγκλητικῶν, πολύ πλούσια καί εὐλαβής, γιά νά τόν δεῖ.

Ἀρχικά τήν ὑποδέχθηκε ὁ Θεόφιλος ὁ ἀρχιεπίσκοπος. Καί παρεκάλεσε αὐτόν νά πείσει τόν Γέροντα γιά νά τή δεχθεῖ. Πῆγε πράγματι ὁ ἀρχιεπίσκοπος καί τόν παρακάλεσε λέγοντάς του: «Ἡ τάδε συγκλητική ἦρθε ἀπό τή Ρώμη καί θέλει νά σέ δεῖ». Ἀλλά ὁ Γέροντας δέν δέχθηκε νά τή συναντήσει. Μόλις λοιπόν τῆς τό εἶπαν αὐτό, ἔδωσε ἐντολή νά τῆς ἑτοιμάσουν ἕνα ὑποζύγιο λέγοντας: «Πιστεύω στόν Θεό ὅτι θά τόν δῶ. Δέν ἦρθα νά δῶ ἄνθρωπο, γιατί στήν πόλη μας ὑπάρχουν βέβαια πολλοί ἄνθρωποι, ἀλλά ἦρθα ἐδῶ νά δῶ προφήτη».

τῶν ἠθῶν πού ὑπῆρχε, προῆλθε καί ἡ λέξη «Κανωβισμός» πού σημαίνει ἀκόλαστος καί τρυφηλός βίος. Κατά τήν πατριαρχία τοῦ Θεοφίλου Ἀλεξαν-

Καὶ ὡς ἔφθασε περὶ τὴν κέλλαν τοῦ Γέροντος, κατ᾽ οἰκονομίαν Θεοῦ εὐκαίρησεν ὁ Γέρων ἔξω τῆς κέλλης, καὶ ἰδοῦσα αὐτὸν προσέπεσε τοῖς ποσὶν αὐτοῦ. Ὁ δὲ ἤγειρεν αὐτὴν μετ᾽ ὀργῆς καὶ προσέσχεν αὐτῇ λέγων· Εἰ τὸ πρόσωπόν μου θέλεις ἰδεῖν, ἰδοὺ βλέπε. Ἡ δὲ ἀπὸ αἰσχύνης οὐ κατενόησε τὸ πρόσωπον αὐτοῦ καὶ λέγει αὐτῇ ὁ Γέρων· Οὐκ ἤκουσας τὰ ἔργα μου; Ταῦτα βλέπειν ἀναγκαῖόν ἐστι, πῶς δὲ ἐτόλμησας τοσοῦτον ποιῆσαι πλοῦν; Οὐκ οἶδας ὅτι γυνὴ εἶ καὶ οὐκ ὀφείλεις ἐξέρχεσθαι πούποτε; Ἢ ἵνα ἀπέλθῃς εἰς Ῥώμην καὶ εἴπῃς ταῖς ἄλλαις γυναιξὶν ὅτι· Ἑώρακα Ἀρσένιον, καὶ ποιήσωσι τὴν θάλασσαν ὁδὸν γυναικῶν ἐρχομένων πρός με; Ἡ δὲ εἶπεν· Ἐὰν θέλῃ ὁ Θεός, οὐ μὴ ἀφῶ τινα ἐλθεῖν ὧδε, ἀλλ᾽ εὔχου ὑπὲρ ἐμοῦ καὶ μνημόνευέ μου διὰ παντός. Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῇ· Εὔχομαι τῷ Θεῷ, ἵνα ἐξαλείψῃ τὸ μνημόσυνόν σου ἐκ τῆς καρδίας μου.

Καὶ ταῦτα ἀκούσασα ἐξῆλθε τεταραγμένη καί, ὡς ἦλθεν εἰς τὴν πόλιν, ἀπὸ τῆς λύπης ἔβαλε πυρέσσειν καὶ ἀνηγγέλη τῷ μακαρίῳ Θεοφίλῳ τῷ ἀρχιεπισκόπῳ ὅτι ἀσθενεῖ καὶ ἐλθὼν πρὸς αὐτὴν παρεκάλει μαθεῖν τί ἐστιν ὃ ἔχει. Ἡ δὲ εἶπεν αὐτῷ· Εἴθε μὴ ἀπήντησα ὧδε. Εἶπον γὰρ τῷ Γέροντι· Μνημόνευέ μου, καὶ εἶπέ μοι· Εὔχομαι τῷ Θεῷ ἵνα ἐξαλειφθῇ τὸ μνημόσυνόν σου ἐκ τῆς καρδίας μου. Καὶ ἰδοὺ ἐγὼ ἀποθνῄσκω ἐκ τῆς λύπης. Καὶ λέγει αὐτῇ ὁ ἀρχιεπίσκοπος· Οὐκ οἶδας ὅτι γυνὴ εἶ καὶ διὰ τῶν γυναικῶν πολεμεῖ ὁ ἐχθρὸς τοὺς ἁγίους; Διὰ τοῦτο εἶπεν ὁ Γέρων· περὶ γὰρ τῆς ψυχῆς σου εὔχεται διὰ παντός. Καὶ οὕτως ἐθεραπεύθη ὁ λογισμὸς αὐτῆς καὶ ἀπῆλθε μετὰ χαρᾶς εἰς τὰ ἴδια.

δρείας (385-412) καταστράφηκαν πολλοί εἰδωλολατρικοί ναοί καί ἱδρύθηκαν χριστιανικοί ναοί καί μοναστήρια.

Εἶναι πολύ πιθανό ὅτι ὁ ἀββᾶς Ἀρσένιος μετά τή λεηλασία τῆς Σκήτης (407) ἔφυγε ἀπό τή Σκήτη γιά μικρῆς διάρκειας διαμονή στόν Κάνωβο, ὅπου καί τόν ἐπισκέπτεται ἡ συγκλητική κόρη ἀπό τή Ρώμη.

Καί μόλις ἔφθασε κοντά στό κελί τοῦ Γέροντα, ἔτυχε κατ᾽ οἰκονομίαν Θεοῦ νά εἶναι ὁ Γέροντας ἔξω ἀπό τό κελί. Εὐθύς, βλέποντάς τον, ἔπεσε στά πόδια του. Ἀλλά ἐκεῖνος τή σήκωσε ὀργισμένα καί στράφηκε πρός αὐτήν λέγοντάς της: «Ἄν τό πρόσωπό μου θέλεις νά δεῖς, νά! Κοίτα το». Κι αὐτή ντροπιασμένη δέν σήκωσε τά μάτια της νά δεῖ τό πρόσωπό του. Τῆς λέει τότε ὁ Γέροντας: «Δέν πληροφορήθηκες γιά τά ἔργα μου; Αὐτά χρειάζεται κανείς νά βλέπει. Καί πῶς τόλμησες νά κάνεις ἕνα τόσο μεγάλο θαλασσινό ταξίδι; Δέν γνωρίζεις ὅτι εἶσαι γυναίκα καί δέν πρέπει ποτέ καί γιά πουθενά ν᾽ ἀπομακρύνεσαι ἀπό τόν τόπο σου; Ἤ τό ᾽κανες γιά νά πεῖς στίς ἄλλες γυναῖκες, ἐπιστρέφοντας στή Ρώμη: “Εἶδα τόν Ἀρσένιο” καί νά κάνεις τή θάλασσα δρόμο γιά νά ᾽ρχονται οἱ γυναῖκες νά μέ βρίσκουν;» Κι αὐτή εἶπε: «Ἄν θέλει ὁ Θεός δέν θ᾽ ἀφήσω καμία νά ᾽ρθεῖ ἐδῶ. Ἀλλά νά προσεύχεσαι γιά μένα καί νά μέ μνημονεύεις παντοτινά». Ἐκεῖνος ὅμως τῆς ἀποκρίθηκε: «Προσεύχομαι στόν Θεό νά ἐξαφανίσει τή θύμησή σου ἀπό τήν καρδιά μου».

Μετά ἀπ᾽ αὐτά πού ἄκουσε, ἔφυγε πολύ ταραγμένη. Καθώς ἔφθασε στήν πόλη, ἀπό τή λύπη της ἀνέβασε πυρετό καί πληροφόρησαν τόν μακάριο Θεόφιλο, τόν ἀρχιεπίσκοπο, ὅτι ἀρρώστησε. Ἐκεῖνος τήν ἐπισκέφθηκε καί ζητοῦσε νά μάθει τί τῆς συμβαίνει. Αὐτή τοῦ εἶπε: «Καλύτερα νά μήν ἐρχόμουν ἐδῶ. Γιατί εἶπα στόν Γέροντα: “Μνημόνευέ με”, καί μοῦ εἶπε: “Προσεύχομαι στόν Θεό νά σβήσει ἡ θύμησή σου ἀπό τήν καρδιά μου”. Καί πάω νά πεθάνω ἀπό τή λύπη μου». Τότε ὁ ἀρχιεπίσκοπος τῆς λέει: «Μά δέν ξέρεις ὅτι εἶσαι γυναίκα καί ὅτι ὁ ἐχθρός πολεμάει τούς ἁγίους χρησιμοποιώντας τίς γυναῖκες; Γι᾽ αὐτό σοῦ μίλησε ἔτσι ὁ Γέροντας. Γιά τήν ψυχή σου σίγουρα θά προσεύχεται παντοτινά!» Μ᾽ αὐτά πού τῆς εἶπε ὁ ἀρχιεπίσκοπος, θεραπεύτηκε ὁ λογισμός της κι ἔφυγε χαρούμενη γιά τόν τόπο της.

13. Καθεζομένου ποτὲ τοῦ ἀββᾶ Ἀρσενίου ἐν τοῖς κάτω μέρεσι καὶ ὀχλουμένου ἐκεῖσε, ἔδοξεν αὐτῷ καταλιπεῖν τὸ κελλίον· μηδὲν δὲ ἐξ αὐτοῦ λαβὼν οὕτως ἐπορεύθη πρὸς τοὺς ἑαυτοῦ μαθητὰς τοὺς Φαρανίτας Ἀλέξανδρον καὶ Ζωΐλον. Εἶπεν οὖν τῷ Ἀλεξάνδρῳ· Ἀναστὰς ἀνάπλευσον καὶ τῷ Ζωΐλῳ εἶπε· Δεῦρο μετ᾽ ἐμοῦ ἕως τοῦ ποταμοῦ καὶ ζήτησόν μοι πλοῖον ἐπὶ τὴν Ἀλεξάνδρειαν καταπλέον καὶ οὕτως ἀνάπλευσον καὶ σὺ πρὸς τὸν ἀδελφόν σου. Ὁ δὲ Ζωΐλος πρὸς τὸν λόγον ταραχθεὶς ἐσιώπησε· καὶ οὕτως ἐχωρίσθησαν ἀπ᾽ ἀλλήλων.

Κατῆλθεν οὖν ὁ Γέρων ἐπὶ τὰ μέρη Ἀλεξανδρείας καὶ ἠσθένησεν ἀρρωστίαν μεγάλην. Οἱ δὲ τούτου διακονηταὶ εἶπον πρὸς ἀλλήλους· Μὴ ἆρά τις ἡμῶν ἐλύπησε τὸν Γέροντα καὶ διὰ τοῦτο ἐχωρίσθη ἀφ᾽ ἡμῶν; Καὶ οὐχ εὗρον ἐν ἑαυτοῖς οὐδὲν οὔτε ὅτι παρήκουσαν αὐτοῦ ποτέ.

Ὑγιάνας δὲ ὁ Γέρων εἶπε· Πορεύσομαι πρὸς τοὺς ἐμοὺς πατέρας· καὶ οὕτως ἀναπλεύσας ἦλθεν εἰς τὴν πέτραν, ὅπου ἦσαν οἱ διακονηταὶ αὐτοῦ. Ὄντος δὲ αὐτοῦ πλησίον τοῦ ποταμοῦ παιδίσκη τις αἰθιόπισσα ἐλθοῦσα ἥψατο τῆς μηλωτῆς αὐτοῦ, ὁ δὲ Γέρων ἐπετίμησεν αὐτῇ· ἡ οὖν παιδίσκη εἶπεν αὐτῷ· Εἰ μοναχὸς εἶ, πορεύου εἰς τὸ ὄρος. Ὁ δὲ Γέρων ἐπὶ τῷ λόγῳ κατανυγείς, ἔλεγεν ἐν ἑαυτῷ· Ἀρσένιε, εἰ μοναχὸς εἶ, πορεύου εἰς τὸ ὄρος. Καὶ ἐπὶ τούτῳ ἀπήντησαν αὐτῷ ὅ τε Ἀλέξανδρος καὶ Ζωΐλος καὶ ἐπιπεσόντων αὐτῶν τοῖς ποσὶν αὐτοῦ ἔρριψεν ἑαυτὸν καὶ ὁ Γέρων καὶ ἔκλαυσαν ἀμφότεροι. Εἶπε δὲ ὁ Γέρων· Οὐκ ἠκούσατε ὅτι ἠσθένησα; Οἱ δὲ

5. Νέα ἐπιδρομή βαρβάρων ὑποχρεώνει τόν ἀββᾶ Ἀρσένιο νά ξαναφύγει ἀπό τή Σκήτη. Πηγαίνει στήν Τρύη (ἤ Τρώη), ἀπ᾽ ὅπου πάλι λόγω βαρβαρικῶν ἐπιδρομῶν ἀναγκάζεται νά πάει σέ περιοχή πιό ἀσφαλή «ἐν τοῖς κάτω μέρεσι», δηλαδή στόν Κάνωβο.

6. Πόλη τῆς Πετραίας Ἀραβίας, στά βόρεια τοῦ Σινᾶ. Ἡ Φαράν ἀναφέρεται στήν Π. Διαθήκη (Γεν. 21, 21 κ.ἀ.). Στήν ἔρημο τῆς Φαράν εἶχαν στρατοπεδεύσει οἱ Ἑβραῖοι (Ἀρ. 10, 12· 12, 16· 13, 3 καί 26).

13. Ὅταν κάποτε ὁ ἀββᾶς Ἀρσένιος ἔμενε στά κάτω μέρη[5], ἐνοχλοῦνταν ἐκεῖ ἀπό ἐπισκέπτες καί ἀποφάσισε νά ἐγκαταλείψει τό κελί του. Καί χωρίς νά πάρει κανένα ἀπό τά πράγματα τοῦ κελιοῦ του, ξεκίνησε καί πῆγε στούς μαθητές του Ἀλέξανδρο καί Ζωΐλο, πού ἦταν ἀπό τή Φαράν[6].

Εἶπε λοιπόν στόν Ἀλέξανδρο: «Σήκω καί πάρε τό ποτάμι πρός τά πίσω». Καί στόν Ζωΐλο εἶπε: «Ἐσύ συνόδευσέ με μέχρι τό ποτάμι καί βρές μου ἕνα πλοῖο, πού νά κατευθύνεται στήν Ἀλεξάνδρεια, καί μετά πάρε κι ἐσύ τήν ἀντίθετη κατεύθυνση νά βρεῖς τόν ἀδελφό σου». Ὁ Ζωΐλος ταράχθηκε σάν ἄκουσε αὐτόν τόν λόγο, ἀλλά σιώπησε καί ἔτσι χωρίσθηκαν μεταξύ τους.

Κατέβηκε λοιπόν ὁ Γέροντας στήν Ἀλεξάνδρεια καί ἐκεῖ ἀρρώστησε βαριά. Οἱ ὑποτακτικοί του εἶπαν μεταξύ τους: «Μήπως κάποιος ἀπό μᾶς λύπησε τόν Γέροντα καί γι᾽ αὐτό μᾶς ἀποχωρίσθηκε;» Ἀλλά δέν βρῆκαν νά ᾽χουν κάνει τίποτε τό ἔνοχο οὔτε ὅτι τόν εἶχαν παρακούσει ποτέ.

Ὅταν ἔγινε καλά ὁ Γέροντας εἶπε: «Θά πάω κοντά στούς πατέρες μου». Ἔτσι πῆρε τό πλοῖο πρός τήν ἀντίθετη κατεύθυνση καί ἔφθασε στόν βράχο, ὅπου ζοῦσαν οἱ ὑποτακτικοί του. Καθώς βρισκόταν ἀκόμη κοντά στό ποτάμι, μιά νεαρή αἰθιόπισσα τόν πλησίασε καί τοῦ ἄγγιξε τή μηλωτή καί ὁ Γέροντας τή μάλωσε. Ἡ παιδούλα τότε τοῦ εἶπε: «Ἐάν εἶσαι μοναχός, πήγαινε στό ὄρος». Ὁ Γέροντας κατανύχθηκε πάνω στόν λόγο αὐτό καί ἔλεγε μέσα του: «Ἀρσένιε, ἐάν εἶσαι μοναχός, πήγαινε στό ὄρος».

Ἐκείνη τή στιγμή κατέφθασαν ἐκεῖ ὁ Ἀλέξανδρος καί ὁ Ζωΐλος. Ἔπεσαν στά πόδια του, ἀλλά καί ὁ Γέροντας ἔριξε τόν ἑαυτό του καί ἔκλαψαν καί οἱ τρεῖς. Τούς ρώτησε ὁ Γέροντας: «Δέν μάθατε ὅτι ἀρρώστησα;» Καί ἐκεῖνοι

εἶπον αὐτῷ· Ναί. Καὶ λέγει ὁ Γέρων· Διὰ τί οὐκ ἤλθετε ἰδεῖν με; Καὶ λέγει ὁ ἀββᾶς Ἀλέξανδρος ὅτι· Ὁ χωρισμός σου ἀφ' ἡμῶν οὐ γέγονε πιθανὸς καὶ πολλοὶ οὐκ ὠφελήθησαν λέγοντες ὅτι, εἰ μὴ παρήκουσαν τοῦ Γέροντος, οὐκ ἂν ἐχωρίσθη ἐξ αὐτῶν. Λέγει αὐτοῖς· Πάλιν οὖν μέλλουσι λέγειν οἱ ἄνθρωποι ὅτι οὐχ εὗρεν ἡ περιστερὰ ἀνάπαυσιν τοῖς ποσὶν αὐτῆς καὶ ἀνέστρεψε πρὸς τὸν Νῶε εἰς τὴν κιβωτόν· καὶ οὕτως ἐθεραπεύθησαν καὶ ἔμεινε μετ' αὐτῶν ἕως τῆς τελευτῆς αὐτοῦ.

14. Ἦλθέ τις τῶν πατέρων πρὸς τὸν ἀββᾶν Ἀρσένιον. Καὶ ὡς ἔκρουσε τὴν θύραν, ἀνέωξεν ὁ Γέρων νομίζων ὅτι ὁ διακονητὴς αὐτοῦ ἐστι· καὶ ὡς εἶδεν αὐτόν, ἔπεσεν ἐπὶ πρόσωπον. Ὁ δὲ λέγει αὐτῷ· Ἀνάστα, ἀββᾶ, ἵνα σε ἀσπάσωμαι. Καὶ ἔφη αὐτῷ ὁ Γέρων· Οὐκ ἐγείρομαι, ἐὰν μὴ ἀναχωρήσῃς· καὶ ἐπὶ πολὺ παρακληθεὶς οὐκ ἀνέστη, ἕως οὗ ἀνεχώρησεν.

15. Ἔλεγον περί τινος ἀδελφοῦ ἐλθόντος εἰς Σκήτην ἰδεῖν τὸν ἀββᾶν Ἀρσένιον ὅτι ἐλθὼν εἰς τὴν ἐκκλησίαν παρεκάλει τοὺς κληρικοὺς συντυχεῖν τῷ ἀββᾷ Ἀρσενίῳ. Ἔλεγον οὖν αὐτῷ· Ἀναπαύου μικρόν, ἀδελφέ, καὶ βλέπεις αὐτόν. Ὁ δὲ ἔφη· Οὐ γεύομαί τινος, ἐὰν μὴ αὐτὸν ἀπαντήσω. Ἔπεμψαν οὖν ἀδελφὸν καταστῆσαι αὐτόν, ὅτι μακρὰν ἦν ἡ κέλλα αὐτοῦ. Καὶ κρούσαντος τὴν θύραν εἰσῆλθε καὶ ἀσπασάμενοι τὸν Γέροντα ἐκάθησαν σιωπῶντες.

7. Γεν. 8, 11.

τοῦ ἀπάντησαν: «Ναί, τό μάθαμε». «Καί γιατί —τούς ρωτᾶ ὁ Γέροντας— δέν ἤρθατε νά μέ δεῖτε;» Εἶπε τότε ὁ ἀββᾶς Ἀλέξανδρος: «Δέν μπορέσαμε νά ἐξηγήσουμε γιατί μᾶς ἀποχωρίσθηκες, πολλοί μάλιστα σκανδαλίσθηκαν καί εἶπαν: "Ἐάν δέν εἶχαν παρακούσει στόν Γέροντα, δέν θά ἔφευγε ἀπό κοντά τους"». Καί ἐκεῖνος τούς ἀποκρίθηκε: «Πάλι λοιπόν σέ λίγο θά ποῦν οἱ ἄνθρωποι πώς ἡ περιστερά δέν μπόρεσε πουθενά νά ἀναπαυθεῖ καί ἐπέστρεψε στόν Νῶε, στήν Κιβωτό[7]».

Ἔτσι ἀποκαταστάθηκαν τά πράγματα καί ἔμεινε μαζί τους μέχρι τόν θάνατό του.

14. Κάποιος ἀπό τούς πατέρες ἐπισκέφθηκε τόν ἀββᾶ Ἀρσένιο. Κτύπησε τήν πόρτα καί ὁ Γέροντας τοῦ ἄνοιξε νομίζοντας πώς εἶναι ὁ ὑποτακτικός του. Ὅταν ὅμως εἶδε ἄλλον, ἔπεσε μέ τό πρόσωπο στή γῆ. Ἐκεῖνος τοῦ λέγει: «Σήκω, ἀββᾶ μου, νά σέ ἀσπασθῶ». Καί ὁ Γέροντας τοῦ ἀπάντησε: «Δέν σηκώνομαι, πρίν ἀναχωρήσεις». Καί ἐνῶ πολλή ὥρα τόν παρακαλοῦσε, ἐκεῖνος δέν σηκώθηκε, ἕως ὅτου ἀναχώρησε ὁ ἐπισκέπτης.

15. Ἔλεγαν γιά κάποιον ἀδελφό, πού ἦλθε στή Σκήτη[8] νά δεῖ τόν ἀββᾶ Ἀρσένιο, ὅτι πῆγε στήν ἐκκλησία καί παρακαλοῦσε τούς κληρικούς νά συναντήσει τόν ἀββᾶ. Τοῦ εἶπαν λοιπόν αὐτοί: «Ἀναπαύσου λίγο, ἀδελφέ, καί θά τόν δεῖς». Ἀλλά αὐτός εἶπε: «Δέν θά γευθῶ τροφή, ἄν δέν τόν συναντήσω». Ἔστειλαν λοιπόν κάποιον ἀδελφό μαζί του νά τόν πάει στόν Γέροντα, ἐπειδή τό κελί του ἦταν μακριά. Κτύπησε τήν πόρτα, μπῆκαν μέσα καί, ἀφοῦ ἀσπάσθηκαν τόν Γέροντα, κάθησαν καί ἔμεναν σιωπηλοί.

8. Βλ. Εἰσαγ. σελ. 22.

Εἶπεν οὖν ὁ ἀδελφὸς ὁ τῆς ἐκκλησίας· Ἐγὼ ὑπάγω, εὔξασθε ὑπὲρ ἐμοῦ. Ὁ δὲ ἀδελφὸς ὁ ξένος μὴ εὑρὼν παρρησίαν πρὸς τὸν Γέροντα εἶπε τῷ ἀδελφῷ· Ἔρχομαι κἀγὼ μετὰ σοῦ· καὶ ἐξῆλθον ὁμοῦ. Παρεκάλεσεν οὖν αὐτὸν λέγων· Λάβε με καὶ πρὸς τὸν ἀββᾶν Μωυσῆν τὸν ἀπὸ λῃστῶν· καὶ ἐλθόντος αὐτοῦ πρὸς αὐτὸν ἐδέξατο αὐτοὺς μετὰ χαρᾶς καὶ φιλοφρονήσας αὐτοὺς ἀπέλυσε.

Καὶ λέγει αὐτῷ ὁ ἀδελφὸς ὁ ἐνεγκὼν αὐτόν· Ἰδοὺ ἀπήνεγκά σε πρὸς τὸν ξενικὸν καὶ πρὸς τὸν Αἰγύπτιον· τίς ἐκ τῶν δύο ἤρεσέ σοι; Καὶ ἀποκριθεὶς εἶπεν· Ἐμοὶ τέως ὁ Αἰγύπτιος ἤρεσεν. Ἀκούσας δέ τις τῶν πατέρων ηὔξατο τῷ Θεῷ λέγων· Κύριε, δεῖξόν μοι τὸ πρᾶγμα τοῦτο, ὅτι ὃς μὲν φεύγει διὰ τὸ ὄνομά σου, ὃς δὲ ἐναγκαλίζεται διὰ τὸ ὄνομά σου. Καὶ ἰδοὺ ἐδείχθη αὐτῷ δύο πλοῖα μεγάλα ἐν τῷ ποταμῷ· καὶ θεωρεῖ τὸν ἀββᾶν Ἀρσένιον καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ πλέον ἐν ἡσυχίᾳ εἰς ἓν καὶ ὁ ἀββᾶς Μωυσῆς καὶ οἱ ἄγγελοι τοῦ Θεοῦ πλέοντες εἰς ἓν καὶ ἐψώμιζον αὐτὸν μελικηρίδιον.

16. Ἦλθόν ποτε Γέροντες πρὸς τὸν ἀββᾶν Ἀρσένιον καὶ πολλὰ παρεκάλεσαν αὐτὸν εἰπεῖν αὐτοῖς λόγον περὶ τῶν ἡσυχαζόντων καὶ μηδένα ἀπαντώντων. Λέγει αὐτοῖς ὁ Γέρων· Ὅταν ἡ παρθένος ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτῆς μένῃ, πολλοὶ θέλουσιν αὐτὴν μνηστευθῆναι· ἐπὰν δὲ λάβῃ ἄνδρα, οὐ πᾶσιν ἀρέσκει· ἄλλοι ἐξουθενοῦσιν, ἄλλοι δὲ ἐπαινοῦσι,

Εἶπε τότε ὁ ἀδελφός τῆς ἐκκλησίας: «Ἐγώ ἄς πηγαίνω, εὔχεσθε γιά μένα». Καί ὁ φιλοξενούμενος ἀδελφός, ἐπειδή δέν βρῆκε παρρησία κοντά στόν Γέροντα, εἶπε στόν ἀδελφό: «Ἔρχομαι καί ἐγώ μαζί σου» καί ἔφυγαν. Τότε τόν παρεκάλεσε ὁ ξένος καί τοῦ ᾽πε: «Πήγαινέ με στόν ἀββᾶ Μωυσῆ, στόν τέως ληστή». Ὅταν ἔφθασαν ἐκεῖ, τούς ὑποδέχθηκε ἐκεῖνος μέ πολλή χαρά καί, ἀφοῦ τούς περιποιήθηκε φιλικά, τούς ξεπροβόδισε.

Ὁ ἀδελφός τότε πού τόν εἶχε ὁδηγήσει ἐκεῖ, τόν ρώτησε: «Σέ πῆγα λοιπόν σ᾽ αὐτόν πού εἶναι ἀπ᾽ ἄλλο τόπο καί στόν Αἰγύπτιο. Ποιός ἀπό τούς δύο σοῦ ἄρεσε;» Τοῦ ἀποκρίθηκε ἐκεῖνος: «Μέχρι αὐτή τή στιγμή μοῦ ἄρεσε ὁ Αἰγύπτιος».

Ὅταν τά ἄκουσε αὐτά κάποιος ἀπό τούς πατέρες, προσευχήθηκε στόν Θεό λέγοντας: «Κύριε, ἀποκάλυψέ μου τήν ἀλήθεια τοῦ πράγματος, γιατί ὁ ἕνας ἀποφεύγει τούς ἀνθρώπους γιά τό ὄνομά σου καί ὁ ἄλλος τούς ἀγκαλιάζει γιά τό ὄνομά σου». Καί νά, βλέπει σέ ὀπτασία δύο μεγάλα πλοῖα μέσα στό ποτάμι. Στό ἕνα διακρίνει τόν ἀββᾶ Ἀρσένιο καί μαζί του τό Πνεῦμα τοῦ Θεοῦ νά πλέει σιωπηλά καί στό ἄλλο ἦταν ὁ ἀββᾶς Μωυσῆς καί οἱ ἄγγελοι τοῦ Θεοῦ πού ἔπλεαν μαζί καί τόν τάιζαν κηρήθρα[9].

16. Κάποτε κάποιοι Γέροντες πῆγαν στόν ἀββᾶ Ἀρσένιο καί τόν παρεκάλεσαν θερμά νά τούς μιλήσει γιά τούς ἐρημίτες μοναχούς, καί μάλιστα γι᾽ αὐτούς πού δέν ἔχουν συναπαντήματα μέ ἄλλους ἀνθρώπους. Τότε ὁ Γέροντας εἶπε: «Ὅταν ἡ παρθένος μένει στό σπίτι τοῦ πατέρα της, πολλοί ζητοῦν νά τή μνηστευθοῦν· ὅταν ὅμως παντρευθεῖ, δέν ἀρέσει σέ ὅλους· ἄλλοι τῆς βρίσκουν ψεγάδια καί ἄλλοι τήν

9. Ἡ λέξη μελικηρίδιον τοῦ ἀρχαίου κειμένου σημαίνει καί κηρήθρα καί μελοπιτάκια.

καὶ οὐχ οὕτως ἔχει τὴν τιμὴν ὡς τὸ πρῶτον, ὅτε ἦν κεκρυμμένη. Οὕτως καὶ τὰ τῆς ψυχῆς· ἀφ' ὅτε δημοσιεύεται, οὐ πάντας δύναται ἀρέσαι.

17. Εἶπεν ὁ ἀββᾶς Βιτίμης ὅτι· Καταβαίνοντός μου ποτὲ εἰς Σκήτην ἔδωκάν μοί τινες ὀλίγα μῆλα, ἵνα δώσω τοῖς Γέρουσι καὶ ἔκρουσα εἰς τὸ κελλίον τοῦ ἀββᾶ Ἀχιλλᾶ, ἵνα δώσω αὐτῷ. Ὁ δὲ ἔφη· Φύσει, ἀδελφέ, οὐκ ἤθελον, ἵνα κρούσῃς μου ἄρτι, εἰ ἦν μάννα, μηδὲ εἰς ἄλλο κελλίον ἀπέλθῃς. Ἀνεχώρησα οὖν εἰς τὸ κελλίον μου καὶ ἀνήνεγκα αὐτὰ εἰς τὴν ἐκκλησίαν.

18. Εἶπεν ὁ ἀββᾶς Διάδοχος· Ὥσπερ αἱ τῶν λουτρῶν συνεχῶς ἀνοιγόμεναι θύραι θᾶττον τὴν θέρμην ὠθοῦνται πρὸς τὰ ἔξω, οὕτως καὶ ἡ ψυχή· ὅταν πολλὰ θέλῃ διαλέγεσθαι, κἂν καλά ποτε λέγῃ, τὴν ἑαυτῆς θέρμην διὰ τῆς φωνητικῆς πύλης διαφορεῖ. Καλὴ οὖν ἡ εὔκαιρος σιωπὴ οὐδὲν ἕτερον οὖσα ἢ μήτηρ ἐννοιῶν σοφωτάτων.

19. Εἶπεν ὁ ἀββᾶς Δουλᾶς· Ἐὰν ὁ ἐχθρὸς βιάζηται ἡμᾶς καταλιπεῖν τὴν ἡσυχίαν, μὴ ἀκούσωμεν αὐτοῦ· οὐδὲν γὰρ ὅμοιον αὐτῆς καὶ τῆς ἀσιτίας συγκρίνεται εἰς συμμαχίαν κατ' αὐτοῦ· ὀξυδερκίαν γὰρ παρέχουσι τοῖς ἔνδον ὄμμασιν.

---

10. Στήν παραβολική ἀπάντηση τοῦ Γέροντα διαφαίνεται ἡ ἀλήθεια ὅτι τό μυστήριο τῆς ὑπαρξιακῆς κοινωνίας μέ τόν Θεό εἶναι βιωματική πραγματικότητα, καί μόνο ἀπό τόν δρόμο τῆς βίωσης εἶναι δυνατόν νά τή γνωρίσει αὐτός πού τό ἐπιθυμεῖ. Ἀλλιῶς, ἄν θεωρητικά θελήσει νά πληροφορηθεῖ, δέν

ἐπαινοῦν, καί δέν τιμᾶται, ὅπως πρῶτα, ὅταν ἦταν κρυμμένη. Τό ἴδιο καί μέ τά θέματα τῆς ψυχῆς· ἀπό τή στιγμή πού κοινοποιοῦνται, δέν μποροῦν νά ἱκανοποιήσουν ὅλους»[10].

17. Ὁ ἀββᾶς Βιτίμης διηγήθηκε τό ἑξῆς: «Κάποτε καθώς κατέβαινα στή Σκήτη, κάποιοι μοῦ ἔδωσαν λίγα μῆλα, γιά νά τά μεταφέρω στούς Γέροντες. Καί ἐγώ κτύπησα τήν πόρτα τοῦ κελιοῦ τοῦ ἀββᾶ Ἀχιλλᾶ, γιά νά τοῦ τά δώσω. Μοῦ εἶπε τότε ἐκεῖνος: "Ἀλήθεια, ἀδελφέ μου, δέν θά ἤθελα τούτη τήν ὥρα νά μοῦ κτυπήσεις τήν πόρτα, κι ἄν ἀκόμη μοῦ μετέφερες τό μάννα. Μήν πᾶς καί σέ κανένα ἄλλο κελί". Ἐγώ τότε ἀνεχώρησα γιά τό κελί μου καί πρόσφερα τά μῆλα στήν ἐκκλησία».

18. Εἶπε ὁ ἀββᾶς Διάδοχος: «Ὅπως ἀκριβῶς οἱ πόρτες τῶν λουτρῶν πού ἀνοιγοκλείνουν συνεχῶς, γρηγορότερα διώχνουν τή ζεστασιά πρός τά ἔξω, τό ἴδιο καί ἡ ψυχή, ὅταν ἐπιδιώκει πολύ τή συζήτηση, ἔστω κι ἄν καμιά φορά λέει ὠφέλιμα πράγματα, τή θέρμη της τή διασκορπίζει ἀπό τή θύρα τῆς φωνῆς. Ὠφέλιμη ὁπωσδήποτε ἡ σιωπή τήν κατάλληλη ὥρα, γιατί δέν εἶναι τίποτε ἄλλο παρά γεννήτρια βαθυστόχαστων νοημάτων».

19. Εἶπε ὁ ἀββᾶς Δουλᾶς: «Ἐάν ὁ ἐχθρός μᾶς πιέζει νά ἐγκαταλείψουμε τήν ἡσυχία[11], μήν τόν ἀκούσουμε. Γιατί δέν ὑπάρχει τίποτε ἀντίστοιχο νά συμμαχήσει ἐναντίον του σάν τήν ἡσυχία καί τή νηστεία. Αὐτά τά δύο χαρίζουν ὀξεία ὅραση στά ἐσωτερικά μάτια».

θά ἐννοήσει τήν ἀλήθεια τοῦ πράγματος καί μᾶλλον ὑπάρχει κίνδυνος νά τήν παρεξηγήσει. Στήν Ὀρθοδοξία προέχει τό «ἔρχου καί ἴδε».

11. Βλ. ὑποσημ. 1, σελ. 236.

20. Εἶπε πάλιν· Κόπτε τὰς τῶν πολλῶν σχέσεις, μή σου ὁ πόλεμος πρὸς τὸν ἐχθρὸν περιστατικὸς γένηται καὶ τὸν τῆς ἡσυχίας ταράξῃ τρόπον.

21. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ἠσαΐαν λέγων· Πῶς χρὴ ἡσυχάζειν ἐν τῷ κελλίῳ; Καὶ ἀπεκρίθη ὁ Γέρων· Τὸ ἡσυχάζειν ἐν τῷ κελλίῳ, τὸ παραρριπτεῖν ἑαυτόν ἐστιν ἐνώπιον τοῦ Θεοῦ καὶ τὸ ποιῆσαι τὴν δύναμιν ἑαυτοῦ ἀντιστῆναι παντὶ σπειρομένῳ λογισμῷ ὑπὸ τοῦ ἐχθροῦ. Τοῦτο γάρ ἐστι τὸ φυγεῖν ἀπὸ τοῦ κόσμου.

Εἶπεν ὁ ἀδελφός· Τί ἐστιν ὁ κόσμος; Καὶ ἀπεκρίθη ὁ Γέρων· Ὁ κόσμος ἐστὶν ὁ περισπασμὸς τῶν πραγμάτων· ὁ κόσμος ἐστὶ τὸ ἐργάσασθαι τὰ παρὰ φύσιν καὶ πληρῶσαι τὰ θελήματα ἑαυτῶν κατὰ σάρκα. Ὁ κόσμος ἐστὶ τὸ λογίσασθαι ἑαυτὸν παραμένειν ἐν τῷ αἰῶνι τούτῳ. Ὁ κόσμος ἐστὶ τὸ φροντίσαι τοῦ σώματος παρὰ τὴν ψυχὴν καὶ τὸ καυχᾶσθαι ἐν οἷς καταλιμπάνεις. Οὐκ ἐξ ἐμαυτοῦ δὲ ταῦτα εἶπον, ἀλλ' Ἰωάννης ὁ Ἀπόστολός ἐστιν ὁ ταῦτα λέγων· Μὴ ἀγαπᾶτε τὸν κόσμον μηδὲ τὰ ἐν κόσμῳ.

22. Εἶπε πάλιν ὅτι· Χρὴ τὸν ἡσυχάζοντα ἐρευνᾶν ἑαυτὸν πᾶσαν ὥραν, εἰ παρῆλθε τοὺς κατέχοντας αὐτὸν ἐν τῷ ἀέρι καὶ εἰ ἐλευθερώθη ἀπ' αὐτῶν ἔτι περιὼν ἐν τῷ σώματι· ὅσον γὰρ ὑπόκειται τῇ δουλείᾳ αὐτῶν, οὔπω δύναται ἡσυχάσαι.

---

12. Α΄ Ἰω. 2, 15.

13. Ὁ ἐναέριος καί περίγειος χῶρος θεωρεῖται ὡς τόπος διατριβῆς τῶν πονηρῶν δυνάμεων, οἱ ὁποῖες ἐπιδιώκουν νά ἐξουσιάσουν τούς ἀνθρώπους ἐνόσω βρίσκονται πάνω στή γῆ, ὥστε καί νά διεκδικήσουν τά δικαιώματά

20. Ἐπίσης εἶπε: «Κόβε τίς σχέσεις σου μέ τόν πολύ κόσμο, μή σοῦ δημιουργήσουν περισπασμό στόν ἀγώνα σου ἐναντίον τοῦ ἐχθροῦ καί σοῦ διαταράξουν τήν τάξη τῆς ἡσυχαστικῆς σου ζωῆς».

21. Κάποιος ἀδελφός ρώτησε τόν ἀββᾶ Ἠσαΐα*: «Πῶς πρέπει νά ἡσυχάζει κανείς μέσα στό κελί;» Καί ἀποκρίθηκε ὁ Γέροντας: «Τό νά ἡσυχάζει κανείς στό κελί σημαίνει νά ἐκθέτει συνεχῶς τόν ἑαυτό του ἐνώπιον τοῦ Θεοῦ καί νά ἐπιστρατεύει ὅλη του τή δύναμη γιά νά ἀντιστέκεται σέ κάθε λογισμό πού σπέρνει ὁ ἐχθρός· γιατί αὐτό σημαίνει ἀναχώρηση ἀπό τόν κόσμο».

Καί εἶπε ὁ ἀδελφός: «Τί σημαίνει κόσμος;» «Κόσμος εἶναι —ἀπάντησε ὁ Γέροντας— τό νά διασπᾶται κανείς σέ πολλές καί διάφορες ὑποθέσεις. Κόσμος εἶναι τό νά ἐνεργοῦν οἱ ἄνθρωποι τά ἀντίθετα πρός τήν ἀνθρώπινη φύση καί νά ἱκανοποιοῦν τά σαρκικά τους θελήματα. Κόσμος εἶναι τό νά νομίσει κανείς ὅτι μένει παντοτινά στή ζωή αὐτή. Κόσμος εἶναι νά φροντίζει γιά τό σῶμα πρός βλάβην τῆς ψυχῆς καί νά καυχιέται γι' αὐτά πού ἀφήνει πίσω του. Κι αὐτά δέν τά εἶπα ἀπό μόνος μου, ἀλλά ὁ Ἰωάννης ὁ Ἀπόστολος εἶναι πού τά λέει: Μήν ἀγαπᾶτε τόν κόσμο μήτε ὅσα εἶναι τοῦ κόσμου[12]».

22. Εἶπε ἐπίσης ὅτι εἶναι ἀνάγκη ὁ ἡσυχαστής νά ἐξετάζει τόν ἑαυτό του ὅλη τήν ὥρα, ἐάν ξέφυγε ἀπό αὐτούς πού τόν ἐξουσιάζουν στόν ἀέρα καί ἐάν ἐλευθερώθηκε ἀπ' αὐτούς, ἐνῶ περιβάλλεται ἀκόμη μέ τό σῶμα.

Γιατί ἐνόσω εἶναι ὑποδουλωμένος σ' αὐτούς, δέν μπορεῖ ἀκόμη νά ζήσει ἡσυχαστικά[13].

τους ἐπί τῆς ψυχῆς, καθώς θά ἐξέρχεται ἀπό τόν κόσμο αὐτόν (τελώνια).

Πρωταρχική ἐπιδίωξη τοῦ μοναχοῦ εἶναι, σύμφωνα μέ τόν ἀββᾶ, νά

23. Ἀδελφὸς ἠρώτησε τὸν αὐτὸν Γέροντα λέγων· Τί χρείαν ἔχει ποιῆσαι ὁ ἡσυχάζων; Καὶ εἶπεν· Ὁ ἡσυχάζων χρείαν ἔχει τῶν τριῶν ἔργων τούτων, φόβον Θεοῦ ἀδιάλειπτον, ὁμοίως καὶ τὸ αἰτεῖν μεθ' ὑπομονῆς καὶ τὸ μὴ ἀπολῦσαι τὴν καρδίαν αὐτοῦ ἀπὸ μνήμης Θεοῦ.

24. Εἶπεν ὁ ἀββᾶς Θεόδωρος ὁ τῆς Φέρμης ὅτι· Ἄνθρωπος μαθὼν τὴν γλυκύτητα τοῦ κελλίου, οὐχ ὡς ἀτιμάζων τὸν πλησίον αὐτοῦ φεύγει.

25. Εἶπε πάλιν· Ἐὰν μὴ ἐκκόψω ἐμαυτὸν ἀπὸ τῶν οἰκτιρμῶν τούτων, οὐκ ἐῶσί με εἶναι μοναχόν.

26. Ἠσθένησέ ποτε ὁ ἀββᾶς Ἰωσὴφ καὶ ἔπεμψε πρὸς τὸν ἀββᾶν Θεόδωρον λέγων· Δεῦρο, ἵνα σε ἴδω πρὸ τοῦ με ἐξελθεῖν ἐκ τοῦ σώματος· ἦν δὲ μέσον τῆς ἑβδομάδος καὶ οὐκ ἀπῆλθεν. Ἔπεμψε δὲ λέγων· Ἐὰν μείνῃς ἕως τοῦ Σαββάτου, ἔρχομαι· εἰ δὲ ὑπάγεις, εἰς ἐκεῖνον τὸν κόσμον βλέπομεν ἀλλήλους.

27. Ἀδελφὸς ἦλθε πρὸς τὸν ἀββᾶν Θεόδωρον, ἵνα διδάξῃ αὐτὸν ῥάπτειν, ἐνέγκας καὶ τὴν σειρὰν πρὸς αὐτόν· ὁ δὲ Γέρων λέγει αὐτῷ· Ὕπαγε καὶ τὸ πρωὶ δεῦρο ὧδε. Καὶ ἀναστὰς ὁ Γέρων ἔβρεξεν αὐτῷ τὴν σειρὰν καὶ ἡτοίμασε τὴν προκαταραφὴν λέγων· Οὕτως καὶ οὕτως ποίησον, καὶ

ἀπαλλαγεῖ ἀπό τήν ἐπιρροή τῶν πονηρῶν πνευμάτων, ὥστε ἀπελευθερωμένος ἀπ' αὐτά νά μπορέσει νά ἀσκήσει τό κύριο ἡσυχαστικό του ἔργο πού εἶναι ἡ κοινωνία μέ τόν Θεό.

14. Βουνό τῆς Αἰγύπτου, βόρεια τῆς Νιτρίας, ὅπου ἀσκήτευαν πολλοί ἀναχωρητές.

23. Ἕνας ἀδελφός τόν ρώτησε: «Τί χρειάζεται νά κάνει ὁ ἡσυχαστής;» Κι αὐτός εἶπε: «Ὁ ἡσυχαστής εἶναι ἀνάγκη νά κάνει τίς τρεῖς αὐτές ἐργασίες: νά ἔχει φόβο Θεοῦ συνεχῶς, νά ζητάει ὑπομονετικά καί νά μή χαλαρώσει στήν καρδιά του ἡ μνήμη τοῦ Θεοῦ».

24. Ὁ ἀββᾶς Θεόδωρος* τῆς Φέρμης[14] εἶπε: «Ὁ ἄνθρωπος πού γνώρισε τή γλυκύτητα τοῦ κελιοῦ, ἀποφεύγει τόν πλησίον του χωρίς αὐτό νά σημαίνει περιφρόνηση»[15].

25. Εἶπε πάλι: «Ἐάν δέν ξεκόψω τόν ἑαυτό μου ἀπό αὐτά τά αἰσθήματα συμπάθειας, δέν θά μ' ἀφήσουν νά εἶμαι μοναχός».

26. Ἀρρώστησε κάποτε ὁ ἀββᾶς Ἰωσήφ καί ἔστειλε μήνυμα στόν ἀββᾶ Θεόδωρο λέγοντάς του: «Ἔλα νά σέ δῶ, πρίν χωρισθῶ ἀπό τό σῶμα». Ἦταν τότε στά μέσα τῆς ἑβδομάδας καί δέν πῆγε ὁ ἀββᾶς Θεόδωρος. Τοῦ ἔστειλε ὅμως μήνυμα καί τοῦ ἔλεγε: «Ἐάν παραμείνεις ὥς τό Σάββατο, ἔρχομαι. Ἄν ὅμως ἀναχωρήσεις νωρίτερα, θά συναντηθοῦμε σ' ἐκεῖνο τόν κόσμο».

27. Ἕνας ἀδελφός πῆγε στόν ἀββᾶ Θεόδωρο, γιά νά τοῦ μάθει νά συρράπτει φοινικοβλαστούς, ἔχοντας μαζί του καί τήν ἀνάλογη δέσμη. Ὁ Γέροντας τοῦ λέει: «Πήγαινε καί ἔλα ἐδῶ τό πρωί».

Τό πρωί σηκώθηκε ὁ Γέροντας, τοῦ ἔβρεξε τή δέσμη, ἑτοίμασε τήν προκαταρκτική συρραφή καί τοῦ λέει: «Ἔτσι

---

15. Πρβλ.: «Ἡσυχαστής ἐστιν ὁ οὕτω (= τόσο) φεύγων πάντας ἀμίσως (= χωρίς νά τούς μισεῖ), ὡς ἕτερος (= ὅσο ἕνας ἀμελής) προστρέχων προθύμως, ἐγκοπὴν γλυκύτητος Θεοῦ λαβεῖν μὴ βουλόμενος (= γιατί δέν θέλει νά διακοπεῖ ἡ γεύση τῆς γλυκύτητος τοῦ Θεοῦ)» (*Κλῖμαξ* Λόγος ΚΖ' Περὶ ἡσυχίας).

ἀφῆκεν αὐτόν. Καὶ εἰσελθὼν εἰς τὸ κελλίον αὐτοῦ ἐκάθητο ὁ Γέρων· καὶ εἰς τὴν ὥραν ἐποίησεν αὐτὸν φαγεῖν καὶ ἀπέπεμψεν. Ἦλθε δὲ πάλιν πρωὶ καὶ λέγει αὐτῷ ὁ Γέρων· Ἆρον τὴν σειράν σου ἔνθεν καὶ ἀναχώρει· εἰς πειρασμὸν γὰρ ἦλθες βαλεῖν με καὶ εἰς φροντίδα, καὶ οὐκέτι ἀφῆκεν αὐτὸν ἔσω.

28. Εἶπεν ἡ ἀμμᾶς Θεοδώρα· Καλὸν τὸ ἡσυχάζειν· ἀνὴρ γὰρ φρόνιμος ἡσυχίαν ἄγει· μέγα γὰρ ἀληθῶς παρθένῳ ἢ μοναχῷ ἡσυχάζειν, μάλιστα δὲ τοῖς νέοις. Ἀλλὰ γίνωσκε ὅτι, ἐάν τις προθῆται ἡσυχάζειν, εὐθέως ὁ πονηρὸς ἔρχεται καὶ βαρεῖ τὴν ψυχὴν ἐν ἀκηδίᾳ, ἐν ὀλιγωρίᾳ, ἐν λογισμοῖς· βαρεῖ καὶ τὸ σῶμα ἐν ἀσθενείαις, ἐν ἀτονίᾳ, ἐν λύσει γονάτων καὶ ὅλων τῶν μελῶν καὶ λύει τὴν δύναμιν τῆς ψυχῆς καὶ τοῦ σώματος καὶ ὅτι ἀσθενῶ καὶ οὐκ ἰσχύω βαλεῖν τὴν σύναξιν· ἀλλ' ἐὰν νήψωμεν, πάντα ταῦτα διαλύονται.

Ἦν γάρ τις μοναχὸς καὶ ὡς ἤρχετο βαλεῖν τὴν σύναξιν, ἐλάμβανεν αὐτὸν ῥίγος καὶ πυρετὸς καὶ ἡ κεφαλὴ πόνῳ ὠχλεῖτο καὶ οὕτως ἔλεγεν ἑαυτῷ ὅτι· Ἰδοὺ ἀσθενῶ καὶ ἐνίοτε ἀποθνήσκω, ἐγερθεὶς οὖν πρὶν ἀποθάνω καὶ βάλω τὴν σύναξιν. Καὶ τῷ λογισμῷ τούτῳ ἐβιάζετο ἑαυτὸν καὶ ἔβαλλε τὴν σύναξιν· καὶ ὡς κατέπαυεν ἡ σύναξις, κατέπαυε καὶ ὁ πυρετός· καὶ πάλιν τῇ ὥρᾳ τῆς συνάξεως ἤρχετο ὁ πυρετὸς καὶ πάλιν τούτῳ τῷ λογισμῷ ὁ ἀδελφὸς ἀνθέστηκεν καὶ ἔβαλλε τὴν σύναξιν καὶ ἐνίκησε τὸν λογισμόν.

16. Πρβλ.: «Μικρὰ θρὶξ ταράσσει ὀφθαλμόν· καὶ μικρὰ φροντὶς ἀφανίζει ἡσυχίαν. Ἡσυχία γάρ ἐστιν ἀπόθεσις νοημάτων (= σκέψεων) καὶ ἄρνησις εὐλόγων φροντίδων» (*Κλῖμαξ* ὅ.π.).

κι ἔτσι νά κάνεις», καί τόν ἄφησε. Μπῆκε ὁ Γέροντας καί ἡσύχαζε στό κελί του, ἀλλά στήν κατάλληλη ὥρα τοῦ ἔβαλε νά φάει καί τόν ξεπροβόδισε. Τήν ἑπομένη ἦρθε πάλι πρωί ὁ ἀδελφός καί ὁ Γέροντας τοῦ λέει: «Πάρε ἀπό 'δῶ τό δεμάτι σου καί πήγαινε, γιατί ἦρθες νά μέ βάλεις σέ πειρασμό καί φροντίδα», καί δέν τόν ἄφησε νά μείνει πιά μέσα[16].

28. Εἶπε ἡ ἀμμᾶς Θεοδώρα: «Καλό πράγμα εἶναι ἡ ζωή τῆς ἡσυχίας· ὁ συνετός ἄνθρωπος ἡσυχάζει ἀληθινά, εἶναι σπουδαῖο νά ζεῖ τόν ἡσύχιο βίο ἡ μοναχή ἤ ὁ μοναχός καί προπάντων οἱ νέοι. Νά ξέρεις ὅμως ὅτι, ἄν κάποιος ἔχει τήν πρόθεση νά ζήσει τή ζωή τῆς ἡσυχίας, ἔρχεται ἀμέσως ὁ πονηρός καί βαρύνει τήν ψυχή μέ ἀκηδία, μέ ἀδιαφορία, μέ λογισμούς· βαρύνει καί τό σῶμα μέ ἀρρώστιες, μέ ἀτονία, μέ λύσιμο τῶν γονάτων καί ὅλων τῶν μελῶν· γενικά παραλύει τή δύναμη τῆς ψυχῆς καί τοῦ σώματος, ὁπότε λέει κανείς "εἶμαι ἄρρωστος καί δέν μπορῶ νά κάνω τήν ἀκολουθία μου". Ὅμως ἄν εἴμαστε νηφάλιοι[17], ὅλα αὐτά διαλύονται.

Ἦταν ἕνας μοναχός πού μόλις ἄρχιζε νά κάνει τήν ἀκολουθία του, τόν ἔπιανε ρίγος καί πυρετός, πονοῦσε τό κεφάλι του καί τότε ἔλεγε στόν ἑαυτό του: "Νά, εἶμαι ἄρρωστος καί κάποια ὥρα μπορεῖ νά πεθάνω· λοιπόν ἄς σηκωθῶ πρίν πεθάνω καί ἄς κάνω τήν ἀκολουθία μου". Μέ αὐτόν τόν λογισμό πίεζε τόν ἑαυτό του καί ἔκαμνε τήν ἀκολουθία του καί μόλις σταματοῦσε ἡ προσευχή, σταματοῦσε καί ὁ πυρετός, καί πάλι τήν ὥρα τῆς ἀκολουθίας ἐρχόταν ὁ πυρετός· καί ξανά μ' αὐτόν τόν λογισμό ἀντιστεκόταν ὁ ἀδελφός καί ἔκαμνε τήν ἀκολουθία του καί τελικά νίκησε τόν ἀρνητικό λογισμό».

17. Νηφάλιος (νήφω): αὐτός πού βρίσκεται σέ πνευματική ἐγρήγορση.

29. Ἔλεγεν ὁ ἀββᾶς Ἰωάννης ὅτι· Ἐὰν ἔχῃ ἄνθρωπος ἐν τῇ ψυχῇ αὐτοῦ σκεῦος τοῦ Θεοῦ, δύναται καθίσαι ἐν τῷ κελλίῳ, κἂν οὐκ ἔχῃ σκεῦος τοῦ κόσμου τούτου. Καὶ ἐὰν ἔχῃ πάλιν ἄνθρωπος τὰ σκεύη τοῦ κόσμου τούτου καὶ οὐκ ἔχῃ τὰ σκεύη τοῦ Θεοῦ, διὰ τὰ σκεύη τοῦ κόσμου καὶ αὐτὸς κάθηται ἐν τῷ κελλίῳ. Ὁ δὲ μὴ ἔχων ὅλως σκεύη, μήτε τοῦ Θεοῦ μήτε τοῦ κόσμου τούτου, οὐ δύναται ὅλως καθίσαι εἰς κελλίον.

30. Ἀδελφὸς ἦν οἰκῶν ἐν κοινοβίῳ πάνυ κρατῶν ἄσκησιν. Ἀκούσαντες δὲ ἀδελφοὶ εἰς Σκήτην περὶ αὐτοῦ, ἦλθον ἰδεῖν αὐτὸν καὶ εἰσῆλθον εἰς τὸν τόπον ὅπου αὐτὸς εἰργάζετο· καὶ ἀσπασάμενος αὐτοὺς ἐπιστραφεὶς ἤρξατο ἐργάζεσθαι. Ἰδόντες δὲ οἱ ἀδελφοὶ ὃ ἐποίησε, λέγουσιν αὐτῷ· Ἰωάννη, τίς ἔβαλέ σοι τὸ σχῆμα ἢ τίς ἐποίησέ σε μοναχὸν καὶ οὐκ ἐδίδαξέ σε λαβεῖν ἀπὸ τῶν ἀδελφῶν τὸ μηλωτάριον καὶ λέγειν αὐτοῖς εὔξασθε ἢ καθίσατε; Λέγει αὐτοῖς· Ἰωάννης ἁμαρτωλὸς οὐ σχολάζει εἰς ταῦτα.

31. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἰσιδώρου ὅτι ὡς ὑπῆγεν ἀδελφὸς πρὸς αὐτόν, ἔφυγεν ἐσώτερον τοῦ κελλίου. Καὶ ἔλεγον αὐτῷ οἱ ἀδελφοί· Ἀββᾶ, τί ἐστιν ὃ ποιεῖς; Καὶ ἔλεγεν ὅτι·

18. Ὁ ἀββᾶς ἐδῶ ἀναφέρεται σέ κάποιες βασικές προϋποθέσεις γιά νά μπορεῖ ἕνας ἄνθρωπος νά ἀντέξει τή μοναχική-ἀσκητική ζωή.

Ἡ βασικότερη προϋπόθεση εἶναι ἡ Χάρη τοῦ Θεοῦ, πού ὅταν ἔλθει στήν ψυχή, τήν ἕλκει πρός τά ἄνω παρέχοντάς της θεία «ἡδονή» (= ἐργαλεῖα τοῦ Θεοῦ), ὁπότε δέν ἔχει πρόβλημα νά ζήσει τή ζωή τοῦ κελιοῦ καί ἄν ἀκόμη λείπει ἡ παρηγοριά μιᾶς καθαρά ἀνθρώπινης ἀπασχόλησης, ὅπως εἶναι τό ἐργόχειρο, καλλιέργεια κήπου κλπ.

29. Ἔλεγε ὁ ἀββᾶς Ἰωάννης: «Ἐάν ἕνας ἄνθρωπος ἔχει μέσα στήν ψυχή του ἐργαλεῖα τοῦ Θεοῦ, μπορεῖ νά ζήσει σάν μοναχός στό κελί, κι ἄν ἀκόμη δέν ἔχει ἐργαλεῖα τοῦ κόσμου αὐτοῦ. Ἄν πάλι κάποιος ἄνθρωπος ἔχει τά ἐργαλεῖα τοῦ κόσμου τούτου καί δέν ἔχει τά ἐργαλεῖα τοῦ Θεοῦ, ἐξαιτίας τῶν κοσμικῶν ἐργαλείων μπορεῖ καί αὐτός νά ζήσει στό κελί. Ἐνῶ ἐκεῖνος ὁ ὁποῖος δέν ἔχει διόλου ἐργαλεῖα, μήτε τοῦ Θεοῦ μήτε τοῦ κόσμου αὐτοῦ, δέν μπορεῖ καθόλου νά ζήσει τή ζωή τοῦ κελιοῦ»[18].

30. Ἕνας ἀδελφός ζοῦσε σέ κοινόβιο, κρατώντας αὐστηρή ἄσκηση. Ὅταν μερικοί ἀδελφοί τῆς Σκήτης ἄκουσαν γι' αὐτόν, ἦρθαν νά τόν δοῦν καί μπῆκαν στόν τόπο, ὅπου ὁ ἴδιος ἐργαζόταν. Ἐκεῖνος ἀφοῦ τούς ἀσπάστηκε, στράφηκε πίσω καί ἄρχισε νά ἐργάζεται. Οἱ ἀδελφοί βλέποντας αὐτό πού ἔκανε τοῦ λένε: «Ἰωάννη, ποιός σοῦ ἔδωσε τό σχῆμα ἤ ποιός σέ ἔκανε μοναχό καί δέν σοῦ δίδαξε νά παίρνεις ἀπ' τούς ἀδελφούς τό ἐπανωφόρι καί νά τούς λές: εὐχηθεῖτε ἤ καθεῖστε;» Τούς ἀπαντᾶ: «Ὁ Ἰωάννης ὁ ἁμαρτωλός δέν εὐκαιρεῖ γι' αὐτά».

31. Ἔλεγαν γιά τόν ἀββᾶ Ἰσίδωρο* ὅτι κάθε φορά πού πήγαινε σ' αὐτόν κάποιος μοναχός, συνήθιζε νά φεύγει πιό βαθιά στό κελί. Καί τοῦ ἔλεγαν οἱ ἀδελφοί: «Ἀββᾶ, τί σημαίνει αὐτό πού κάνεις;» Κι ἐκεῖνος ἔλεγε: «Καί τά θηρία

Ὅταν πάλι λείπει ἤ αἴρεται γιά κάποιο χρονικό διάστημα ἡ Χάρη τοῦ Θεοῦ καί δίνει στόν ἑαυτό του ὁ μοναχός τήν παρηγοριά τῆς ἐργασίας, ὅπως ἀναφέραμε, μπορεῖ νά ἀντέξει τή ζωή τοῦ κελιοῦ. Καί ὁ Θεός βλέποντας τήν πρόθεσή του καί τόν ἀγώνα τῆς ὑπομονῆς θά τόν ἐπισκεφθεῖ καί θά τόν χαριτώσει. Ἄν ὅμως λείπουν καί οἱ δυό προϋποθέσεις συγχρόνως, δέν μπορεῖ τίποτε νά τόν κρατήσει στήν ἀσκητική ζωή.

Καὶ τὰ θηρία φεύγοντα εἰς τὰς κοίτας αὐτῶν σῴζονται. Ταῦτα δὲ ἔλεγε διὰ τὴν ὠφέλειαν τῶν ἀδελφῶν.

32. Ἐγένετό τις σχολαστικὸς ἐν Ἀλεξανδρείᾳ, Κοσμᾶς ὀνόματι, πάνυ θαυμαστὸς καὶ ἐνάρετος, ταπεινόφρων, ἐλεήμων, ἐγκρατής, παρθένος, ἥσυχος, φιλόξενος, φιλόπτωχος· ἔχων οὖν ἐγὼ πολλὴν παρρησίαν πρὸς αὐτὸν ἐν μιᾷ λέγω αὐτῷ· Ποίησον ἀγάπην, πόσον χρόνον ἔχεις ἡσυχάζων; Σιωπῶντος καὶ μηδὲν ἀποκρινομένου πάλιν λέγω αὐτῷ· Διὰ τὸν Κύριον, εἰπέ μοι. Ὁ δὲ μικρὸν ὑποσχὼν λέγει μοι· Ἔχω τριάκοντα τρεῖς χρόνους. Πάλιν οὖν λέγω αὐτῷ· Ποίησον τελείαν τὴν ἀγάπην ὡς εἰδὼς ὅτι δι᾽ ὠφέλειαν ψυχῆς ἐρωτῶ· εἰπέ μοι ἐν τοσούτῳ χρόνῳ τῆς ἡσυχίας τί ἐκατόρθωσας. Ὁ δὲ μέγα στενάξας ἐκ βάθους τῆς καρδίας λέγει μοι· Τί ἔχει κοσμικὸς ἄνθρωπος κατορθῶσαι καὶ μάλιστα ἐν τῷ οἴκῳ αὐτοῦ καθεζόμενος; Ἐγὼ δὲ παρεκάλουν αὐτὸν λέγων· Διὰ τὸν Κύριον εἰπὲ καὶ ὠφέλησόν με. Τότε πολλὰ βιασθεὶς παρ᾽ ἐμοῦ εἶπε· Συγχώρησόν μοι, τὰ τρία ταῦτα οἶδα ὅτι κατώρθωσα, τὸ μὴ γελάσαι, τὸ μὴ ὀμόσαι, τὸ μὴ ψεύσασθαι· ἐγὼ δὲ ἀκούσας ἐδόξασα τὸν Θεόν.

33. Ὁ ἀββᾶς Μακάριος ὁ μέγας ἔλεγε τοῖς ἀδελφοῖς ἐν τῇ Σκήτῃ ὡς ἀπέλυε τὴν ἐκκλησίαν· Φεύγετε, ἀδελφοί. Καὶ εἶπεν αὐτῷ τις τῶν Γερόντων· Πάτερ, ποῦ ἔχομεν φυγεῖν πλέον τῆς ἐρήμου ταύτης; Ὁ δὲ ἐτίθει τὸν δάκτυλον αὐτοῦ εἰς τὸ στόμα αὐτοῦ λέγων· Τοῦτο φεύγετε. Καὶ εἰσήρχετο εἰς τὸ κελλίον αὐτοῦ καὶ ἔκλειε τὴν θύραν καὶ ἐκάθητο.

σώζονται, ὅταν καταφεύγουν στίς φωλιές τους». Καί αὐτά τά ἔλεγε γιά τήν ὠφέλεια τῶν ἀδελφῶν.

32. Ζοῦσε κάποτε στήν Ἀλεξάνδρεια ἕνας μορφωμένος ἄνθρωπος πού τόν ἔλεγαν Κοσμά. Ἦταν ἀξιοθαύμαστος καί πολύ ἐνάρετος, μέ ταπεινό φρόνημα, σπλαχνικός, ἐγκρατής, παρθένος, ἄνθρωπος τῆς ἡσυχίας, φιλόξενος, φίλος τῶν φτωχῶν. Ἐπειδή ἐγώ τοῦ εἶχα μεγάλη οἰκειότητα, μιά φορά τοῦ λέω: «Κάνε ἀγάπη· πόσο χρόνο ζεῖς τή ζωή τῆς ἡσυχίας;» Ἐπειδή σώπαινε καί δέν μοῦ ἔδινε καμιά ἀπάντηση, πάλι τοῦ λέω: «Γιά χάρη τοῦ Κυρίου πές μου». Κι ἐκεῖνος, ἀφοῦ γιά λίγο κρατήθηκε, μοῦ λέει: «Ἔχω τριάντα τρία χρόνια». Πάλι τοῦ λέω: «Κάνε τέλεια τήν ἀγάπη, γιατί ξέρεις πολύ καλά ὅτι γιά ὠφέλεια τῆς ψυχῆς σέ ρωτῶ: πές μου, τόσο μεγάλο χρονικό διάστημα τῆς ἡσυχαστικῆς σου ζωῆς τί κατόρθωσες;». Ἐκεῖνος, ἀφοῦ ἀναστέναξε ἀπό τά βάθη τῆς καρδιᾶς, μοῦ λέει: «Ἕνας ἄνθρωπος κοσμικός τί μπορεῖ νά κατορθώσει καί μάλιστα τή στιγμή πού κάθεται στό σπίτι του;» Ὅμως ἐγώ τόν παρακαλοῦσα: «Γιά χάρη τοῦ Κυρίου πές μου καί ὠφέλησέ με». Καί ἐπειδή τόν πίεσα πολύ, εἶπε: «Συγχώρεσέ με, αὐτά τά τρία ξέρω ὅτι κατόρθωσα: νά μή γελῶ, νά μήν ὁρκίζομαι καί νά μή λέω ψέματα». Ἐγώ ὅταν τ᾽ ἄκουσα, δόξασα τόν Θεό.

33. Ὁ ἀββᾶς Μακάριος ὁ Μέγας* ἔλεγε στούς ἀδελφούς στή Σκήτη, μόλις ἔκαμνε ἀπόλυση τῆς ἐκκλησίας: «Φεύγετε, ἀδελφοί». Καί τοῦ εἶπε ἕνας ἀπό τούς Γέροντες: «Πάτερ, πιό πέρα ἀπό τήν ἔρημο αὐτή ποῦ μποροῦμε νά φύγουμε;» Κι ἐκεῖνος ἔβαζε τό δάχτυλο στό στόμα του καί ἔλεγε: «Αὐτό νά φεύγετε»· καί ἔμπαινε μέσα στό κελί του, ἔκλεινε τή θύρα καί καθόταν.

34. Εἶπεν ὁ ἀββᾶς Μωυσῆς τῷ ἀββᾷ Μακαρίῳ εἰς Σκήτην· Θέλω ἡσυχάσαι καὶ οὐκ ἀφίουσί με οἱ ἀδελφοί. Λέγει αὐτῷ ὁ ἀββᾶς Μακάριος· Θεωρῶ ὅτι ἡ φύσις σου ἁπαλή ἐστι καὶ οὐ δύνασαι ἀποστρέψαι ἀδελφόν· ἀλλ' ἐὰν θέλῃς ἡσυχάσαι, ὕπαγε εἰς τὴν ἔρημον ἔσω εἰς τὴν πέτραν κἀκεῖ ἡσυχάζεις. Καὶ τοῦτο ἐποίησε καὶ ἀνεπάη.

35. Ἠρώτησεν ὁ ἀββᾶς Ἡσαΐας τὸν ἀββᾶν Μακάριον λέγων· Εἰπέ μοι ῥῆμα. Καὶ λέγει αὐτῷ ὁ Γέρων· Φεῦγε τοὺς ἀνθρώπους. Λέγει αὐτῷ ὁ ἀββᾶς Ἡσαΐας· Τί ἐστι τὸ φεύγειν τοὺς ἀνθρώπους; Ὁ δὲ Γέρων εἶπεν αὐτῷ· Τὸ καθῆσαι εἰς τὸ κελλίον σου καὶ κλαῦσαι τὰς ἁμαρτίας σου.

36. Ὁ ἀββᾶς Ἀϊὼ ἠρώτησε τὸν ἀββᾶν Μακάριον λέγων· Εἰπέ μοι ῥῆμα. Λέγει αὐτῷ ὁ ἀββᾶς Μακάριος· Φεῦγε τοὺς ἀνθρώπους, κάθου εἰς τὸ κελλίον σου καὶ κλαῦσαι τὰς ἁμαρτίας σου καὶ μὴ ἀγάπα λαλιὰν ἀνθρώπῳ καὶ σῴζῃ.

37. Ἀδελφὸς παρέβαλεν εἰς Σκήτην πρὸς τὸν ἀββᾶν Μωυσῆν αἰτούμενος παρ' αὐτοῦ λόγον. Λέγει αὐτῷ ὁ Γέρων· Ὕπαγε, κάθου εἰς τὸ κελλίον σου καὶ τὸ κελλίον σου διδάσκει σε πάντα.

38. Εἶπεν ὁ ἀββᾶς Μωυσῆς· Ἄνθρωπος φεύγων τοὺς ἀνθρώπους ἔοικε σταφυλῇ ὀπτῇ, ὁ δὲ μετὰ ἀνθρώπων ὡς ὄμφαξ ἐστίν.

19. Πρβλ.: «Οὐ δύναται ἡ ψυχὴ ὡς δεῖ τὸν Θεὸν ἐπιγνῶναι, ἐὰν μὴ συστείλῃ ἑαυτὴν ἀπὸ τῶν ἀνθρώπων καὶ ἀπὸ παντὸς περισπασμοῦ» (Ἀββᾶ Ἀμμωνᾶ *Ἐπιστ. Α'*).

34. Ὁ ἀββᾶς Μωυσῆς εἶπε στόν ἀββᾶ Μακάριο, στή Σκήτη: «Θέλω νά ζήσω τή ζωή τῆς ἡσυχίας, ὅμως δέν μέ ἀφήνουν οἱ ἀδελφοί». Τοῦ λέει ὁ ἀββᾶς Μακάριος: «Βλέπω ὅτι ἀπό χαρακτήρα εἶσαι λεπτός καί δέν μπορεῖς νά ἀποφύγεις τόν ἀδελφό· ἄν ὅμως θέλεις τή ζωή τῆς ἡσυχίας, πήγαινε στήν ἔρημο βαθιά, στόν βράχο, κι ἐκεῖ θά ζήσεις τή ζωή τῆς ἡσυχίας». Τό ἔκανε αὐτό καί βρῆκε ἀνάπαυση.

35. Εἶπε ὁ ἀββᾶς Ἠσαΐας στόν ἀββᾶ Μακάριο: «Πές μου ἕναν λόγο». Καί ὁ Γέροντας τοῦ λέει: «Νά ἀποφεύγεις τούς ἀνθρώπους». Τόν ρωτάει ὁ ἀββᾶς Ἠσαΐας: «Τί σημαίνει νά ἀποφεύγει κανείς τούς ἀνθρώπους;» Καί ὁ Γέροντας τοῦ ἀπαντᾶ: «Σημαίνει νά καθήσεις στό κελί σου καί νά κλάψεις τίς ἁμαρτίες σου».

36. Ὁ ἀββᾶς Ἀϊώ εἶπε στόν ἀββᾶ Μακάριο: «Πές μου ἕναν λόγο». Τοῦ λέει ὁ ἀββᾶς Μακάριος: «Νά ἀποφεύγεις τούς ἀνθρώπους, νά κάθεσαι μέσα στό κελί σου, νά κλάψεις τίς ἁμαρτίες σου καί νά μή σοῦ ἀρέσει νά 'χεις κουβέντα μέ ἄνθρωπο[19]· ἔτσι θά σωθεῖς».

37. Ἕνας ἀδελφός ἐπισκέφθηκε στή Σκήτη τόν ἀββᾶ Μωυσῆ* καί τοῦ ζήτησε νά τοῦ πεῖ κάποιον λόγο. Καί ὁ Γέροντας τοῦ λέει: «Πήγαινε, κάθησε στό κελί σου, καί τό κελί σου θά σοῦ τά διδάξει ὅλα».

38. Εἶπε ὁ ἀββᾶς Μωυσῆς: «Ὁ ἄνθρωπος πού ἀποφεύγει τούς ἀνθρώπους, μοιάζει μέ ὥριμο σταφύλι· ἐνῶ αὐτός πού βρίσκεται μέ ἀνθρώπους εἶναι σάν ἀγουρίδα».

39. Εἶπεν ὁ ἀββᾶς Μᾶρκος· Ὁ διαπεράσαι θέλων τὴν νοητὴν θάλασσαν μακροθυμεῖ, ταπεινοφρονεῖ, ἀγρυπνεῖ, ἐγκρατεύεται· ἐκτὸς δὲ τῶν τεσσάρων τούτων ἐὰν εἰσελθεῖν διάσηται, θορυβεῖ μὲν τὴν καρδίαν, περάσαι δὲ οὐ δύναται.

40. Εἶπε πάλιν· Ἡσυχία ὠφελεῖ τῶν κακῶν ἀργήσασα· ἐὰν δὲ καὶ τὰς τέσσαρας ἀρετὰς ταύτας ἐν προσευχῇ προσλάβηται βοήθημα πρὸς ἀπάθειαν, οὐδὲν αὐτῶν συντομώτερον.

41. Εἶπε πάλιν· Οὐκ ἔστιν ἡσυχάσαι τὸν νοῦν ἄνευ τοῦ σώματος, οὔτε λῦσαι τὸ τούτων μεσότοιχον ἄνευ ἡσυχίας καὶ προσευχῆς.

42. Εἶπεν ὁ ἀββᾶς Νεῖλος· Ἄτρωτος διαμένει μοναχὸς ἀπὸ τῶν βελῶν τοῦ ἐχθροῦ ὁ ἀγαπῶν ἡσυχίαν, ὁ δὲ συναναμιγνύμενος πλήθεσι συνεχεῖς δέχεται πληγάς· καὶ θυμὸς γὰρ ἠρεμῶν ἐπιεικέστερος γίνεται καὶ ἐπιθυμία ἡσυχάζουσα πραότερον ὁρμᾶν κατὰ λόγον ἐθίζεται· καὶ πᾶν πάθος ἁπλῶς ἐπὶ τὸ μετριώτερον ὁσημέραι μὴ κινούμενον πρόεισι καὶ παύεται πάντως ὕστερον, τῆς οἰκείας ἐνεργείας τῷ χρόνῳ λήθην ποιούμενον. Καὶ μένουσιν αἱ μνῆμαι λοιπὸν τῶν πραγμάτων ψιλαὶ τῆς ἐμπαθοῦς ὑποχωρησάσης διαθέσεως.

43. Εἶπε πάλιν· Διὰ τοῦτο καλὸν τὸ ἡσυχάζειν, ὅτι τὸ βλάπτον οὐχ ὁρᾶται, τὸ δὲ μὴ ὁραθὲν οὐ δέχεται ἡ διάνοια,

20. Ἐννοεῖ τίς ἀρετές πού ἀνέφερε στό προηγούμενο ἀπόφθεγμα.

39. Εἶπε ὁ ἀββᾶς Μάρκος*: «Ὅποιος θέλει νά διασχίσει τή νοητή θάλασσα, μακροθυμεῖ, ταπεινοφρονεῖ, ἀγρυπνεῖ, ἐγκρατεύεται. Ἐάν προσπαθήσει νά μπεῖ στή θάλασσα χωρίς τίς τέσσερις αὐτές ἀρετές, ταράζει τήν καρδιά του, ἀλλά νά τήν περάσει δέν μπορεῖ».

40. Εἶπε ἐπίσης: «Ἡ ἡσυχία ὠφελεῖ, ἐάν ἔχει κόψει τίς σχέσεις της μέ καθετί τό κακό. Καί ἐάν μάλιστα προσευχόμενος ὁ μοναχός λάβει ἐπιπλέον καί τίς τέσσερις αὐτές ἀρετές[20] ὡς βοήθεια πρός τήν ἀπάθεια, τίποτε δέν τόν ὁδηγεῖ συντομότερα ἀπ' αὐτές στήν ἀπάθεια».

41. Εἶπε ἀκόμη: «Δέν εἶναι δυνατόν νά ἡσυχάσει ὁ νοῦς, ἄν δέν ἡσυχάσει τό σῶμα, οὔτε νά γκρεμίσει τόν τοῖχο πού τά χωρίζει χωρίς ἡσυχία καί προσευχή».

42. Εἶπε ὁ ἀββᾶς Νεῖλος*: «Αὐτός πού ἀγαπᾶ τήν ἡσυχία δέν τραυματίζεται ἀπό τά βέλη τοῦ ἐχθροῦ· ἐνῶ ὅταν ἀναμιγνύεται μέ πλῆθος κόσμου, πληγώνεται συνεχῶς. Π.χ. ὁ θυμός στόν ἄνθρωπο πού βρίσκεται σέ ἠρεμία, παρουσιάζεται ἠπιότερος· καί ἡ ἐπιθυμία στή ζωή τῆς ἡσυχίας συνηθίζει νά ξεκινάει πιό ἤρεμα καί σύμφωνα μέ τή λογική. Ἀλλά καί κάθε πάθος γενικά πού δέν ἐρεθίζεται, πάει σιγά-σιγά νά μετριασθεῖ καί κατόπιν ἀδρανεῖ ἐντελῶς, καθώς μέ τόν καιρό λησμονεῖ τή συνηθισμένη του ἐνέργεια. Ἔτσι μένει σάν ὑπόλοιπο ἡ ἀνάμνηση τῶν γεγονότων ἄτονη, ἀφοῦ ἔχει ὑποχωρήσει ἡ ἐμπαθής διάθεση».

43. Εἶπε μιά ἄλλη φορά: «Ἡ ἡσυχία εἶναι ὠφέλιμη γι' αὐτόν τόν λόγο, γιατί δέν βλέπει αὐτά πού βλάπτουν. Καί αὐτό πού δέν εἶναι ὁρατό, δέν μπαίνει στή διάνοια· καί ὅ,τι

τὸ δὲ μὴ γενόμενον ἐν ταύτῃ οὐ κινεῖ τῇ φαντασίᾳ μνήμην, τὸ δὲ μὴ κινοῦν τὴν μνήμην οὐκ ἐρεθίζει τὸ πάθος. Μὴ κινουμένου δὲ τοῦ πάθους γαλήνην ἔχει βαθεῖαν καὶ πολλὴν εἰρήνην τὰ ἔνδον.

44. Ὁ ἀββᾶς Ἰωσὴφ λέγει τῷ ἀββᾷ Νισθερώῳ· Τί ποιήσω τῇ γλώσσῃ μου ὅτι οὐ δύναμαι κρατῆσαι αὐτῆς; Καὶ λέγει αὐτῷ ὁ Γέρων· Ἐὰν οὖν λαλήσῃς, ἔχεις ἀνάπαυσιν; Λέγει αὐτῷ· Οὐχί. Καὶ εἶπεν ὁ Γέρων· Εἰ οὐκ ἔχεις ἀνάπαυσιν, διὰ τί λαλεῖς; Μᾶλλον σιώπα καί, ἐὰν συμβῇ ὁμιλία, πολλὰ ἄκουε μᾶλλον ἢ λάλει.

45. Εἶπεν ὁ ἀββᾶς Ποιμήν· Ἀρχὴ κακῶν ἐστιν ὁ περισπασμός.

46. Εἶπε πάλιν· Φεύγειν δεῖ τὰ σωματικά. Ὅταν γὰρ ᾖ ἄνθρωπος ἐγγὺς τοῦ σωματικοῦ πολέμου, ἔοικεν ἀνδρὶ στήκοντι ἐπάνω λάκκου βαθυτάτου· καὶ οἵᾳ δ' ἂν ὥρᾳ δόξῃ τῷ ἐχθρῷ αὐτοῦ, εὐκόλως αὐτὸν ῥίπτει κάτω. Ἐὰν δὲ τῶν σωματικῶν μακρὰν ᾖ, ἔοικεν ἀνδρὶ μακρὰν ἀπέχοντι τοῦ λάκκου, ἵνα κἂν ἕλκῃ αὐτὸν ὁ ἐχθρὸς βαλεῖν κάτω, ἐν ὅσῳ αὐτὸν ἕλκει καὶ βιάζεται, ὁ Θεὸς ἀποστέλλει αὐτῷ βοήθειαν.

47. Εἶπε πάλιν· Ἐὰν ᾖς σιωπητικός, ἕξεις ἀνάπαυσιν ἐν παντὶ τόπῳ, οὗ ἐὰν οἰκήσῃς.

48. Ἀδελφῷ ἐν Θηβαΐδι καθημένῳ ἐν τῇ ἐρήμῳ ἦλθεν

21. Θηβαΐς: καλεῖται γενικά ἡ Ἄνω Αἴγυπτος λόγω τῆς παλιᾶς πόλης τῶν Θηβῶν, πού ὑπῆρξε παλιά καί ἕδρα τῶν βασιλέων. Σώζονται ἐρείπιά της μέ

δέν σχηματίζεται στή διάνοια, δέν θέτει σέ ἐνέργεια τή μνήμη μέ τή βοήθεια τῆς φαντασίας· καί ἐκεῖνο πού δέν ὑποκινεῖ τή μνήμη, δέν ἐρεθίζει τό πάθος. Ἐνόσω λοιπόν δέν ὑποκινεῖται τό πάθος, ὁ ἐσωτερικός κόσμος ἔχει βαθιά γαλήνη καί πολλή εἰρήνη».

44. Ὁ ἀββᾶς Ἰωσήφ λέει στόν ἀββᾶ Νισθερῶο: «Τί νά κάνω μέ τή γλώσσα μου, πού δέν μπορῶ νά τή συγκρατήσω;». Τοῦ λέει ὁ Γέροντας: «Βρίσκεις ἀνάπαυση, ἄν μιλήσεις;» «Ὄχι» τοῦ ἀπαντᾶ. Τότε λέει ὁ Γέροντας: «Ἀφοῦ δέν ἔχεις ἀνάπαυση, γιατί μιλᾶς; Καλύτερα νά σιωπᾶς· καί, ἄν γίνεται συζήτηση, προτιμότερο πολλά νά ἀκοῦς παρά νά λές».

45. Εἶπε ὁ ἀββᾶς Ποιμήν*: «Ὁ περισπασμός εἶναι ἀρχή κακῶν».

46. Εἶπε ἐπίσης: «Πρέπει νά ἀποφεύγει κανείς τά σαρκικά ἐρεθίσματα. Γιατί ὅταν ὁ ἄνθρωπος βρίσκεται κοντά στόν σαρκικό πόλεμο, μοιάζει μέ τόν ἄνθρωπο πού στέκεται πάνω ἀπό λάκκο πολύ βαθύ. Καί ὅποια ὥρα θελήσει ὁ ἐχθρός, μέ εὐκολία τόν ρίχνει κάτω. Ἐάν ὅμως εἶναι μακριά ἀπό τά σαρκικά ἐρεθίσματα, μοιάζει μέ ἄνθρωπο πού ἀπέχει πολύ ἀπό τόν λάκκο, μέ ἀποτέλεσμα κι ἄν ἀκόμη τόν σέρνει ὁ ἐχθρός γιά νά τόν ρίξει μέσα, τήν ὥρα πού τόν σέρνει καί τόν πιέζει, ὁ Θεός τοῦ στέλνει βοήθεια».

47. Εἶπε πάλι: «Ἄν ἀγαπᾶς τή σιωπή, θά ἔχεις ἀνάπαυση, σέ ὅποιον τόπο κι ἄν κατοικήσεις».

48. Σ' ἕναν ἀδελφό πού ἀσκήτευε στήν ἔρημο τῆς Θηβαΐδος[21] τοῦ ἦρθε ὁ ἑξῆς λογισμός: «Τί κάθεσαι ἄκαρπος;

τά ὀνόματα Λοῦξορ καί Καρνάκ. Ἐδῶ σημαίνει τήν ἔρημο ἀπό τίς δυό

αὐτῷ λογισμὸς λέγων· Τί κάθῃ ἄκαρπος; Ἀνάστα, ὕπαγε εἰς κοινόβιον καὶ ἐκεῖ ποιεῖς καρπόν. Καὶ ἀναστὰς ἦλθε πρὸς τὸν ἀββᾶν Παφνούτιον καὶ ἀνήγγειλεν αὐτῷ τὸν λογισμὸν καὶ λέγει αὐτῷ ὁ Γέρων· Ὕπαγε, κάθου εἰς τὸ κελλίον σου καὶ ποίει μίαν εὐχὴν πρωὶ καὶ μίαν ἑσπέρας καὶ μίαν τὴν νύκτα· καὶ ὅταν πεινᾷς, φάγε, καί ὅταν διψᾷς, πίε, καί ὅταν νυστάζῃς, κοιμῶ· καὶ μένε εἰς γῆν ἔρημον.

Καὶ μὴ πεισθεὶς αὐτῷ ἦλθε καὶ πρὸς τὸν ἀββᾶν Ἰωάννην καὶ ἀνήγγειλεν τὰ ῥήματα τοῦ ἀββᾶ Παφνουτίου καὶ λέγει αὐτῷ ὁ ἀββᾶς Ἰωάννης· Μὴ ποιήσῃς ὅλως εὐχήν, μόνον κάθου εἰς τὸ κελλίον σου. Καὶ ἀναστὰς ἦλθε πρὸς τὸν ἀββᾶν Ἀρσένιον καὶ ἀνήγγειλεν αὐτῷ πάντα. Καὶ λέγει αὐτῷ ὁ Γέρων· Κράτει ὡς οἱ πατέρες σοι εἶπον· πλεῖον γὰρ τούτων οὐκ ἔχω σοί τι εἰπεῖν· καὶ πληροφορηθεὶς ἀπῆλθεν.

49. Ὁ ἀββᾶς Παῦλος καὶ Τιμόθεος κοσμῆται ἦσαν ἐν τῇ Σκήτῃ καὶ ὠχλοῦντο ὑπὸ τῶν ἀδελφῶν. Καὶ λέγει ὁ Τιμόθεος τῷ ἀδελφῷ αὐτοῦ· Τί θέλομεν τὴν τέχνην ταύτην; Οὐκ ἀφιέμεθα ἡσυχάσαι ὅλην τὴν ἡμέραν. Καὶ ἀποκριθεὶς ὁ ἀββᾶς Παῦλος εἶπεν αὐτῷ· Ἀρκεῖ ἡμῖν ἡ ἡσυχία τῆς νυκτός, ἐὰν νήφῃ ἡμῶν ἡ διάνοια.

50. Εἶπέ τις τῶν ἁγίων ὅτι· Ἀδύνατόν ἐστι τῷ ἀνθρώπῳ, ἐφ' ὅσον ἔχει τὴν γλυκύτητα τοῦ κόσμου, ἔχειν καὶ τὴν γλυκύτητα τοῦ Θεοῦ. Πάλιν δὲ ἐὰν γεύσηται τὴν γλυκύτητα τοῦ Θεοῦ, μισεῖ τὸν κόσμον, καθὼς γέγραπται ὅτι· Οὐδεὶς δύνα-

πλευρές τοῦ Νείλου ποταμοῦ στήν ὁποία εἶχαν καταφύγει πολλοί Χριστιανοί καί ἀναπτύχθηκε μέ τόν καιρό σέ μεγάλο κέντρο ἀναχωρητισμοῦ.

22. Κοσμῆται λέγονταν αὐτοί· πρβλ. *Ἐπιτίμια* ἁγ. Θεοδώρου Στουδίτου,

Σήκω, πήγαινε σέ κοινόβιο κι ἐκεῖ θά ἔχεις καρπό». Ὁ ἀδελφός σηκώθηκε, πῆγε στόν ἀββᾶ Παφνούτιο, τοῦ φανέρωσε τόν λογισμό του καί ὁ Γέροντας τοῦ εἶπε: «Νά γυρίσεις πίσω, νά κάθεσαι στό κελί σου καί νά κάνεις μία προσευχή τό πρωί, μία τό ἀπόγευμα καί μία τό βράδυ. Ἀκόμα, ὅταν πεινᾶς, νά τρῶς, ὅταν διψᾶς, νά πίνεις νερό, καί ὅταν νυστάζεις, νά κοιμᾶσαι· ἀλλά νά μένεις στήν ἔρημο».

Ἐπειδή ὅμως δέν πίστεψε σ' αὐτά πού τοῦ εἶπε ὁ Γέροντας, πῆγε καί στόν ἀββᾶ Ἰωάννη καί τοῦ ἀνήγγειλε ὅσα τοῦ εἶχε πεῖ ὁ ἀββᾶς Παφνούτιος. Ὁ ἀββᾶς Ἰωάννης τοῦ λέει: «Μήν κάνεις καθόλου προσευχή, μόνο νά κάθεσαι στό κελί σου». Ἔπειτα σηκώθηκε καί ἦρθε στόν ἀββᾶ Ἀρσένιο καί τοῦ τά εἶπε ὅλα. Τοῦ λέει ὁ Γέροντας: «Μένε πιστός σ' ὅ,τι σοῦ εἶπαν οἱ πατέρες· τίποτε περισσότερο δέν ἔχω νά σοῦ πῶ». Κι ἐπειδή βεβαιώθηκε ὅτι ἡ ἀπάντηση ἦταν ἀπό τόν Θεό, ἔφυγε.

49. Ὁ ἀββᾶς Παῦλος καί ὁ Τιμόθεος εἶχαν τό διακόνημα νά εὐτρεπίζουν τή Σκήτη[22] καί ἐνοχλοῦνταν ἀπό τούς ἀδελφούς. Κάποια φορά λέει ὁ Τιμόθεος στόν ἀδελφό του: «Τί τή θέλουμε αὐτή τήν τέχνη; Δέν μᾶς ἀφήνει νά ἡσυχάσουμε ὅλη τή μέρα». Καί ὁ ἀββᾶς Παῦλος τοῦ ἀπαντᾶ: «Ἄν ὁ νοῦς μας εἶναι νηφάλιος, μᾶς εἶναι ἀρκετή ἡ ἡσυχία τῆς νύχτας».

50. Εἶπε κάποιος ἀπό τούς ἁγίους ὅτι εἶναι ἀδύνατο στόν ἄνθρωπο, ἐφόσον ἀπολαμβάνει τή γλυκύτητα τοῦ κόσμου, νά ἔχει καί τή γλυκύτητα τοῦ Θεοῦ. Ἐπίσης ἐάν γευθεῖ τή γλυκύτητα τοῦ Θεοῦ, μισεῖ τόν κόσμο, ὅπως λέει ἡ Ἁγία Γραφή: «Κανείς δέν μπορεῖ νά ὑπηρετεῖ δύο κυρί-

Περὶ τοῦ κοσμήτου: «Ἐὰν μὴ δὶς τῆς ἑβδομάδος πᾶσαν τὴν Μονὴν φιλοκαλῇ, μετάνοιαι πεντήκοντα ἢ ξηροφαγείτω» (PG 99, 1745-46).

ται δυσὶ κυρίοις δουλεύειν. Καὶ ἡμεῖς, ἐφόσον θέλομεν τὴν τῶν ἀνθρώπων σχέσιν καὶ τὴν ἀνάπαυσιν τοῦ σώματος, οὐ δυνάμεθα ἀπολαῦσαι τῆς γλυκύτητος τοῦ Θεοῦ. Τοῦτο δὲ λέγω, ὅτι ἐάν τις καθίσῃ εἰς τὸ κελλίον αὐτοῦ καὶ σιωπὴν ἀσκήσῃ τῇ εὐχῇ καὶ τῷ ἔργῳ ἀπὸ ὅλης ψυχῆς προσέχων, τῷ καιρῷ τούτῳ δύναται σωθῆναι.

51. Ἔλεγεν ὁ μαθητὴς τοῦ ἀββᾶ Σισόη πρὸς αὐτόν· Πάτερ, ἐγήρασας, ἀπέλθωμεν ἐγγὺς τῆς οἰκουμένης μικρόν. Λέγει αὐτῷ ὁ Γέρων· Ὅπου οὐκ ἔνι γυνή, ἐκεῖ ἀπέλθωμεν. Λέγει αὐτῷ ὁ μαθητὴς αὐτοῦ· Καὶ ποῦ ἐστι τόπος ὁ μὴ ἔχων γυναῖκα, εἰ μὴ ἡ ἔρημος; Λέγει οὖν ὁ Γέρων· Εἰς τὴν ἔρημον ἆρόν με.

52. Ἦλθέ ποτε ὁ ἀββᾶς Ἀμμοῦν ἀπὸ Ῥαϊθοῦ εἰς τὸ Κλύσμα παραβαλεῖν τῷ ἀββᾷ Σισόῃ· καὶ βλέπων αὐτὸν θλιβόμενον ὅτι ἀφῆκε τὴν ἔρημον, λέγει αὐτῷ· Τί θλίβῃ, ἀββᾶ, τί γὰρ ἠδύνω ἀπάρτι ποιῆσαι εἰς τὴν ἔρημον, οὕτως γηράσας; Ὁ δὲ Γέρων προσέσχεν αὐτῷ μετὰ στυφότητος λέγων· Τί μοι λέγεις Ἀμμοῦν, οὐκ ἤρκει γὰρ ἡ ἐλευθερία μόνη τοῦ λογισμοῦ ἐν τῇ ἐρήμῳ;

53. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Σισόην λέγων· Πῶς κατέλιπες τὴν Σκήτην μετὰ τοῦ ἀββᾶ Ὢρ καὶ ἦλθες καὶ ἐκάθησας ὧδε; Λέγει αὐτῷ ὁ Γέρων· Ἐν τῷ ἄρξασθαι πληθύνεσθαι τὴν Σκήτην, ἀκούσας ἐγὼ ὅτι ἐκοιμήθη ὁ ἀββᾶς Ἀντώνιος, ἀνέστην καὶ ἦλθον ὧδε εἰς τὸ ὄρος καὶ εὑρὼν τὰ ὧδε ἥσυχα, μικρὸν ἐκάθισα χρόνον. Λέγει αὐτῷ ὁ ἀδελφός·

23. Ματθ. 6, 24.

24. Βλ. ὑποσημ. 67 σελ. 80.

ους»[23]. Κι ἐμεῖς ἐφόσον θέλουμε τή συναναστροφή τῶν ἀνθρώπων καί τή σωματική ἀνάπαυση, δέν μποροῦμε ν' ἀπολαύσουμε τή γλυκύτητα τοῦ Θεοῦ. Θέλω νά πῶ τό ἑξῆς· ἐάν κάποιος μείνει στό κελί του καί ἀσκήσει τή σιωπή, δοσμένος ὁλόψυχα στήν προσευχή καί στήν ἐργασία του, μπορεῖ νά ἐπιτύχει τή σωτηρία του στή ζωή αὐτή.

51. Εἶπε στόν ἀββᾶ Σισόη* ὁ μαθητής του: «Πάτερ, γέρασες· ἄς πᾶμε λίγο πιό κοντά σέ κατοικημένο τόπο». Καί ὁ ἀββᾶς Σισόης τοῦ λέει: «Ὅπου δέν ὑπάρχει γυναίκα, ἐκεῖ νά πᾶμε». «Καί ποῦ ὑπάρχει τόπος —ρωτᾶ ὁ μαθητής του— πού δέν ἔχει γυναῖκες, παρά μόνο ἡ ἔρημος;» «Τότε —λέει ὁ Γέροντας— πήγαινέ με στήν ἔρημο».

52. Κάποτε ὁ ἀββᾶς Ἀμμούν* ἦρθε ἀπό τή Ραϊθώ[24] στό Κλύσμα[25] νά ἐπισκεφθεῖ τόν ἀββᾶ Σισόη· καί βλέποντάς τον νά εἶναι θλιμμένος, γιατί εἶχε ἀφήσει τήν ἔρημο, τοῦ λέει: «Ἀββᾶ, γιατί θλίβεσαι; Ἀπό τώρα καί στό ἑξῆς τί θά μποροῦσες νά κάνεις στήν ἔρημο, μιά καί γέρασες ἔτσι;» Καί ὁ Γέροντας τόν κοίταξε μέ αὐστηρότητα καί εἶπε: «Τί μοῦ λές, Ἀμμούν; Δέν ἦταν ἀρκετή καί μόνη ἡ ἐλευθερία τοῦ λογισμοῦ στήν ἔρημο;»

53. Ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Σισόη: «Πῶς ἔγινε καί ἄφησες τή Σκήτη μαζί μέ τόν ἀββᾶ Ὢρ καί ἦρθες νά μονάσεις ἐδῶ;» Τοῦ ἀπαντᾶ ὁ Γέροντας: «Καθώς ἄρχισαν νά πληθαίνουν οἱ ἀδελφοί στή Σκήτη καί πληροφορήθηκα ὅτι εἶχε κοιμηθεῖ ὁ ἀββᾶς Ἀντώνιος, σηκώθηκα καί ἦρθα ἐδῶ στό ὄρος· καί ἐπειδή βρῆκα ἥσυχα τά ἐδῶ, ἔμεινα λίγο καιρό». Τόν ρωτάει ὁ ἀδελφός: «Πόσο καιρό ἔχεις ἐδῶ;»

25. Πόλη στόν μυχό τοῦ Ἡρωοπολιτικοῦ (Ἀραβικοῦ) κόλπου (Σουέζ).

Πόσον χρόνον ἔχεις ὧδε; Λέγει αὐτῷ ὁ Γέρων· Εἰσὶν ἑβδομήκοντα δύο ἔτη.

54. Ἔλεγον περὶ τοῦ ἀββᾶ Σισόη τοῦ Θηβαίου, ὅτι ὡς ἀπέλυεν ἡ ἐκκλησία, ἔφευγεν εἰς τὸ κελλίον αὐτοῦ· καὶ ἔλεγον· Δαίμονα ἔχει. Αὐτὸς δὲ τὸ ἔργον τοῦ Θεοῦ ἐποίει.

55. Ἠρώτησεν ἀδελφὸς τὸν ἀββᾶν Σαρματᾶν λέγων· Οἱ λογισμοί μου λέγουσί μοι· Ὕπαγε ἔξω καὶ παράβαλε τοῖς ἀδελφοῖς. Καὶ λέγει ὁ Γέρων· Τοῦτο μὴ ἀκούσῃς αὐτῶν ἀλλ' εἰπέ: Ἰδοὺ ἤκουσά σου τὸ πρῶτον, τοῦτο δὲ οὐ δύναμαί σου ἀκούειν.

56. Εἶπεν ἡ ἀμμᾶς Συγκλητική· Πολλοὶ ἐν ὄρει ὄντες τὰ τῶν δημοτῶν πράττουσι καὶ ἀπόλλυνται. Δυνατὸν γὰρ μετὰ πολλῶν ὄντα μονάζειν τῇ γνώμῃ καὶ μόνον ὄντα μετὰ πολλῶν διάγειν τῇ διανοίᾳ.

57. Καθήμενός ποτε ὁ ἀββᾶς Τιθόης εἰς τὸ Κλύσμα νοῶν καὶ φρονῶν λέγει τῷ μαθητῇ αὐτοῦ· Ἀπόλυσον τὸ ὕδωρ εἰς τοὺς φοίνικας, τέκνον. Ὁ δὲ λέγει· Εἰς τὸ Κλύσμα

---

26. Ἀββᾶς Σισόης ὁ Θηβαῖος: ἔζησε τόν 5ο αἰ. καί εἶναι ἄλλος ἀπό τόν Σισόη τῆς Σκήτης, ὁ ὁποῖος ἔζησε τόν 4ο αἰ. Ἀναφέρεται καί τρίτος Σισόης ὡς Σισόης τῆς Πέτρας.

27. Ἐπισημαίνει ἐδῶ ἡ ἀμμᾶς τόν σοβαρό κίνδυνο γιά τούς ἀνθρώπους ἐκείνους πού ἐγκαταλείπουν τόν κόσμο καί πᾶνε νά μονάσουν στό βουνό, στήν ἔρημο ἤ ὅπου ἀλλοῦ, ἀλλά τελικά χάνονται: καί ὁ λόγος εἶναι ὅτι ἀποτασσόμενοι τόν κόσμο, δέν ἀποτάχθηκαν, δέν ἐγκατέλειψαν καί τή νοοτροπία τοῦ ἀνθρώπου πού ζεῖ στόν κόσμο. Ἔτσι μπορεῖ κανείς νά φαίνεται ὅτι

Καί ὁ Γέροντας τοῦ ἀποκρίνεται: «Εἶναι ἑβδομήντα δύο χρόνια».

54. Ἔλεγαν γιά τόν ἀββᾶ Σισόη, τόν Θηβαῖο[26], ὅτι μόλις διαλυόταν ἡ σύναξη, ἔφευγε στό κελί του. Οἱ ἄλλοι ἔλεγαν «δαιμόνιο ἔχει». Ὅμως ἐκεῖνος ἔκαμνε τήν ἐργασία πού θέλει ὁ Θεός.

55. Ἕνας ἀδελφός εἶπε στόν ἀββᾶ Σαρματά: «Οἱ λογισμοί μου μοῦ λένε: Νά πᾶς ἔξω καί νά συναντήσεις τούς ἀδελφούς». Τοῦ λέει ὁ Γέροντας: «Σ' αὐτό νά μήν τούς ὑπακούσεις, ἀλλά πές: Νά, σέ ἄκουσα τήν πρώτη φορά· σ' αὐτό δέν μπορῶ νά σ' ἀκούσω».

56. Εἶπε ἡ ἀμμᾶς Συγκλητική*: «Πολλοί ἄν καί μένουν στό ὄρος, κάνουν αὐτά πού κάνουν καί οἱ ἄνθρωποι τῶν πόλεων καί γι' αὐτό χάνονται[27]. Γιατί εἶναι δυνατόν κάποιος νά ζεῖ μαζί μέ πολλούς, ἀλλά νά μονάζει ὡς πρός τήν ἐσωτερική διάθεση· καί ἄλλος νά μένει μόνος, ἀλλά μέ τή σκέψη νά ζεῖ μαζί μέ πολλούς».

57. Ὁ ἀββᾶς Τιθόης, ὅταν μόναζε κάποτε στό Κλύσμα[28], λέει στόν μαθητή του, μέ ἐπίγνωση τῶν λόγων του· «Παιδί μου, ἄφησε ἐλεύθερο τό νερό στίς φοινικιές». Κι ἐκεῖνος τοῦ λέει: «Ἀββᾶ, στό Κλύσμα εἴμαστε». Τότε λέει ὁ

μονάζει ἐξωτερικά ἀλλά τελικά, ἐπειδή μέ τή σκέψη παραμένει στόν κόσμο, θά ἀρχίσει καί νά κάνει αὐτά πού κάνουν οἱ λαϊκοί στόν κόσμο (= τά τῶν δημοτῶν πράττουσι).

Ἀντίθετα εἶναι δυνατόν κάποιος νά ζεῖ μέσα στόν κόσμο ἀλλά ἐσωτερικά νά ἔχει τοποθετηθεῖ ὡς μοναχός καί νά μονάζει.

28. Βλ. ὑποσημ. 25 σελ. 273 καί Χάρτη σελ. 8-9.

ἐσμέν, ἀββᾶ. Λέγει ὁ Γέρων· Εἰς τὸ Κλύσμα τί ποιῶ, ἆρόν με πάλιν εἰς τὸ ὄρος.

58. Εἶπε Γέρων· Τὸ καθέζεσθαι καλῶς ἐν τῷ κελλίῳ ἐμπίμπλησι τῶν ἀγαθῶν τὸν μοναχόν.

59. Εἶπε Γέρων· Ὀφείλει ὁ μοναχὸς ἀγοράζειν τὴν ἡσυχίαν αὐτοῦ πρὸς τὸ καταφρονεῖν, ἐὰν καὶ σωματικὴ ζημία συμβῇ.

60. Διηγήσατό τις ὅτι· Τρεῖς φιλόπονοι ἀγαπητοὶ ἐγένοντο μοναχοί. Καὶ ὁ μὲν εἷς ᾑρετίσατο τοὺς μαχομένους εἰρηνεύειν κατὰ τὸ εἰρημένον· Μακάριοι οἱ εἰρηνοποιοί. Ὁ δὲ δεύτερος ἐπισκέπτεσθαι τοὺς ἀσθενεῖς. Ὁ δὲ τρίτος ἀπῆλθεν ἡσυχάζειν εἰς τὴν ἔρημον. Ὁ οὖν πρῶτος κοπιάσας διὰ τὰς μάχας τῶν ἀνθρώπων, οὐκ ἠδυνήθη θεραπεύειν πάντας καὶ ἀκηδιάσας ἦλθε πρὸς τὸν ὑπηρετοῦντα τοὺς ἀσθενεῖς καὶ εὗρε καὶ αὐτὸν ὀλιγωροῦντα καὶ μὴ φθάνοντα τελειῶσαι τὴν ἐντολήν.

Καὶ συμφωνήσαντες οἱ δύο ἀπῆλθον ἰδεῖν τὸν ἡσυχάζοντα. Καὶ διηγήσαντο αὐτῷ τὴν θλῖψιν αὐτῶν καὶ παρεκάλεσαν αὐτὸν εἰπεῖν αὐτοῖς τί κατώρθωσε. Καὶ σιωπήσας μικρὸν βάλλει ὕδωρ εἰς κρατῆρα καὶ λέγει αὐτοῖς: Προσέχετε εἰς τὸ ὕδωρ· ἦν δὲ τεταραγμένον. Καὶ μετὰ μικρὸν πάλιν λέγει αὐτοῖς: Προσέχετε καὶ ἄρτι ὡς κατέστη τὸ ὕδωρ. Καὶ ὡς προσέσχον τῷ ὕδατι θεωροῦσιν ὡς ἐν ἐσόπτρῳ τὰ πρόσωπα αὐτῶν· καὶ λέγει αὐτοῖς· Οὕτως ἐστὶ καὶ ὁ ἐν μέσῳ ἀνθρώ-

29. Ματθ. 5, 9.
30. Ἀκηδιῶ-ἀκηδία: βλ. ὑποσημ. 109 σελ. 124-5.

Γέροντας: «Στό Κλύσμα τί ἔχω νά κάνω· πήγαινέ με πάλι στό βουνό».

58. Ἕνας Γέροντας εἶπε: «Ἡ σωστή παραμονή στό κελί γεμίζει τόν μοναχό μέ ἀγαθά».

59. Εἶπε κάποιος Γέροντας: «Ὁ μοναχός ὀφείλει νά ἀγοράσει τήν ἡσυχία γιά τόν ἑαυτό του μέ τήν ἀπόφαση νά ἀψηφήσει καί τή σωματική ζημία ἀκόμη, ἐάν συμβεῖ».

60. Διηγήθηκε κάποιος ὅτι τρεῖς φιλόπονοι ἄνθρωποι, φίλοι μεταξύ τους, ἔγιναν μοναχοί. Ὁ πρῶτος διάλεξε σάν ἔργο του νά εἰρηνεύει τούς ἀνθρώπους, πού εἶχαν ἐχθρικές σχέσεις μεταξύ τους, σύμφωνα μέ τόν Εὐαγγελικό λόγο: «Μακάριοι οἱ εἰρηνοποιοί»[29]. Ὁ δεύτερος νά ἐπισκέπτεται τούς ἀρρώστους καί ὁ τρίτος ἔφυγε γιά νά ἡσυχάσει στήν ἔρημο.

Ὁ πρῶτος λοιπόν, ἄν καί κόπιασε γιά νά σταματήσει τίς διαμάχες τῶν ἀνθρώπων, δέν μπόρεσε νά τούς θεραπεύσει ὅλους καί, ἐπειδή ἔπεσε σέ ἀκηδία[30], πῆγε σ' αὐτόν πού ὑπηρετοῦσε τούς ἀρρώστους καί τόν βρῆκε κι αὐτόν νά παραμελεῖ τό ἔργο του, καθώς δέν ἐπαρκοῦσε νά ἐφαρμόσει πλήρως τήν ἐντολή.

Συμφώνησαν λοιπόν καί οἱ δύο καί πῆγαν νά δοῦν τόν ἐρημίτη. Τοῦ ἐξέθεσαν τή θλίψη τους καί τόν παρακάλεσαν νά τούς πεῖ τί κατόρθωσε αὐτός. Ἐκεῖνος, ἀφοῦ ἔμεινε ἀμίλητος γιά λίγο, ἔριξε κατόπιν νερό στή λεκάνη καί τούς λέει: «Προσέξτε τό νερό». Ἦταν βέβαια ταραγμένο. Μετά ἀπό λίγο τούς λέει πάλι: «Προσέξτε καί τώρα πῶς ἔγινε τό νερό». Καί μόλις πρόσεξαν τό νερό, βλέπουν σάν σέ καθρέπτη τά πρόσωπά τους. Τούς λέει λοιπόν τότε: «Ἔτσι εἶναι κι αὐτός πού ζεῖ ἀνάμεσα σέ ἀνθρώπους.

πων· ἀπὸ τῆς ταραχῆς οὐ βλέπει τὰς ἁμαρτίας ἑαυτοῦ, ὅταν δὲ ἡσυχάσῃ, καὶ μάλιστα ἐν ἐρήμῳ, τότε βλέπει τὰ ἐλαττώματα ἑαυτοῦ.

61. Ἀδελφὸς παρέβαλε Γέροντι δοκιμωτάτῳ καὶ λέγει αὐτῷ· Κάμνω. Καὶ εἶπεν αὐτῷ ὁ Γέρων· Κάθου εἰς τὸ κελλίον σου καὶ ὁ Θεὸς παρέχει σοι ἄνεσιν.

62. Εἶπε Γέρων· Ὥσπερ εἰς πεζευομένην στράταν οὐκ ἀνέρχεται χλωρόν τί ποτε οὐδὲ κἂν βάλῃς σπέρμα διὰ τὸ πατεῖσθαι τὸν τόπον, οὕτως καὶ ἐφ' ἡμῶν· ἡσύχασον δὲ ἀπὸ παντὸς πράγματος καὶ βλέπεις φυόμενα, ἃ οὐκ ᾔδεις ὅτι ἔσωθέν σου ἦσαν, ἐπειδὴ εἰς αὐτὰ περιεπάτεις.

63. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Καλόν ἐστιν, ἀββᾶ, οἰκῆσαι ἐν τῇ ἐρήμῳ; Καὶ ἀπεκρίθη ὁ Γέρων· Οἱ υἱοὶ Ἰσραήλ, ὅταν ἐπαύσαντο τοῦ περισπασμοῦ τῆς ἐρήμου καὶ ᾤκησαν ἐν σκηναῖς, τότε ἐγνώσθη αὐτοῖς πῶς δεῖ φοβεῖσθαι τὸν Θεόν. Καὶ γὰρ τὰ πλοῖα μέσον τῆς θαλάσσης χειμαζόμενα ἄπρακτα μένουσιν, ὅταν δὲ ἔλθωσιν εἰς λιμένα, τότε τὴν ἐμπορίαν περιποιοῦνται. Καὶ ὁ ἄνθρωπος, ἐὰν μὴ καρτε-

31. Μέ τήν εὔστοχη εἰκόνα πού χρησιμοποιεῖ ἐδῶ ὁ Γέροντας, ὑπογραμμίζει τήν κατάσταση τῆς ψυχῆς μας, πού λόγω τῆς πολυπραγμοσύνης καί τῶν πολλῶν περισπασμῶν πρός διάφορες κατευθύνσεις —καί αὐτό εἶναι γενικότερα γνώρισμα τοῦ σύγχρονου ἀνθρώπου— δέν ἀφήνουμε τήν Χάρη τοῦ Θεοῦ νά φέρει μέσα μας νέα ζωή, τή ζωή ἐν Ἁγίῳ Πνεύματι. Ἡ λύση, ὅπως λένε οἱ ἀββάδες, εἶναι τό «ἡσύχασον». Καί αὐτή ἡ ἀλήθεια δέν ἀναφέρεται μόνο στούς μοναχούς, οἱ ὁποῖοι ὁπωσδήποτε ἔχουν περισσότερες προϋποθέσεις νά τό ἐπιτύχουν καί μάλιστα τό «ἀπό παντός πράγματος», ἀλλά καί σ' ὅλους τούς Χριστιανούς πού ἔχουν λάβει ἤδη τή θεία Χάρη μέ τό Βάπτισμα καί πού μέσα στό κοσμικό κατεστημένο βάλλονται συνεχῶς καί πιέζονται ἀπό ἀτέλειωτες

Ἐξαιτίας τῆς ταραχῆς δέν βλέπει τά σφάλματά του. Ὅταν ὅμως ἡσυχάσει καί προπαντός στήν ἔρημο, τότε βλέπει τά ἐλαττώματα τοῦ ἑαυτοῦ του».

61. Ἕνας ἀδελφός ἐπισκέφθηκε ἕναν Γέροντα πολύ ἔμπειρο στήν ἀσκητική ζωή καί τοῦ λέει: «Ὑποφέρω». Καί ὁ Γέροντας τοῦ λέει: «Νά μένεις στό κελί σου καί ὁ Θεός θά σοῦ δώσει ἀνάπαυση».

62. Εἶπε ἕνας Γέροντας: «Ὅπως ἀκριβῶς σ' ἕναν δρόμο, ὅπου πηγαινοέρχονται πολλοί πεζοί, ποτέ δέν φυτρώνει χορτάρι οὔτε κι ἄν τό σπείρεις, γιατί πατιέται τό χῶμα, ἔτσι συμβαίνει καί μέ μᾶς. Παραιτήσου ἀπό κάθε φροντίδα καί θά δεῖς νά φυτρώνουν αὐτά, πού δέν γνώριζες ὅτι βρίσκονταν μέσα σου, ἐπειδή πάνω σ' αὐτά περπατοῦσες»[31].

63. Κάποιος ἀδελφός ρώτησε ἕναν Γέροντα: «Ἀββᾶ, εἶναι καλό νά κατοικήσει κανείς στήν ἔρημο;» Καί ὁ Γέροντας ἀποκρίθηκε: «Οἱ Ἰσραηλίτες ὅταν ἀπαλλάχτηκαν ἀπό τήν περιπέτεια τῆς ἐρήμου καί ἔμειναν σέ σκηνές, τότε τούς δόθηκε ἡ γνώση πῶς νά εὐλαβοῦνται τόν Θεό. Τά ἐμπορικά καράβια μένουν ἄπρακτα, καθώς ταλαιπωροῦνται μέσα στή θάλασσα· ὅταν ὅμως μποῦν στό λιμάνι, τότε διεξάγουν τό ἐμπόριό τους. Καί ὁ ἄνθρωπος, ἄν δέν

ἔννοιες καί φροντίδες, μέ ἀποτέλεσμα ἡ θεία Χάρη νά μένει ἀνενέργητη.

Μή βιαστοῦμε νά προβάλουμε τό: «Ἀδύνατον». Ἄν ἦταν ἔτσι, ἡ ἁγιότητα καί ἡ ἐν Χριστῷ λύτρωση θά ἀποκλείονταν ἀπό τίς ἀνθρώπινες κοινωνίες, ἐνῶ ὁ λόγος τοῦ Θεοῦ καί ἡ ζωή τῆς Ἐκκλησίας 20 αἰώνων κάθε ἄλλο μαρτυροῦν παρά αὐτό, τό «ἀδύνατον». Ἐκεῖνο πού ζητεῖται εἶναι ἡ εἰλικρινής προαίρεσή μας γιά ν' ἀνοίξει ὁ δρόμος στή Χάρη τοῦ Θεοῦ.

Πρβλ. καί Λουκ. 21, 34: «Προσέχετε μήποτε βαρηθῶσιν ὑμῶν αἱ καρδίαι ἐν ... μερίμναις βιωτικαῖς».

ρήση οὕτως εἰς ἕνα τόπον, οὐ μὴ λάβῃ τὴν ἐπίγνωσιν τῆς ἀληθείας· καὶ γὰρ πρὸ πασῶν τῶν ἀρετῶν τὴν ἡσυχίαν ἐξελέξατο ὁ Θεός. Γέγραπται γάρ· Πρὸς τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους. Καὶ εἶπεν ὁ ἀδελφός· Πῶς δυνατὸν οἰκῆσαι κατὰ μόνας; Ἀπεκρίθη ὁ Γέρων· Ἀθλητὴς ἐὰν μὴ πυκτεύσῃ μετὰ πολλῶν, οὐ δύναται μαθεῖν τὴν τέχνην τῆς νίκης, ἵνα οὕτως δυνηθῇ τοῦ ἀντιδίκου μονομαχῆσαι· οὕτως καὶ ὁ μοναχός, ἐὰν μὴ παιδευθῇ μετὰ ἀδελφῶν καὶ μάθῃ τὴν τῶν λογισμῶν τέχνην, οὐ δύναται κατὰ μόνας οἰκῆσαι καὶ ἀντιστῆναι τοῖς λογισμοῖς.

Καὶ εἶπεν ὁ ἀδελφός· Ἐὰν γένηται ἀνάγκη τινὰ εἰς συντυχίαν γυναικὸς ἐλθεῖν, πῶς δεῖ αὐτὴν ἀπαντᾶν; Καὶ εἶπεν αὐτῷ ὁ Γέρων· Ἡ ἀνάγκη αὕτη τοῦ διαβόλου ἐστί· καὶ γὰρ πολλὰς προφάσεις ἀναγκαίας ἔχει ὁ διάβολος· ἐὰν δὲ γένηται χρεία ἐλθεῖν εἰς συντυχίαν γυναικός, μὴ ἐάσῃς αὐτὴν λαλῆσαι περισσόν. Καὶ σὺ ἐὰν λαλῇς, κεφαλαίωσον εἰς ὀλίγα πολλὰ καὶ τάχιον ἀπόλυσον αὐτήν· ἐὰν δὲ βραδύνῃς μετ' αὐτῆς, γίνωσκε ὅτι ἡ δυσωδία αὐτῆς τὸν λογισμόν σου κατασπᾷ.

Ὁ ἀδελφὸς εἶπεν· Ποίῳ λογισμῷ δύναται ἄνθρωπος καταπαύσασθαι ἀπὸ τῆς καταλαλιᾶς; Καὶ ἀπεκρίθη ὁ Γέρων· Ὥσπερ ὁ δεχόμενος πῦρ εἰς κόλπον τιτρώσκεται, οὕτως καὶ ὁ δεχόμενος τὴν τῶν ἀνθρώπων συντυχίαν οὐ μὴ ἀθωωθῇ ἀπὸ τῆς καταλαλιᾶς. Καὶ εἶπεν ὁ ἀδελφός· Τί εἰσι τὰ νυκτερινὰ φαντάσματα τοῦ διαβόλου; Καὶ εἶπεν ὁ Γέρων· Ὥσπερ ἡμέρας ἀλλοτρίοις λογισμοῖς ἀπασχολεῖ ἡμᾶς πρὸς τὸ μὴ σχολάζειν τῇ προσευχῇ ὁ διάβολος, οὕτως καὶ τὴν νύ-

32. Ἠσ. 66, 2.

παραμείνει ὑπομονετικά σέ ἕνα τόπο, δέν θά φθάσει στή βαθιά κατανόηση τῆς ἀλήθειας. Ἄλλωστε ὁ Θεός πάνω ἀπό ὅλες τίς ἀρετές τήν ἡσυχία ἔβαλε. Γιατί λέει ἡ Ἁγία Γραφή: Σέ ποιόν θά στρέψω στοργικά τό βλέμμα μου παρά στόν ἄνθρωπο τόν πράο καί ἥσυχο, πού τρέμει τούς λόγους μου;[32]» Εἶπε πάλι ὁ ἀδελφός: «Πῶς εἶναι δυνατόν ὁ ἄνθρωπος νά ζήσει ὡς ἐρημίτης;» Καί ὁ Γέρων ἀπάντησε: «Ὁ ἀθλητής, ἄν δέν πυγμαχήσει μέ πολλούς, δέν μπορεῖ νά μάθει τήν τέχνη νά νικᾶ, ὥστε νά μπορέσει ἔτσι τελικά νά μονομαχήσει μέ τόν ἀντίπαλό του. Τό ἴδιο καί ὁ μοναχός, ἐάν δέν ἐκπαιδευθεῖ μαζί μέ ἄλλους ἀδελφούς καί δέν μάθει τήν τέχνη τῶν λογισμῶν, δέν μπορεῖ νά ἐγκαταβιώσει μόνος καί νά ἀντισταθεῖ στούς λογισμούς».

Ρώτησε πάλι ὁ ἀδελφός: «Ἐάν παραστεῖ ἀνάγκη νά συναντηθεῖ κάποιος μοναχός μέ γυναίκα, πῶς πρέπει νά γίνει ἡ συνάντηση;» Καί τοῦ εἶπε ὁ Γέροντας: «Ἡ ἀνάγκη αὐτή εἶναι τοῦ διαβόλου. Εἶναι γνωστό ὅτι ὁ διάβολος χρησιμοποιεῖ πολλές ἀναγκαῖες προφάσεις. Παρά ταῦτα, ἐάν θά εἶναι ἀπαραίτητο νά συναντηθεῖς μέ γυναίκα, μήν τήν ἀφήσεις νά πεῖ πολλά. Ἀλλά κι ἐσύ ἄν μιλήσεις, σέ λίγα λόγια νά συνοψίσεις τά πολλά καί τό γρηγορότερο ἄφησέ την νά φύγει. Ἐνῶ ἄν ἀργοπορήσεις μαζί της, νά ξέρεις ὅτι ἡ δυσοσμία της τραβᾶ ὁρμητικά τόν λογισμό σου πρός τά κάτω».

Εἶπε πάλι ὁ ἀδελφός: «Μέ ποιά σκέψη ὁ ἄνθρωπος μπορεῖ νά πάψει νά κατακρίνει;» Καί ὁ Γέροντας ἀποκρίθηκε: «Ὅπως αὐτός πού δέχεται φωτιά στόν κόρφο του τραυματίζεται, ἔτσι καί ὅποιος κάνει συντροφιά μέ τούς ἀνθρώπους, δέν θά μείνει ἀθῶος ἀπό τήν κατάκριση».

Συνεχίζει νά ρωτάει ὁ ἀδελφός: «Τί εἶναι οἱ νυκτερινές φαντασίες τοῦ διαβόλου;» Καί ἀπαντᾶ ὁ Γέροντας: «Ὅπως τή μέρα ὁ διάβολος μᾶς ἀπασχολεῖ μέ ἄσχετους λογισμούς, ὥστε νά μήν ἀφοσιωνόμαστε στήν προσευχή, ἔτσι καί τή

κτα ἀναπτεροῖ τὸν νοῦν ἡμῶν φαντάσμασι σκοτίζων ἡμᾶς καὶ τῆς νυκτερινῆς εὐχῆς ἀποστερῶν.

Πάλιν ἠρώτησεν ὁ ἀδελφὸς Γέροντα λέγων· Τί ποιήσει ἄνθρωπος, πάτερ, ἵνα λάβῃ τὸ χάρισμα τῶν ἀρετῶν; Καὶ ἀπεκρίθη ὁ Γέρων· Ἐάν τις θέλῃ μαθεῖν τέχνην, πᾶσαν μέριμναν καταλιμπάνει καὶ αὐτῇ μόνῃ σχολάζει καὶ παραμένει τῷ διδασκάλῳ ταπεινούμενος καὶ κατευτελίζων ἑαυτὸν καὶ οὕτως μανθάνει τὴν τέχνην. Οὕτως καὶ ὁ μοναχός, ἐὰν μὴ ἐάσῃ πᾶσαν μέριμναν ἀνθρωπίνην καὶ κατευτελίσῃ ἑαυτὸν τοῦ μὴ λογίσασθαί ποτε ὅτι καλλίων εἰμί τινος ἢ ἴσος, οὐ μὴ κτήσηται ἀρετὴν τὸ σύνολον. Ἐὰν δὲ ταπεινώσῃ ἑαυτὸν καὶ εὐτελίσῃ ἐπὶ παντὶ πράγματι, τότε εὑροῦσαι αἱ ἀρεταὶ τὴν ἐργασίαν ἀφ᾽ ἑαυτῶν παραγίνονται.

64. Διηγήσατο ἡμῖν τις Γέρων ὅτι πέρ φησιν· Ἐν τῇ ζωῇ αὐτοῦ ὁ ἐπιστάτης μου ἠγάπα εἰς τὰς μακροτέρας ἐρήμους ὑπάγειν κἀκεῖ ἡσυχάζειν. Ἐν μιᾷ οὖν λέγω αὐτῷ· Ἀββᾶ, διατί οὕτως φεύγεις ἐν ταῖς ἐρήμοις; Ὁ γὰρ μένων πλησίον τοῦ κόσμου καὶ βλέπων καὶ παραβλέπων διὰ τὸν Θεὸν πλείονα μισθὸν ἔχει. Καὶ λέγει μοι ὁ Γέρων· Πίστευέ μοι, τέκνον, ἕως οὗ ἔλθῃ ἄνθρωπος εἰς τὰ μέτρα Μωυσέως καὶ γένηται σχεδὸν υἱὸς Θεοῦ, οὐκ ὠφελεῖται ἐκ τοῦ κόσμου· ἐγὼ δὲ υἱὸς τοῦ Ἀδὰμ ὑπάρχω· καὶ ὡς ὁ πατήρ μου, ἐπὰν ἴδω τὸν καρπὸν τῆς ἁμαρτίας, εὐθέως ἐπιθυμῶ αὐτοῦ καὶ λαμβάνων ἐσθίω καὶ ἀποθνῄσκω. Διὰ τοῦτο οἱ πατέρες ἡμῶν ἐν ταῖς

33. Πρβλ. Φιλ. 2, 3.

34. Ἡ φράση τοῦ ἀρχαίου κειμένου «ὅτι πέρ φησιν» δὲν δίνει νόημα. Μία πιθανότητα γιά τό «περ» εἶναι νά πρόκειται περί λανθασμένης ἀντιγραφῆς

νύχτα μέ φαντασίες ξεσηκώνει τόν νοῦ μας, φέρνοντάς μας σύγχυση καί στερώντας μας τή νυκτερινή προσευχή».

Καί πάλι ρωτᾶ ὁ ἀδελφός: «Πάτερ, τί νά κάνει ὁ ἄνθρωπος, γιά νά ἀποκτήσει τό χάρισμα τῶν ἀρετῶν;» Κι ἀποκρίνεται ὁ Γέροντας: «Ὅποιος θέλει νά μάθει μιά τέχνη, ἀφήνει κατά μέρος κάθε του μέριμνα καί ἀσχολεῖται μόνο μ᾽ αὐτήν· παραμένει κοντά στό δάσκαλό του ταπεινώνοντας καί μειώνοντας τόν ἑαυτό του κι ἔτσι μαθαίνει τήν τέχνη. Παρόμοια καί ὁ μοναχός, ἐάν δέν ἀφήσει κάθε ἀνθρώπινη μέριμνα καί δέν ταπεινώσει τόν ἑαυτό του, ὥστε ποτέ νά μή σκεφθεῖ ὅτι εἶναι καλύτερος ἀπό κάποιον ἄλλον ἤ ἴσος[33], δέν θά ἀποκτήσει τελικά ἀρετή. Ἐνῶ ἐάν ταπεινώσει τόν ἑαυτό του καί τόν μειώσει πολύ σέ κάθε περίπτωση, τότε οἱ ἀρετές βρίσκουν τήν ἐργασία αὐτή καί μόνες τους καταφθάνουν».

64. Μᾶς διηγήθηκε ἕνας Γέροντας ὅτι κάποιος βέβαια λέει[34]: «Ὁ Γέροντάς μου στή ζωή του ἀγαποῦσε νά πηγαίνει στίς πιό ἀπόμακρες ἐρήμους κι ἐκεῖ νά ἡσυχάζει. Μιά φορά λοιπόν τοῦ λέω: "Ἀββᾶ, γιατί ἔτσι φεύγεις στίς ἐρήμους; Σοῦ τό λέω αὐτό, γιατί αὐτός πού παραμένει στόν κόσμο καί γιά τήν ἀγάπη τοῦ Θεοῦ βλέπει ἀλλά κάνει πώς δέν βλέπει, αὐτός ἔχει μεγαλύτερο μισθό". Καί μοῦ ἀπαντᾶ ὁ Γέροντας: "Ἄκουσε με, παιδί μου, ὁ ἄνθρωπος, ἕως ὅτου ἔρθει στά μέτρα τοῦ Μωυσέως καί γίνει υἱός τοῦ Θεοῦ, δέν ὠφελεῖται ἀπό τόν κόσμο· ἐγώ εἶμαι τέκνο τοῦ Ἀδάμ· καί, ὅπως ὁ πατέρας μου, μόλις δῶ τόν καρπό τῆς ἁμαρτίας, ἀμέσως τόν ἐπιθυμῶ, τόν παίρνω καί τρώγοντάς τον πεθαίνω. Γι᾽ αὐτό οἱ πατέρες μας κατέφυγαν στίς ἐρήμους κι

ἀπό τό ἀντιβόλαιο ἀντί τοῦ ὀρθοῦ πήρ, πού εἶναι συντομογραφία τῆς λέξεως πατήρ.

ἐρήμοις ἔφυγον καὶ ἐκεῖ ἀπέκτειναν τὴν γαστριμαργίαν μὴ εὑρίσκοντες βρώματα τὰ γεννῶντα τὰ πάθη.

65. Εἶπε Γέρων ὅτι· ὁ ἁμαρτήσας τῷ Θεῷ ὀφείλει ἀποχωρίσαι ἑαυτὸν ἀπὸ πάσης ἀγάπης ἀνθρώπων, ἕως οὗ πληροφορηθῇ ὅτι ἐγένετο φίλος αὐτοῦ ὁ Θεός· ἡ γὰρ ἀγάπη τῶν ἀνθρώπων κωλύει ἡμᾶς τῆς ἀγάπης τοῦ Θεοῦ.

66. Εἶπε Γέρων· Ὥσπερ τις ἀποθανὼν ἐν πόλει οὔτε τῆς φωνῆς τῶν ἐκεῖ ἀκούει οὔτε λαλιᾶς οὔτε ἤχου, ἀλλὰ καθάπαξ ἀπέθανε καὶ μετατίθεται ἐν ἑτέρῳ τόπῳ, ἔνθα οὔκ εἰσι φωναὶ καὶ κραυγαὶ τῆς πόλεως ἐκείνης, οὕτως καὶ ὁ μονάζων, ἐπὰν ἐνδύσηται τὸ σχῆμα καὶ ἐξέλθῃ ἐκ τῆς πόλεως αὐτοῦ, ὀφείλει καὶ αὐτὸς καταλεῖψαι τοὺς γονεῖς καὶ οἰκείους καὶ συγγενεῖς καὶ μὴ ἐκδοῦναι ἑαυτὸν εἰς τὰς μερίμνας τοῦ βίου καὶ τὸν περισπασμὸν καὶ μόχθον αὐτοῦ καὶ τὰς ταραχὰς καὶ τὰς ζάλας καὶ τρικυμίας τοῦ ματαίου καὶ ψυχοφθόρου κόσμου. Ἐὰν δὲ μετὰ τὸ μονάσαι αὐτὸν μὴ ἐξέλθῃ τῆς πόλεως ἢ τῆς κώμης αὐτοῦ, ἔοικεν νεκρῷ κειμένῳ ἐν οἴκῳ καὶ ὀζέσαντι, οὗτινος πάντες οἱ ὀσφρανθέντες ἀποφεύγουσιν ἀπ' αὐτοῦ.

67. Εἶπε πάλιν· Ὥσπερ κρέα, ἐὰν μὴ ἔχῃ ἅλας, σήπεται, ὥστε πάντας ἀποστρέφεσθαι τὰς ὄψεις ἐκ τῆς κακῆς ὀσμῆς, καὶ σκώληκες ἕρπουσιν εἰς τὸ σεσηπὸς κρέας καὶ εἰς αὐτὸ νέμονται καὶ ἐσθίουσι καὶ ἐκεῖ φωλεύουσιν· ἐπὰν δὲ ἔλθῃ τὸ ἅλας, ἀναιροῦνται καὶ ἀπόλλυνται οἱ ἔσω νεμόμενοι σκώληκες καὶ ἡ ὀσμὴ τῆς δυσωδίας πέπαυται· ἡ φύσις γὰρ τοῦ ἅλατος ἀναιρετικὴ τῶν σκωλήκων ὑπάρχει καὶ ἀφανιστικὴ

ἐκεῖ, μή βρίσκοντας τροφές πού γεννοῦν τά πάθη, θανάτωσαν τήν κοιλιοδουλία"».

65. Ἕνας Γέροντας εἶπε: «Ἐκεῖνος πού ἁμάρτησε στόν Θεό, ὀφείλει νά ξεκόψει τόν ἑαυτό του ἀπό κάθε ἀνθρώπινη ἀγάπη, ἕως ὅτου πληροφορηθεῖ ὅτι ὁ Θεός ἔγινε φίλος του. Γιατί ἡ ἀγάπη τῶν ἀνθρώπων μᾶς ἐμποδίζει ἀπό τήν ἀγάπη τοῦ Θεοῦ».

66. Εἶπε ἕνας Γέροντας: «Ὅπως σέ μιά πόλη, ὅταν κάποιος πεθάνει, δέν ἀκούει οὔτε τή φωνή τῶν κατοίκων της, οὔτε λαλιά, οὔτε κάποιον ἄλλο θόρυβο, ἀλλά μιά καί πέθανε μεταφέρεται σέ ἄλλον τόπο, ὅπου δέν ὑπάρχουν φωνές καί κραυγές ἀπ' ἐκείνη τήν πόλη, ἔτσι καί ὁ μοναχός, ἀπό τή στιγμή πού θά ἐνδυθεῖ τό μοναχικό σχῆμα καί θά φύγει ἀπό τήν πόλη του, ὀφείλει καί αὐτός νά ἐγκαταλείψει τούς γονεῖς, τούς οἰκείους καί συγγενεῖς καί νά μήν παραδώσει τόν ἑαυτό του στίς μέριμνες τῆς ζωῆς, στίς ἄσκοπες ἀπασχολήσεις καί στόν μόχθο της, καθώς καί στίς ταραχές καί τίς ζάλες καί τρικυμίες τοῦ μάταιου καί ψυχοφθόρου αὐτοῦ κόσμου. Ἐάν ὅμως μετά τήν κουρά του δέν φύγει ἀπό τήν πόλη ἤ τό χωριό του, μοιάζει μέ νεκρό πού κείτεται σέ σπίτι καί, ἐπειδή ἀναδίδει ὀσμή, ὅλοι ὅσοι ἀντιλαμβάνονται τήν μυρωδιά φεύγουν μακριά ἀπ' αὐτόν».

67. Εἶπε πάλι: «Τό κρέας ἄν δέν ἁλατισθεῖ, σαπίζει, μέ ἀποτέλεσμα ὅλοι, ἐξαιτίας τῆς ἄσχημης ὀσμῆς, νά στρέφουν ἀλλοῦ τό πρόσωπό τους· καί στό σαπισμένο κρέας σέρνονται σκουλήκια καί σ' αὐτό διαμένουν καί ἀπ' αὐτό τρέφονται κι ἐκεῖ κάνουν τίς φωλιές τους· ὅταν ὅμως ἁλατισθεῖ, τά σκουλήκια πού ζοῦν μέσα σ' αὐτό θανατώνονται καί χάνονται καί ἡ δυσοσμία σταματάει, γιατί τό ἁλάτι

τῆς δυσωδίας. Τὸν αὐτὸν τρόπον καὶ ὁ μοναχὸς ὁ ἐκδιδοὺς ἑαυτὸν εἰς τὰ γήινα πράγματα καὶ εἰς τοὺς περισπασμοὺς καὶ μὴ ἡσυχάζων ἐν τῷ κελλίῳ αὐτοῦ καὶ μὴ καθοπλίζων ἑαυτὸν τῷ φόβῳ τοῦ Θεοῦ καὶ μὴ μετέχων τῆς δυνάμεως τοῦ Θεοῦ, ἥτις ἐστὶν ἡ εὐχὴ καὶ ἡ νηστεία καὶ ἡ ἀγρυπνία, τὸ πνευματικὸν ἅλας, σέσηπται καὶ δυσωδίας πολλῶν λογισμῶν ἐμπέπλησται καὶ πονηρῶν, ὥστε ἀποστρέφεσθαι τὸ πρόσωπον τοῦ Θεοῦ καὶ τῶν ἀγγέλων ἀπὸ τῆς δεινῆς τῶν ματαίων λογισμῶν δυσωδίας καὶ τοῦ σκότους τῶν παθῶν τῶν ἐν τῇ τοιαύτῃ ψυχῇ ἐνεργούντων καὶ τῇ κακίστῃ διανοίᾳ.

Ὅρα τοὺς σκώληκας, οἵτινές εἰσι τὰ πνεύματα τῆς πονηρίας καὶ αἱ δυνάμεις τοῦ σκότους, πῶς ἐν αὐτῷ ἐμπεριπατοῦσι καὶ εἰς αὐτὸν νέμονται ἐν τοῖς ῥυπαροῖς λογισμοῖς καὶ ἕρπουσιν ἐν αὐτῇ φωλεύοντες καὶ αὐτὴν ἐσθίουσι καὶ ἀφανίζουσι καὶ φθείρουσιν· ἐπὰν δὲ προσφύγῃ ὁ μοναχὸς πρὸς τὸν Θεὸν καὶ ἀποσπασθῇ ἀπὸ τοὺς περισπασμοὺς καὶ πιστεύσῃ ὅτι ὁ Θεὸς δύναται θρέψαι αὐτόν, τότε ἀποστέλλεται αὐτῷ τὸ ἅλας τὸ πνευματικόν, τὸ ἀγαθὸν καὶ φιλάνθρωπον Πνεῦμα, καὶ ἐλθόντος αὐτοῦ, φυγαδεύονται τὰ πάθη.

68. Εἶπε πάλιν ὅτι· Προσήκει τῷ μοναχῷ μὴ περὶ δένδρων εἶναι εὐκλώνων ἢ συσκίων ἢ πηγῶν καλιρρόων ἢ λειμώνων παμποικίλων ἢ κήπων παντοίων λαχάνων ἢ οἰκιῶν εὐπρεπῶν· μήτε εἶναι αὐτὸν πανηγυρικόν, μήτε μεμνῆσθαι φιλοτιμιῶν, μηδὲ περὶ ποίμνης προβάτων καὶ ἀγέλας βοῶν

35. Βλ. ὑποσημ. 27, σελ. 274.

ἀπό τή φύση του σκοτώνει τά σκουλήκια καί ἐξαφανίζει τήν ἄσχημη μυρωδιά. Κατά τόν ἴδιο τρόπο καί ὁ μοναχός πού παρέδωσε τόν ἑαυτό του στά γήινα πράγματα καί στούς περισπασμούς, πού δέν ἡσυχάζει στό κελί του καί δέν ὁπλίζει τόν ἑαυτό του μέ τόν φόβο τοῦ Θεοῦ καί δέν μετέχει στή δύναμη τοῦ Θεοῦ, πού εἶναι ἡ προσευχή, ἡ νηστεία καί ἡ ἀγρυπνία, δηλαδή τό πνευματικό ἁλάτι, αὐτός ὁ μοναχός ἔχει σαπίσει καί εἶναι γεμάτος ἀπό τή δυσοσμία πολλῶν καί πονηρῶν λογισμῶν· μέ ἀποτέλεσμα ὁ Θεός καί οἱ ἄγγελοι νά ἀποστρέφουν τό πρόσωπό τους ἀπό τή φοβερή δυσοσμία τῶν μάταιων λογισμῶν καί ἀπό τό σκοτάδι τῶν παθῶν, πού δροῦν σέ μιά τέτοια ψυχή καί κάκιστη διάνοια.

Πρόσεξε τά σκουλήκια —πού εἶναι τά πνεύματα τῆς πονηρίας καί οἱ δυνάμεις τοῦ σκότους— μέ ποιόν τρόπο περπατοῦν καί παραμένουν μέσα σ᾽ αὐτόν τόν μοναχό, μέσα στούς ρυπαρούς λογισμούς, καί σέρνονται σ᾽ αὐτή τήν ψυχή, μιά κι ἔχουν ἐκεῖ τίς φωλιές τους, καί τήν ἴδια τήν ψυχή τρῶν, τήν κάνουν ἀγνώριστη καί τήν καταστρέφουν. Μόλις ὅμως ὁ μοναχός καταφύγει στόν Θεό καί απομακρυνθεῖ ἀπό τούς περισπασμούς καί πιστέψει ὅτι ὁ Θεός μπορεῖ νά τόν διαθρέψει, τότε τοῦ ἀποστέλλεται τό πνευματικό ἁλάτι, δηλαδή τό ἀγαθό καί φιλάνθρωπο Πνεῦμα, ὁπότε μέ τόν ἐρχομό του ἐξορίζονται τά πάθη»[35].

68. Εἶπε ἀκόμη: «Ὁ μοναχός δέν ταιριάζει νά ἐνδιαφέρεται γιά δένδρα μέ ὡραῖα κλαδιά ἤ σκιερά ἤ γιά πηγές μέ καλό τρεχούμενο νερό ἤ γιά ποικίλα λιβάδια ἤ γιά κήπους πού ἔχουν κάθε εἴδους λαχανικά ἤ γιά περιποιημένα σπίτια· ἐπίσης δέν πρέπει νά ἀγαπᾶ τίς γιορτές μήτε νά ᾽χει στόν νοῦ του τίς τιμές οὔτε νά ἀπασχολεῖ τή σκέψη του γιά κοπάδια πρόβατα καί γιά ἀγέλες βοδιῶν. Βέβαια νά χρη-

ἀσχολήσῃ τὸν νοῦν, ἀλλὰ καὶ χρῄζειν μὲν τῶν ἀναγκαίων εὐχαριστῶν, ὁδὸν δέ τινα ξένην ἡγεῖσθαι τὸν βίον πάσης σαρκικῆς διαθέσεως ἔρημον. Ἐὰν δὲ ὁ μοναχὸς ἑαυτὸν χαυνώσας τοῖς τοιούτοις ἐμπλακῇ, οὔτε φίλος τοῦ Θεοῦ γενέσθαι ἰσχύει, οὔτε τοῦ ψόγου τῶν ἀνθρώπων ἀποδρᾶσαι.

Ἀπαιτοῦσι γὰρ αὐτὸν μάχας περὶ ὅρων καὶ ὁροθεσίων καὶ διὰ τὰς λαμπρὰς οἰκίας μεγιστάνας ὑποδέχεσθαι καὶ διὰ τοὺς κήπους ὑπὸ πάντων ὀχλεῖσθαι καὶ διὰ τὰ ποίμνια δοῦλον εἶναι καὶ διὰ τοὺς βόας μισθοῦσθαι καὶ διὰ τὰς ἀρούρας καὶ ἀγροὺς διαπληκτίζεσθαι καὶ διὰ τοὺς ἀμπελῶνας καὶ τὰς αὐτῶν ἀρδείας εἰς ἔχθρας ἐμπλακῆναι. Ἔλυσέ τις τῆς ἀμπέλου τὸν τέρμονα καὶ τῷ οἰκείῳ προσεκλήρωσεν, ἄλλος τῇ χώρᾳ προσαφῆκε τὸ κτῆνος, ἄλλος τὸ ὕδωρ ἐπιρρέον τῷ κήπῳ ἀπέστησεν. Οὐκοῦν λυπεῖσθαι δεῖ καὶ μάχεσθαι καὶ τῶν μαινομένων χείρονα γενέσθαι καὶ ἄρχοντας πρὸς ἐπικουρίαν μετακαλέσασθαι. Τί γὰρ ὠφελεῖται μοναχὸς ἀποταξάμενος τῷ βίῳ καὶ πάλιν τοῖς βιωτικοῖς πράγμασι περικτυπεῖσθαι; Οὐδεὶς γάρ φησι στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις.

Οὐκοῦν ἀρξώμεθα ἀναχωρεῖν τῶν πραγμάτων· καταφρονήσωμεν χρημάτων καὶ πάντων τῶν βυθιζόντων τὸν νοῦν καὶ ὑποβρύχιον φερόντων αὐτόν· ἀπορρίψωμεν τὸν φόρτον, ἵνα μικρὸν ἀναπλεύσῃ τὸ πλοῖον, ἵνα καὶ ὁ κυβερνήτης νοῦς μετὰ τῶν ἐμπλεόντων διασωθῆναι δυνηθῇ λογισμῶν.

69. Εἶπε Γέρων· Ὁ θέλων καθίσαι εἰς κελλίον μὴ ἐχέτω σχέσιν μετά τινος μάλιστα ζημιοῦντος αὐτόν.

36. Β΄ Τιμ. 2, 4.

σιμοποιεῖ ὅσα εἶναι ἀναγκαῖα μέ εὐγνωμοσύνη, ἀλλά νά θεωρεῖ τή ζωή σάν ἕνα δρόμο ξένο, ἔρημο ἀπό κάθε σαρκική διάθεση. Ἐάν ὅμως ὁ μοναχός πέφτοντας σέ νωθρότητα περιπλακεῖ σέ τέτοια πράγματα, δέν μπορεῖ οὔτε φίλος τοῦ Θεοῦ νά γίνει οὔτε νά ἀποφύγει τήν κατηγόρια τῶν ἀνθρώπων.

Τόν περιμένουν διαμάχες γιά ὅρια καί ὁριοθετήσεις· εἶναι ὑποχρεωμένος ἐξαιτίας τῶν ὡραίων σπιτιῶν νά φιλοξενεῖ ἄρχοντες καί ἐξαιτίας τῶν κήπων νά ἐνοχλεῖται ἀπό ὅλους· γιά τά κοπάδια νά εἶναι ὑπηρέτης καί γιά τά βόδια νά παίρνει μισθωτούς· νά ἔρχεται στά χέρια ἐξαιτίας τῶν χωραφιῶν καί τῶν ἀγρῶν· νά περιπλέκεται σέ ἔχθρες γιά τά ἀμπέλια καί τό πότισμά τους. Παραβίασε κάποιος τό σύνορο τοῦ ἀμπελιοῦ καί ἕνωσε τό ξένο ἀμπέλι μέ τό δικό του· ἄλλος ἄφησε τό ζῶο του ἐλεύθερο στούς ἀγρούς· ἄλλος ἀπομάκρυνε τό νερό πού ποτίζει τόν κῆπο. Λοιπόν πρέπει νά στενοχωρεῖται καί νά συμπλέκεται καί νά γίνει χειρότερος ἀπό τούς παράφρονες καί νά προσκαλεῖ σέ βοήθεια τούς ἄρχοντες. Καί τί ὠφελεῖται ἕνας μοναχός πού ἀπαρνήθηκε τόν βίο, νά χτυπιέται ὁλοῦθε πάλι ἀπό τίς βιοτικές μέριμνες; Γιατί ἡ Γραφή λέει: "Κανένας πού ὑπηρετεῖ ὡς στρατιώτης δέν περιπλέκεται στίς μέριμνες τῆς ζωῆς"[36].

Ἑπομένως, ἄς ἀρχίσουμε νά ἀπομακρυνόμαστε ἀπό τά ὑλικά πράγματα· ἄς καταφρονήσουμε τά χρήματα καί ὅλα ὅσα βυθίζουν τόν νοῦ καί τόν ρίχνουν στόν βυθό τῆς θάλασσας· ἄς πετάξουμε τό φορτιό, γιά νά ἀνέβει λίγο τό καράβι στήν ἐπιφάνεια, ὥστε καί ὁ κυβερνήτης νοῦς μέ τούς λογισμούς πού πλέουν μαζί του νά μπορέσει νά σωθεῖ»

69. Εἶπε ἕνας Γέροντας: «Αὐτός πού θέλει νά μένει σέ κελί, ἄς μήν ἔχει σχέση μέ ἄλλον, προπαντός ὅταν βλάπτεται ἀπ᾿ αὐτόν».

70. Ἀδελφῷ τινι καθημένῳ ἐν ὄρει ἠρώτησέ τις τῶν Γερόντων ἐκ τῆς Λαύρας τοῦ Καλαμῶνος καὶ λέγει αὐτῷ· Εἰπέ μοι, ἀδελφέ, ἐν τοσούτῳ χρόνῳ τῆς ἡσυχίας καὶ τῆς ἀσκήσεως τί κατώρθωσας; Λέγει αὐτῷ ὁ ἀδελφός· Ὕπαγε καὶ μετὰ δέκα ἡμέρας ἐλθὲ καὶ λέγω σοι. Ὁ δὲ Γέρων ἀπελθὼν ἦλθε μετὰ δεκάτην ἡμέραν καὶ εὗρε τὸν ἀδελφὸν τελειωθέντα καὶ εἰς ὄστρακον γεγραμμένον· Συγχώρησόν μοι, πάτερ, ὅτι οὐδέποτε ποιῶν τὸν κανόνα μου ἀφῆκα τὸν νοῦν μου εἰς τὴν γῆν.

71. Δύο ἀδελφοὶ ἦσαν ἅμα οἰκοῦντες ἐν τῇ ἐρήμῳ· ὁ μὲν εἷς ἐξ αὐτῶν ἡνίκα ἐμνήσθη τοῦ κρίματος τοῦ Θεοῦ, πολλοστὸν ἀπέδρα εἰς τὴν ἔρημον πελαζόμενος, ὁ δὲ ἕτερος ἐξήρχετο ὀπίσω αὐτοῦ ζητῶν αὐτόν· καί ποτε πολλὰ καμών, ἕως οὗ εὕρῃ αὐτόν, λέγει αὐτῷ· Διὰ τί οὕτως ἀποδιδράσκεις ἔξω; Σὺ μόνος ἐποίησας τὰς ἁμαρτίας τοῦ κόσμου; Λέγει αὐτῷ ὁ ἀδελφός· Νομίζεις οὐκ οἶδα, εἰ ἀφέθησαν αἱ ἁμαρτίαι μου; Ναί, οἶδα ὅτι ὁ Θεὸς συνεχώρησε τὰς ἁμαρτίας μου, ἀλλὰ τὸν μόχθον τοῦτον ποιῶ, ἵνα ἐν ἡμέρᾳ κρίσεως γένωμαι θεωρῶν τοὺς κρινομένους.

72. Παρέβαλέ τις ἀδελφὸς πρός τινα Γέροντα εἰς τὴν Λαύραν τοῦ Ὀκτωκαιδεκάτου ἐν Ἀλεξανδρείᾳ ἔχων μεθ' ἑαυτοῦ καί τινα κοσμικὸν καὶ λέγει τῷ Γέροντι· Εἰπὲ ἡμῖν λόγον, κύρι ἀββᾶ, τὸ πῶς ὀφείλομεν μετ' ἀλλήλων καθίσαι, ὅτι ὁ ἀδελφὸς ὅδε βουλὰς ἔχει ἀποτάξασθαι. Λέγει ὁ Γέρων· Καλῶς ποιεῖ, τέκνον, ἀποτασσόμενος καὶ σῴζων τὴν ἑαυτοῦ ψυχήν. Καθίσατε οὖν εἰς κελλίον, ὅπου βούλεσθε· νηφαλίως

---

37. Λαύρα Καλαμῶνος: μοναστική ἑστία στήν Παλαιστίνη κοντά στή μονή τοῦ ὁσίου Γερασίμου. Τήν ὀνομασία της τήν πῆρε ἀπό τίς πανύψηλες καλαμιές τῆς περιοχῆς. Στίς ἀραβικές ἐπιδρομές τό 614 ἡ Λαύρα Καλαμῶνος ὑπῆρξε καταφύγιο γιά τούς μοναχούς τῆς περιοχῆς Χοτζεβᾶ.

70. Κάποιον ἀδελφό πού ἔμενε στό ὄρος, τόν πλησίασε ἕνας ἀπό τούς Γέροντες τῆς Λαύρας τοῦ Καλαμώνα[37] καί τοῦ λέει: «Ἀδελφέ, πές μου τί κατόρθωσες μέσα σέ τόσο χρονικό διάστημα πού ἡσυχάζεις καί ἀσκεῖσαι;» Καί τοῦ ἀπαντᾶ ὁ ἀδελφός: «Πήγαινε καί ἔλα ὕστερα ἀπό δέκα μέρες καί θά σοῦ πῶ». Ὁ Γέροντας ἔφυγε καί γύρισε μετά τή δεκάτη μέρα, ὅμως βρῆκε τόν ἀδελφό νεκρό καί σέ ἕνα κεραμίδι γραμμένο: «Συγχώρεσέ με, πάτερ· οὐδέποτε ἄφησα τόν νοῦ μου στή γῆ, κάνοντας τόν κανόνα μου».

71. Δύο ἀδελφοί κατοικοῦσαν μαζί στήν ἔρημο. Ὁ ἕνας ἀπ' αὐτούς ὅποτε θυμόταν τήν κρίση τοῦ Θεοῦ, ἔφευγε πολλές φορές κρυφά στή γύρω ἔρημο, ἐνῶ ὁ ἄλλος ἔβγαινε πίσω του ἀναζητώντας τον· καί κάποια φορά ἀφοῦ κουράστηκε πολύ, μέχρι νά τόν βρεῖ, τοῦ λέει: «Γιατί ἔτσι κρυφά ἀπομακρύνεσαι; Ἐσύ μόνος ἔκανες τίς ἁμαρτίες τοῦ κόσμου;» Τοῦ λέει ὁ ἀδελφός: «Νομίζεις ὅτι δέν ξέρω ἄν συγχωρέθηκαν οἱ ἁμαρτίες μου; Ναί, ξέρω ὅτι ὁ Θεός μοῦ τίς συγχώρησε, ἀλλά κάνω αὐτόν τόν κόπο, γιά νά μπορέσω τήν ἡμέρα τῆς κρίσεως νά εἶμαι θεατής τῶν κρινομένων».

72. Κάποιος ἀδελφός ἐπισκέφθηκε ἕναν Γέροντα στή Λαύρα τοῦ Ὀκτωκαιδεκάτου[38] στήν Ἀλεξάνδρεια, ἔχοντας μαζί του κι ἕναν κοσμικό, καί λέει στόν Γέροντα: «Ἀφέντη μας ἀββᾶ, πές μας ἕνα λόγο, τό πῶς ταιριάζει σέ μᾶς νά μονάσουμε μαζί· γιατί ὁ ἀδελφός αὐτός ἐδῶ σκέφτεται νά ἀποχωρισθεῖ τόν κόσμο». Κι ὁ Γέροντας λέει: «Καλά κάνει, παιδί μου, πού ἀπαρνεῖται τά τοῦ κόσμου καί σώζει ἔτσι τήν ψυχή του. Καθίστε, λοιπόν, σ' ἕνα κελί, ὅπου θέλετε· μόνον νά ζεῖτε

38. Λαύρα Ὀκτωκαιδεκάτου: Βρισκόταν δεκαοκτώ περίπου στάδια νότια ἀπό τήν Ἀλεξάνδρεια.

μόνον ἔχοντες ἡσυχίαν καὶ προσευχόμενοι ἀπαύστως· καὶ ἐλπίδας ἔχω εἰς τὸν Θεόν, τέκνα, ὅτι ἀποστελεῖ τὴν γνῶσιν αὐτοῦ εἰς τὸ φωτίσαι ὑμῶν τὸν νοῦν.

73. Εἶπε πάλιν· Εἰ σωθῆναι, τέκνα, θέλετε, φεύγετε τοὺς ἀνθρώπους· σήμερον γὰρ ἡμεῖς οὐ πανόμεθα πάντα κρούοντες πυλῶνα καὶ πᾶσαν πόλιν καὶ χώραν γυρεύοντες, εἴ πως δυνηθῶμεν φιλαργυρίας καὶ κενοδοξίας ὀψώνια ἑαυτοῖς ἀγοράσαι καὶ τὰς ἑαυτῶν ψυχὰς ἐμπλῆσαι ματαιότητος. Εἶπε πάλιν· Φύγωμεν λοιπόν, ὦ τέκνα, ὅτι ὁ Κύριος ἤγγικεν.

74. Ἔλεγον περί τινος Γέροντος ἡσυχαστοῦ ὅτι τριάκοντα πέντε ἔτη ἐποίησεν ὁ Γέρων ἡσυχάζων, δύο δύο ἡμέρας νηστεύων καὶ σιωπήσας μήτε λαλήσας τὸ σύνολον πρός τινα· ἀλλ' εἰ ἄρα τί ποτε οὖν ἤθελεν εἰπεῖν, διὰ ψήφου ἐδήλου· τοῦτον κἀγὼ ἑώρακα ἐν τῇ αὐτοῦ χώρα τῶν Αἰλιωτῶν· ἔμεινα γὰρ ἐν αὐτῇ ἔτη δέκα.

75. Γέρων τις μέγας ἐλθὼν εἰς τὸν ποταμὸν εὗρε χάρακα καλάμων ἡσυχάζοντα· καὶ καθίσας ἐκεῖ ἔκοπτε φλούδια ἐκ τοῦ ποταμοῦ καὶ ἔπλεκε σειρὰν καὶ ἔβαλλεν εἰς τὸν ποταμόν.

Καὶ οὕτως ἐποίει ἕως οὗ ἦλθον οἱ ἄνθρωποι καὶ εἶδον αὐτόν· καὶ λοιπὸν ἀνεχώρησεν. Οὐ γὰρ διὰ τὸ χρῄζειν εἰργάζετο, ἀλλὰ διὰ τὸν κόπον καὶ τὴν ἡσυχίαν.

---

39. Πρβλ. Φιλ. 4, 5-6.

40. *Δύο δύο ἡμέρας νηστεύων*: ἐσήμαινε ὅτι ἔτρωγαν εἴτε μέρα παρά μέρα εἴτε κάθε τρίτη μέρα.

41. Περιοχή Ἱεροσολύμων. Στά ἐρείπια τῆς κατεστραμμένης Ἱερουσαλήμ ὁ αὐτοκράτωρ Ἀδριανός ἱδρύει τό 135 μ.Χ. τήν Αἰλία Καπιτωλίνα. Σ' αὐτόν

τή ζωή τῆς ἡσυχίας μέ ἄγρυπνη προσοχή καί νά προσεύχεστε ἀκατάπαυστα· κι ἐγώ, παιδιά μου, ἐλπίζω στόν Θεό ὅτι θά στείλει τή γνώση του γιά νά σᾶς φωτίσει τόν νοῦ».

73. Εἶπε πάλι: «Παιδιά μου, ἐάν θέλετε νά σωθεῖτε, νά ἀποφεύγετε τούς ἀνθρώπους. Ἐμεῖς σήμερα δέν σταματᾶμε νά χτυπᾶμε κάθε ἀρχοντικοῦ τήν πόρτα καί νά φέρνουμε γύρους σ' ὅλες τίς πόλεις καί τούς ἀγρούς μήπως καί μπορέσουμε νά κάνουμε προμήθειες γιά τή φιλαργυρία καί τήν κενοδοξία μας καί νά γεμίσουμε τίς ψυχές μας μέ ματαιότητα». Εἶπε πάλι: «Λοιπόν, παιδιά μου, ἄς φύγουμε, γιατί ὁ Κύριος εἶναι ἐγγύς[39]».

74. Ἔλεγαν γιά κάποιο Γέροντα ἡσυχαστή ὅτι τριάντα πέντε χρόνια ἔζησε τή ζωή τοῦ ἡσυχαστῆ, νηστεύοντας δύο-δύο τίς μέρες[40], ὅτι σιωποῦσε καί δέν μίλησε γενικά σέ κανέναν· ἀλλά ἄν τυχόν κάποτε ἤθελε κάτι νά πεῖ, τό φανέρωνε γράφοντάς το σ' ἕνα βότσαλο. Αὐτόν καί ἐγώ τόν εἶχα δεῖ στή δική του περιοχή τῶν Αἰλιωτῶν[41], γιατί ἔμεινα σ' αὐτή δέκα χρόνια.

75. Κάποιος μεγάλος Γέροντας κατεβαίνοντας στήν ὄχθη τοῦ ποταμοῦ βρῆκε ἕνα τόπο μέ καλάμια πού εἶχε ἡσυχία. Κάθισε λοιπόν ἐκεῖ καί ἔκοβε βοῦρλα ἀπό τό ποτάμι, ἔκαμνε μ' αὐτά πλεξοῦδες καί τίς πετοῦσε κατόπιν στό ποτάμι.

Τό ἴδιο συνέχισε νά κάνει, ἕως ὅτου ἦρθαν ἐκεῖ οἱ ἄνθρωποι καί τόν εἶδαν. Σηκώθηκε τότε καί ἔφυγε. Γιατί δέν ἐργαζόταν γιά νά καλύψει τίς ἀνάγκες του, ἀλλά γιά τόν κόπο καί τήν ἡσυχία.

τόν χῶρο συστήνεται ἐκκλησία ἀπό τούς Χριστιανούς ὡς ἐπισκοπή Αἰλίας, πού εἶναι ἡ φυσική συνέχεια τῆς πρώτης Ἐκκλησίας τῆς Ἱερουσαλήμ.

76. Εἶπε Γέρων ὅτι· Ἔστιν ἄνθρωπος, ὃς ποιεῖ ἑκατὸν ἔτη ἐν τῷ κελλίῳ καὶ οὐ μανθάνει πῶς δεῖ ἐν τῷ κελλίῳ καθίσαι.

77. Εἶπε Γέρων· Ἐὰν θέλῃ τις ἡσυχάσαι, ἢ εἰς ἔρημον οἰκήσει ἢ εἰς Λαύραν ἐν μέσῳ πολλῶν ἀδελφῶν· ἐὰν δὲ οἰκήσῃ εἰς τόπον ἐγγύτερον καὶ παρὰ μέρος, εὑρίσκει πολλὴν ὄχλησιν. Ὅταν γάρ τις ἔλθῃ εἰς τὸν τόπον, ἀνάγκην ἔχει ἀπαντῆσαι αὐτῷ, οὐ γὰρ ἔχει ποῦ ἀναπαυῆναι ἄλλως, ἐὰν δὲ εἰς τόπον μέγαν ᾗς, κἂν σὺ μὴ δέξῃ αὐτόν, οὐ θλίβεταί σου ὁ λογισμός· εὑρίσκει γὰρ ἀλλαχοῦ ἀνάπαυσιν καὶ τὸ πλῆθος τῶν ἀδελφῶν γίνεταί σοι σκέπη καὶ δύνασαι ἀναπαυῆναι.

78. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Τί ἐστιν ἡσυχία καὶ τίς ἡ ὠφέλεια αὐτῆς; Ὁ δὲ Γέρων εἶπεν αὐτῷ· Ἡσυχία ἐστὶ τὸ καθέζεσθαι ἐν τῷ κελλίῳ μετὰ γνώσεως καὶ φόβου Θεοῦ ἀπεχόμενον μνησικακίας καὶ ὑψηλοφροσύνης· ἡ τοιαύτη ἡσυχία γεννήτρια οὖσα πασῶν τῶν ἀρετῶν φυλάσσει τὸν μοναχὸν ἀπὸ τῶν πεπυρωμένων βελῶν τοῦ ἐχθροῦ, μὴ ἐῶσα αὐτὸν τιτρώσκεσθαι ὑπ' αὐτοῦ.

Ὦ ἡσυχία, προκοπὴ μοναζόντων· ὦ ἡσυχία, κλῖμαξ οὐράνιος· ὦ ἡσυχία, ὁδὸς Βασιλείας Οὐρανῶν· ὦ ἡσυχία, κατανύξεως μήτηρ· ὦ ἡσυχία, μετανοίας πρόξενος· ὦ ἡσυχία, ἔσοπτρον ἁμαρτημάτων, ἡ δεικνύουσα τῷ ἀνθρώπῳ τὰ

76. Εἶπε ἕνας Γέροντας: «Ὑπάρχει ἄνθρωπος πού κάνει ἑκατό χρόνια μέσα στό κελί, καί δέν μαθαίνει πῶς πρέπει νά ζεῖ μέσα σ' αὐτό».

77. Εἶπε ἕνας Γέροντας: «Ἐάν θέλει κανείς νά ἡσυχάσει, ἄς κατοικήσει ἤ σέ ἔρημο τόπο ἤ σέ Λαύρα, ἀνάμεσα σέ πολλούς ἀδελφούς. Ἄν ὅμως κατοικήσει κοντά σέ πόλη ἔστω καί παράμερα, θά ἔχει πολλή ἐνόχληση. Γιατί ὅταν ἔρθει στόν τόπο αὐτό κάποιος ἀδελφός, θά χρειαστεῖ νά τόν συναντήσει, καθώς δέν θά μπορεῖ μέ ἄλλο τρόπο ποῦ νά φιλοξενηθεῖ. Ἐνῶ ἐάν μένεις σέ τόπο πού μένουν πολλοί ἀδελφοί, κι ἄν ἀκόμη ἐσύ δέν τόν δεχθεῖς, δέν θά στενοχωρηθεῖς, γιατί θά βρεῖ ἀλλοῦ φιλοξενία, καί ἔτσι τό πλῆθος τῶν ἀδελφῶν θά σέ προστατεύει καί θά μπορεῖς νά εἶσαι ἀναπαυμένος».

78. Κάποιος ἀδελφός ρώτησε ἕναν Γέροντα: «Τί εἶναι ἡσυχία καί σέ τί ὠφελεῖ;» Κι ὁ Γέροντας τοῦ εἶπε: «Ἡσυχία εἶναι τό νά μένεις στό κελί σου μέ ἐπίγνωση καί φόβο Θεοῦ, μακριά ἀπ' τή μνησικακία καί τήν ὑψηλοφροσύνη. Μιά τέτοια ἡσυχία γεννᾶ ὅλες τίς ἀρετές καί προστατεύει τόν μοναχό ἀπό τά πυρωμένα βέλη τοῦ ἐχθροῦ καί δέν τόν ἀφήνει νά πληγώνεται ἀπ' αὐτόν.

Ὦ ἡσυχία, προκοπή τῶν μοναχῶν
» σκάλα, πού ὁδηγεῖς στόν οὐρανό
» δρόμος πού βγάζεις στή Βασιλεία τῶν Οὐρανῶν
» μητέρα τῆς κατάνυξης
» πού προξενεῖς μετάνοια
» πού εἶσαι καθρέφτης τῶν ἁμαρτιῶν καί δείχνεις στόν ἄνθρωπο τά ἁμαρτήματά του.

ἁμαρτήματα αὐτοῦ· ὢ ἡσυχία, ἡ δάκρυα καὶ στεναγμοὺς μὴ ἐμποδίζουσα· ὢ ἡσυχία, ἡ τὴν ψυχὴν λαμπρύνουσα· ὢ ἡσυχία, πραότητος γεννήτρια· ὢ ἡσυχία, ταπεινώσεως σύσκηνε· ὢ ἡσυχία, ἡ εἰς εἰρηνικὴν κατάστασιν φέρουσα τὸν ἄνθρωπον· ὢ ἡσυχία, ἀγγέλων συνόμιλε· ὢ ἡσυχία, διανοίας φωταγωγέ· ὢ ἡσυχία, φόβῳ Θεοῦ συνεζευγμένη, λογισμῶν κατάσκοπε καὶ διακρίσεως σύμπονε· ὢ ἡσυχία, γεννήτρια πάντων τῶν ἀγαθῶν, νηστείας ἑδραίωμα καὶ γλώσσης χαλινὸς καὶ γαστριμαργίας ἐμπόδιον· ὢ ἡσυχία, σχολὴ προσευχῆς καὶ σχολὴ ἀναγνώσεως· ὢ ἡσυχία, γαλήνη λογισμῶν καὶ λιμὴν εὔδιος· ὢ ἡσυχία, Θεὸν δυσωποῦσα, νεωτέρων ὅπλον, ἀμεταμέλητον ἔχουσα φρόνημα καὶ τοὺς βουλομένους καθέζεσθαι εἰς τὰ κελλία ἑαυτῶν ἀταράχους διαφυλάττουσα· ὢ ἡσυχία, ζυγὸς χρηστὸς καὶ φορτίον ἐλαφρόν, ἀναπαύουσα καὶ βαστάζουσα τὸν βαστάζοντά σε· ὢ ἡσυχία, εὐφροσύνη ψυχῆς καὶ καρδίας· ὢ ἡσυχία, τὰ ἑαυτῆς μόνα μεριμνῶσα καὶ Χριστῷ ὁμιλοῦσα καὶ διηνεκῶς πρὸ ὀφθαλμῶν ἔχουσα τὸν θάνατον· ὢ ἡσυχία, ὀφθαλμῶν καὶ ἀκοῆς καὶ γλώσσης χαλινός· ὢ ἡσυχία, καθ' ἡμέραν καὶ νύκτα τὸν Κύριον προσδοκῶσα καὶ τὴν λαμπάδα ἄσβεστον διατηροῦσα· αὐτὸν γὰρ ποθοῦσα διηνεκῶς ψάλλεις λέγουσα· Ἑτοίμη ἡ καρδία μου,



Ὦ ἡσυχία, πού δέν βάζεις ἐμπόδιο στά δάκρυα καί τούς στεναγμούς
» πού λαμπρύνεις τήν ψυχή
» πού γεννᾶς τήν πραότητα καί συγκατοικεῖς μέ τήν ταπείνωση
» πού ἐξασφαλίζεις μόνιμη τήν εἰρήνη στόν ἄνθρωπο
» πού εἶσαι ἀγγέλων σύντροφος
» πού φωταγωγεῖς τόν νοῦ.

Ὦ ἡσυχία, ἀχώριστα δεμένη μέ φόβο Θεοῦ, φρουρός τῶν λογισμῶν, συνεργός διακρίσεως,
» γεννήτρια κάθε καλοῦ, βάση καί θεμέλιο τῆς νηστείας, χαλινάρι τῆς γλώσσας, κώλυμα γαστριμαργίας,
» σχολή προσευχῆς καί μελέτης
» γαλήνη λογισμῶν καί ἀπάνεμο λιμάνι.

Ὦ ἡσυχία, πού κάμπτεις τόν Θεό μέ τίς ἱκεσίες σου
» πού εἶσαι ὅπλο τῶν νέων, γιατί παρέχεις φρόνημα ἀμετάτρεπτο καί ἐξασφαλίζεις τήν ἀταραξία σ' ὅσους ἐπιθυμοῦν νά παραμένουν στό κελί τους.

Ὦ ἡσυχία, ζυγός χρηστός καί φορτίο ἐλαφρό πού ἀναπαύεις καί ἐξυψώνεις αὐτόν πού σέ κρατάει στά χέρια του.

Ὦ ἡσυχία, ἀγαλλίαση τῆς ψυχῆς καί τῆς καρδιᾶς
» πού μεριμνᾶς τά ἑαυτῆς ἀπερίσπαστη καί συνομιλεῖς μέ τόν Χριστό ἔχοντας ἀδιάκοπη τή μνήμη τοῦ θανάτου
» χαλινάρι ματιῶν, ἀκοῆς καί γλώσσας.

Ὦ ἡσυχία, πού νύκτα καί μέρα ἀναμένεις τόν Κύριο καί διατηρεῖς ἄσβεστη τή λαμπάδα, γιατί Αὐτόν ποθεῖς καί ἀκατάπαυστα ψάλλεις:

ὁ Θεός· ἑτοίμη ἡ καρδία μου· ὦ ἡσυχία, περπερότητος ἀναιρέτρια καὶ ἀντὶ γέλωτος κλαυθμὸν ἀπεργαζομένη τῷ κεκτημένῳ σε· ὦ ἡσυχία, ἀναιδείας ἐχθρὰ καὶ παρρησίας μῖσος, ἀεὶ τὸν Χριστὸν ἐκδεχομένη· ὦ ἡσυχία, εὐλαβείας μήτηρ· ὦ ἡσυχία, δεσμωτήριον παθῶν· ὦ ἡσυχία, χωρίον Χριστοῦ καρποφοροῦν καρποὺς ἀγαθούς.

Ναί, ἀδελφέ, ταύτην κτῆσαι μνημονεύων τοῦ θανάτου, ὅτι οὐκ οἶδας ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται. Λοιπὸν νῆφε ἐπιμελῶς περὶ τῆς ἰδίας ψυχῆς.

Τέλος τῆς πραγματείας ὅτι δεῖ τὴν ἡσυχίαν πάσῃ σπουδῇ μεταδιώκειν.



"Εἶναι ἕτοιμη ἡ καρδιά μου, Θεέ μου, εἶναι ἕτοιμη"[42].

Ὢ ἡσυχία, πού ἐξαφανίζεις τήν ἀλαζονεία καί ἀντί γέλιου κατεργάζεσαι τά δάκρυα σ' αὐτόν πού σέ ἔχει κατακτήσει.

Ὢ ἡσυχία, πού πολεμᾶς τήν ἀναίδεια καί μισεῖς τήν παρρησία ἀναμένοντας πάντοτε τόν Χριστό

» μητέρα τῆς εὐλάβειας.

Ὢ ἡσυχία, δεσμωτήριο παθῶν.

Ὢ ἡσυχία, κτῆμα τοῦ Χριστοῦ πού παράγει καρπούς ἀγαθούς.

Ναί, ἀδελφέ μου, αὐτήν κάνε κτῆμα σου, διατηρώντας παντοτινά στή μνήμη σου τόν θάνατο, γιατί δέν γνωρίζεις ποιά ὥρα ἔρχεται ὁ κλέφτης[43]. Ἔχε λοιπόν ἄγρυπνη φροντίδα γιά τήν ψυχή σου».

Τέλος τῆς πραγματείας γιά τό ὅτι πρέπει
μέ κάθε δυνατό τρόπο
νά ἐπιδιώκουμε τήν ἡσυχία.

---

42. Ψαλμ. 56, 8.   43. Ματθ. 24, 42-44· Λουκ. 12, 39-40.



Ἡ πιό ἀνατολική ἀπό τίς πηγές τοῦ Ἰορδάνη
στήν Καισάρεια Φιλίππου

ΚΕΦΑΛΑΙΟ
Γ΄

«Ἡ μετάνοια θύρα ἐστὶν
ἐξάγουσα ἀπὸ τοῦ σκότους
καὶ εἰσάγουσα εἰς τὸ φῶς.
Ὁ οὖν πρὸς τὸ φῶς μὴ εἰσελθών,
οὐ διῆλθε τὴν θύραν τῆς μετανοίας καλῶς·
εἰ γὰρ διῆλθεν, ἐγένετο ἂν ἐν τῷ φωτί».

(Ἁγ. Συμεὼν ὁ Ν. Θεολόγος)



Περὶ κατανύξεως



ἶπεν ὁ ἀββᾶς Ἀντώνιος· Πρὸ ὀφθαλμῶν ἔχοντες τὸν φόβον τοῦ Θεοῦ πάντοτε μνημονεύσωμεν τοῦ θανάτου· μισήσωμεν τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ, μισήσωμεν πᾶσαν σαρκικὴν ἀνάπαυσιν, ἀποταξώμεθα τῇ ζωῇ ταύτῃ, ἵνα ζήσωμεν τῷ Θεῷ. Μνημονεύετε τί ἐπηγγείλασθε τῷ Θεῷ. Ζητεῖ γὰρ τοῦτο παρ᾽ ἡμῶν ἐν ἡμέρᾳ κρίσεως.

Πεινάσωμεν, διψήσωμεν, γυμνητεύσωμεν, ἀγρυπνήσωμεν, πενθήσωμεν, στενάξωμεν τῇ καρδίᾳ ἡμῶν, δοκιμάσωμεν εἰ ἄξιοι γεγόναμεν τοῦ Θεοῦ, τὴν θλῖψιν ἀγαπήσωμεν, ἵνα εὕρωμεν τὸν Θεόν, καταφρονήσωμεν τῆς σαρκός, ἵνα σωθῇ ἡμῶν ἡ ψυχή.

---

1. Βλ. Εἰσαγ. σελ. 21.

2. Ἡ μνήμη τοῦ θανάτου εἶναι βασικότατος ὅρος γιά τή σωστή στάση καί πορεία τῆς ψυχῆς πρός τόν Θεό· τονίζεται ἀπό ὅλους τούς πατέρες, ἰδιαίτερα ἀπό τούς νηπτικούς.

Ὁ ἅγιος Ἰωάννης ὁ Σιναΐτης γράφει: «Ὥσπερ πασῶν τροφῶν ὁ ἄρτος ἀναγκαιότερος, οὕτω πασῶν ἐργασιῶν ἡ τοῦ θανάτου μνήμη» (*Κλῖμαξ*, Λόγος ΣΤ΄ Περὶ μνήμης θανάτου).

Στή μνήμη τοῦ θανάτου κρίνεται ὁ κάθε σκεπτόμενος ἄνθρωπος καί εἰδικότερα ὁ χριστιανός στό ἐπίπεδο τῆς προσωπικῆς του πίστης. Καθαρίζουν τά ὅρια τῆς ζωῆς ἔνθεν καί ἔνθεν καί ἔρχεται στό προσκήνιο τῆς συνείδησης ἡ μοναδική καί φοβερή ὥρα τῆς συνάντησης τοῦ πλάσματος μέ τόν Πλάστη Πατέρα καί Θεό. Ἕπεται ἡ σκηνή τῆς κρίσης τοῦ Θεοῦ γι᾽ αὐτόν προσωπι-



Γιά τήν κατάνυξη



ἶπε ὁ ἀββᾶς Ἀντώνιος[1]: «Ἔχοντας τόν φόβο τοῦ Θεοῦ ζωντανό στή σκέψη μας, νά θυμόμαστε πάντοτε τόν θάνατο[2]. Νά μισήσουμε τόν κόσμο καί ὅλα τά τοῦ κόσμου· νά μισήσουμε κάθε σαρκική ἀνάπαυση[3], νά ἀπαρνηθοῦμε τή ζωή αὐτή, γιά νά ζήσουμε μέ τόν Θεό[4]. Νά θυμᾶστε τί ὑποσχεθήκατε στόν Θεό[5]. Γιατί αὐτό θά μᾶς τό ζητήσει τήν ἡμέρα τῆς κρίσεως.

Ἄς δοκιμασθοῦμε λοιπόν μέ τήν πείνα, τή δίψα καί τή γύμνια. Ἄς ἀγρυπνήσουμε, ἄς πενθήσουμε, ἄς στενάξουμε μέ τήν καρδιά μας. Ἄς ἐρευνήσουμε ἄν γίναμε ἄξιοι τοῦ Θεοῦ.

Νά ἀγαπήσουμε τή θλίψη[6], γιά νά βροῦμε τόν Θεό. Νά καταφρονήσουμε τή σάρκα, γιά νά σωθεῖ ἡ ψυχή μας».

κά καί ἐνώπιον αὐτῆς τῆς σκηνῆς, πού κάποια χρονική στιγμή πιστεύει ὅτι θά γίνει πραγματικότητα, ἡ συνείδηση ἀναμοχλεύεται καί ὁ φόβος τοῦ Θεοῦ παρακινεῖ τήν ψυχή ὁλοένα γιά βαθύτερη καί εἰλικρινέστερη μετάνοια.

Τό Πνεῦμα τοῦ Θεοῦ στήν Π. Διαθήκη λέει: «Μιμνήσκου τὰ ἔσχατά σου καί εἰς τὸν αἰῶνα οὐχ ἁμαρτήσεις» (Σοφ. Σειρ. 7, 36).

Τό βίωμα αὐτό πού συνόδευε μόνιμα τούς ἁγίους Γέροντες θά τό δοῦμε νά ἐκφράζεται ποικιλοτρόπως σέ πολλά ἀποφθέγματα τοῦ κεφαλαίου αὐτοῦ.

3. Βλ. ὑποσημ. 36 σελ. 56. 4. Ρωμ. 6, 11.

5. Ἀναφέρεται ὁ ἀββᾶς στίς ὑποσχέσεις πού δίνει ὁ μοναχός, κατά τήν ἐπίσημη ὥρα τῆς καθιέρωσής του, ἐνώπιον Θεοῦ καί ἀνθρώπων.

6. Πρβλ. Πρ. 14, 22· Ρωμ. 5, 3-5· Β΄ Κορ. 4, 17.

2. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἀρσενίου ὅτι ὅλον τὸν χρόνον τῆς ζωῆς αὐτοῦ καθεζόμενος εἰς τὸ ἐργόχειρον ῥάκος εἶχεν ἐν τῷ κόλπῳ, χάριν τῶν δακρύων τῶν πιπτόντων ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ.

3. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ἀμμωνᾶν λέγων· Εἰπὲ ῥῆμα. Λέγει ὁ Γέρων· Ὕπαγε, ποίησον τὸν λογισμόν σου, ὥσπερ οἱ κακοῦργοι ποιοῦσιν οἱ ὄντες ἐν τῇ φυλακῇ· ἐκεῖνοι γὰρ ἐρωτῶσιν ἀεὶ τοὺς ἀνθρώπους ποῦ ἐστιν ὁ ἡγεμὼν καὶ πότε ἔρχεται, καὶ ἀπὸ τῆς προσδοκίας κλαίουσιν. Οὕτως καὶ ὁ μοναχὸς ὀφείλει διὰ παντὸς προσέχειν τῇ ἑαυτοῦ ψυχῇ λέγων· Οὐαί μοι, πῶς ἔχω παραστῆναι τῷ βήματι τοῦ Χριστοῦ καὶ πῶς ἔχω αὐτῷ ἀπολογήσασθαι; Ἐὰν οὕτως μελετήσῃς διαπαντός, δύνασαι σωθῆναι.

4. Εἶπε πάλιν· Καθεζόμενος ἐν τῷ κελλίῳ συνάγαγέ σου τὸν νοῦν, μνήσθητι ἡμέρας θανάτου, ἴδε τότε τοῦ σώματος τὴν νέκρωσιν, ἐννόει τὴν συμφοράν, λάβε τὸν πόνον, κατάγνωθι τῆς ἐν τῷ κόσμῳ τούτῳ ματαιότητος· ἐπιμέλησαι τῆς ἐπιεικείας καὶ τῆς σπουδῆς, ἵνα δυνηθῇς διαπαντὸς μένειν ἐν τῇ αὐτῇ προθέσει τῆς ἡσυχίας καὶ μὴ ἀσθενήσῃς.

Μνήσθητι δὲ καὶ τῆς ἐν τῷ Ἅδῃ καταστάσεως, λογίζου πῶς ἆρά εἰσιν ἐκεῖ αἱ ψυχαί, ἐν ποίᾳ πικροτάτῃ σιωπῇ ἢ ἐν ποίῳ δεινοτάτῳ στεναγμῷ, ἡλίκῳ φόβῳ καὶ ἀγῶνι καὶ ποίᾳ προσδοκίᾳ ἐκδεχόμεναι τὴν ἄπαυστον ὀδύνην, τὸ ψυχικὸν καὶ ἀπέραντον δάκρυον. Ἀλλὰ καὶ ἡμέρας ἀναστάσεως καὶ παραστάσεως τῆς πρὸς τὸν Θεὸν μνήσθητι.

Φαντάζου τὸ φρικῶδες ἐκεῖνο κρῖμα· ἄγε εἰς τὸ μέσον

7. Τό ἀπόφθεγμα εἶναι τοῦ Εὐαγρίου*.

2. Ἔλεγαν γιά τόν ἀββᾶ Ἀρσένιο* ὅτι ὅλο τόν χρόνο τῆς ζωῆς του καθισμένος στό ἐργόχειρό του εἶχε στόν κόρφο του ἕνα μαντήλι γιά τά δάκρυα πού ἔπεφταν ἀπό τά μάτια του.

3. Ἕνας ἀδελφός παρακάλεσε τόν ἀββᾶ Ἀμμωνᾶ*: «Πές μου ἕνα λόγο». Καί ὁ Γέροντας τοῦ λέει: «Πήγαινε καί νά σκέφτεσαι, ὅπως σκέφτονται οἱ κακοῦργοι πού εἶναι στή φυλακή· ἐκεῖνοι πάντα ρωτοῦν τούς ἀνθρώπους ποῦ εἶναι ὁ ἄρχοντας καί πότε ἔρχεται, καί κλαῖνε ἀπό τήν ἀγωνία. Ἔτσι καί ὁ μοναχός ὀφείλει πάντα νά προσέχει τήν ψυχή του καί νά λέει: "Ἀλίμονό μου· πῶς θά μπορέσω νά παρουσιασθῶ στό βῆμα τοῦ Χριστοῦ καί τί θά τοῦ ἀπολογηθῶ;" Ἄν σ' αὐτό ἔχεις διαρκῶς στραμμένη τήν προσοχή σου, μπορεῖς νά σωθεῖς».

4. Εἶπε πάλι[7]: «Ὅταν κάθεσαι στό κελί σου συμμάζευε τόν νοῦ σου· φέρνε στή σκέψη σου τήν ἡμέρα τοῦ θανάτου, δές τότε τό σῶμα σου νεκρό, νιῶσε τή συμφορά, πόνεσε καί καταδίκασε τή ματαιότητα τοῦ κόσμου αὐτοῦ· φρόντιζε νά ἐναρμονίζεις τήν ἐπιείκεια μέ τόν ζῆλο, γιά νά μπορέσεις νά παραμείνεις γιά πάντα στήν ἴδια πρόθεση τῆς ἡσυχίας καί νά μήν ἀτονήσεις.

Νά φέρνεις ἀκόμη στή θύμησή σου καί τήν κατάσταση πού ὑπάρχει στόν Ἅδη· νά ἀναλογίζεσαι πῶς εἶναι ἄραγε ἐκεῖ οἱ ψυχές· σέ τί λογῆς πικρότατη σιωπή καί φοβερούς ἀναστεναγμούς, σέ πόσο μεγάλο φόβο καί ἀγωνία καί σέ τί ἀναμονή, περιμένοντας νά πάρουν γιά ποινή τους τήν ἀκατάπαυστη ὀδύνη καί τά ἀτέλειωτα δάκρυα. Ὅμως νά ἔχεις στή μνήμη σου καί τήν ἡμέρα τῆς ἀναστάσεως καί τῆς παραστάσεώς μας μπροστά στόν Θεό.

Φαντάσου τή φρικτή ἐκείνη κρίση· φέρε στόν νοῦ σου

τὴν ἀποκειμένην τοῖς ἁμαρτωλοῖς αἰσχύνην τὴν κατενώπιον τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ αὐτοῦ, ἀγγέλων, ἀρχαγγέλων, ἐξουσιῶν καὶ πάντων ἀνθρώπων. Τά τε κολαστήρια πάντα, πῦρ τὸ αἰώνιον, σκώληκα τὸν ἀτελεύτητον, τὸν Τάρταρον, τὸ σκότος· τὸ ἐπὶ πᾶσι τούτοις, τὸν τῶν ὀδόντων βρυγμόν, τοὺς φόβους καὶ τὰς βασάνους.

Ἄγε δὴ καὶ τὰ τοῖς δικαίοις ἀποκείμενα ἀγαθά, παρρησίαν τὴν μετὰ τοῦ Θεοῦ Πατρὸς καὶ τοῦ Χριστοῦ αὐτοῦ, ἀγγέλων, ἀρχαγγέλων, ἐξουσιῶν καὶ παντὸς τοῦ δήμου, Βασιλείαν καὶ τὰ ταύτης δωρήματα, τὴν χαρὰν καὶ τὴν ἀπόλαυσιν. Ἑκατέρων τούτων τὴν μνήμην ἄγε σεαυτῷ καὶ ἐπὶ μὲν τῇ τῶν ἁμαρτωλῶν κρίσει στένε, δάκρυε, πένθους ἔνδυσαι τὴν ἰδέαν φοβούμενος μὴ καὶ σὺ αὐτὸς ἐν τούτοις γένῃ. Καὶ ἐπὶ τοῖς ἀγαθοῖς τοῖς ἀποκειμένοις τοῖς δικαίοις χαῖρε καὶ ἀγάλλου καὶ εὐφραίνου. Καὶ τούτων μὲν σπούδασον ἀπολαῦσαι, ἐκείνων δὲ ἀλλοτριοῦσθαι. Ὅρα μὴ ἐπιλάθῃ ποτὲ κἂν ἔνδον ἐν τῷ κελλίῳ σου τυγχάνῃς κἂν ἔξω που τῆς ἐκ τούτων μνήμης· μὴ παραρρίψῃς σου τὸ φρόνημα, ὅπως κἂν διὰ τούτων τοὺς βλαβεροὺς διαφεύξῃ λογισμούς.

5. Εἶπεν ὁ ἀββᾶς Ἀϊὼ ὅτι ἦν τις ὀνόματι Ἀπολλὼ εἰς Σκήτην, ποιμὴν ἄγροικος, καὶ ἰδὼν γυναῖκα ἐν γαστρὶ ἔχου-

8. Πρβλ. Ματθ. 25, 31-32.

9. Τάρταρος ἤ Τάρταρα: ἄβυσσος σκοτεινή, βαθύτερα ἀπό τόν Ἅδη. Στήν ἀρχαία μυθολογία θεωροῦνταν τόπος καθείρξεως τοῦ Κρόνου καί τῶν Τιτάνων.

τή μεγάλη ντροπή πού περιμένει τούς ἁμαρτωλούς μπροστά στόν Θεό καί στόν Χριστό του, μπροστά στούς ἀγγέλους, στούς ἀρχαγγέλους, στίς ἐξουσίες καί σ' ὅλους τούς ἀνθρώπους[8]. Φαντάσου ἀκόμη ὅλες τίς τιμωρίες, τή φωτιά τήν αἰώνια, τό σκουλήκι τό ἀκοίμητο, τά Τάρταρα[9], τό σκοτάδι· καί αὐτό πού εἶναι πάνω ἀπ' ὅλα αὐτά, τό τρίξιμο τῶν δοντιῶν, τούς φόβους καί τά βασανιστήρια[10].

Ὅμως φέρε στόν νοῦ σου καί τά ἀγαθά πού περιμένουν τούς δικαίους· τήν οἰκειότητα μέ τόν Θεό Πατέρα καί τόν Χριστό του, μέ τούς ἀγγέλους, τούς ἀρχαγγέλους, τίς ἐξουσίες καί ὅλο τό πλήρωμα τοῦ Οὐρανοῦ, τή Βασιλεία καί τά δωρήματά της, τή χαρά καί τήν ἀπόλαυση.

Τό καθένα ἀπό τά δυό αὐτά φέρε τα στή μνήμη σου· καί γιά τήν καταδίκη τῶν ἁμαρτωλῶν στέναξε, δάκρυσε, ντύσου τήν πένθιμη ὄψη, φοβούμενος μή βρεθεῖς καί σύ ἀνάμεσα σ' αὐτούς.

Καί γιά τά ἀγαθά πού προορίζονται γιά τούς δικαίους νά χαίρεσαι, νά ἀγάλλεσαι καί νά εὐφραίνεσαι. Καί φροντίδα σου νά 'ναι αὐτά νά ἀπολαύσεις καί ἀπό τά ἄλλα νά ἀποξενωθεῖς.

Πρόσεχε λοιπόν εἴτε μέσα στό κελί σου βρίσκεσαι εἴτε κάπου ἔξω, μήν ἀφήσεις ποτέ νά σοῦ φύγουν αὐτά ἀπό τόν νοῦ· νά μείνεις σταθερός στό φρόνημα γιά νά μπορέσεις καί μέ τή θύμηση αὐτῶν νά διαφύγεις τούς βλαβερούς λογισμούς».

5. Ὁ Ἀββᾶς Ἀϊώ εἶπε ὅτι στή Σκήτη ἦταν κάποιος πού ὀνομαζόταν Ἀπολλώ, βοσκός ἄξεστος, ὁ ὁποῖος εἶδε στό χωράφι μιά γυναίκα σέ κατάσταση ἐγκυμοσύνης καί ἐπηρε-

10. Μάρκ. 9, 48· Ματθ. 8, 12.

σαν ἐν τῷ ἀγρῷ ἐνεργηθεὶς ὑπὸ τοῦ διαβόλου εἶπε· Θέλω ἰδεῖν πῶς τὸ βρέφος κεῖται ἐν τῇ κοιλίᾳ αὐτῆς, καὶ ἀναρρήξας αὐτὴν εἶδεν τὸ βρέφος· καὶ εὐθέως ἐπάταξεν αὐτὸν ἡ καρδία αὐτοῦ καὶ κατανυγεὶς ἦλθεν εἰς Σκήτην καὶ ἀνήγγειλε τοῖς πατράσιν ὃ ἐποίησεν. Ἤκουσε δὲ αὐτῶν ψαλλόντων· Αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη, ἐὰν δὲ ἐν δυναστείαις ὀγδοήκοντα ἔτη καὶ τὸ πλεῖον αὐτῶν κόπος καὶ πόνος. Καὶ εἶπεν αὐτοῖς· Εἰμὶ τεσσαράκοντα ἐτῶν, μίαν εὐχὴν μὴ ποιήσας· καὶ νῦν ἐὰν ζήσω ἄλλα τεσσαράκοντα ἔτη, οὐ παύομαι εὐχόμενος τῷ Θεῷ, ἵνα συγχωρήσῃ τὰς ἁμαρτίας μου. Οὐδὲ γὰρ ἐργόχειρον ἐποίει, ἀλλὰ πάντοτε ηὔχετο λέγων· Ἥμαρτον ὡς ἄνθρωπος, ὡς Θεὸς συγχώρησον. Καὶ γέγονεν αὐτῷ ἡ εὐχὴ αὕτη εἰς μελέτην νυκτὸς καὶ ἡμέρας.

Ἦν δὲ ἀδελφὸς μένων μετ' αὐτοῦ καὶ ἤκουεν αὐτοῦ λέγοντος· Ὤχλησά σοι, Κύριε, ἄφες μοι, ἵνα ἀναπαύσωμαι μικρόν. Καὶ ἐγένετο αὐτῷ πληροφορία ὅτι συνεχώρησεν αὐτῷ ὁ Θεὸς πάσας τὰς ἁμαρτίας αὐτοῦ καὶ τὸ τῆς γυναικός, εἰς δὲ τὸ παιδίον οὐκ ἐπληροφορήθη· καὶ εἶπεν αὐτῷ τις τῶν Γερόντων ὅτι· Καὶ τὸ τοῦ παιδίου συνεχώρησέ σοι ὁ Θεός, ἀλλ' ἀφίησιν ἐν τούτῳ πονεῖν, ὅτι συμφέρει τῇ ψυχῇ σου.

6. Ἠρωτήθη ὁ ἀββᾶς Ποιμὴν ὑπὸ ἀδελφοῦ λέγοντος· Ταράσσουσί με οἱ λογισμοί μου καὶ οὐκ ἀφίουσί με φροντίσαι τῶν ἁμαρτιῶν μου, ἀλλὰ ποιοῦσί με προσέχειν εἰς τὰ ὑστερήματα τοῦ ἀδελφοῦ μου. Λέγει αὐτῷ ὁ ἀββᾶς Ποιμὴν περὶ τοῦ ἀββᾶ Διοσκόρου ὅτι ἦν ἐν τῷ κελλίῳ κλαίων ἑαυ-

ασμένος ἀπό τόν διάβολο εἶπε: «Θέλω νά δῶ πῶς εἶναι τό βρέφος μέσα στά σπλάχνα της», καί ἀφοῦ τήν ἔσχισε, εἶδε τό βρέφος. Ἀλλά ἀμέσως «κτύπησε» ἡ καρδιά του καί γεμάτος συντριβή ἦρθε στή Σκήτη καί φανέρωσε στούς πατέρες αὐτό πού ἔκανε. Ἄκουσε τούς πατέρες συμπτωματικά νά ψάλλουν: «Ὁ χρόνος τῆς ζωῆς μας εἶναι ἑβδομήντα χρόνια, καί ἄν κάποιοι ἔχουν δυνατή κράση, φθάνουν τά ὀγδόντα χρόνια καί τό περισσότερο ἀπ' αὐτά εἶναι κόπος καί πόνος»[11], καί εἶπε σ' αὐτούς: «Εἶμαι σαράντα χρονῶν, χωρίς νά ἔχω κάνει οὔτε μιά προσευχή. Τώρα, ἄν ζήσω ἄλλα σαράντα χρόνια, δέν θά σταματήσω νά προσεύχομαι στόν Θεό νά μοῦ συγχωρήσει τίς ἁμαρτίες μου». Πραγματικά, οὔτε ἐργόχειρο δέν ἔκαμνε, ἀλλά πάντοτε προσευχόταν λέγοντας: «Ἁμάρτησα ἐγώ ὡς ἄνθρωπος, ἐσύ ὡς Θεός συγχώρεσέ με». Καί αὐτή ἡ προσευχή ἔγινε φροντίδα του νύχτα καί μέρα.

Ἦταν καί ἕνας ἀδελφός πού ἔμενε μαζί του καί τόν ἄκουγε νά λέει: «Σέ ἐξόργισα, Κύριε, συγχώρα με, γιά νά αἰσθανθῶ λίγη ἀνάπαυση». Καί τοῦ ἦρθε ἡ πληροφορία ὅτι ὁ Θεός τοῦ συγχώρεσε ὅλες του τίς ἁμαρτίες καί ἐκείνη μέ τή γυναίκα· ὅμως σχετικά μέ τό βρέφος δέν ἔλαβε πληροφορία. Καί ἕνας ἀπό τούς Γέροντες τοῦ εἶπε: «Ὁ Θεός σοῦ συγχώρεσε καί τήν ἁμαρτία γιά τό παιδί, ἀλλά σ' ἀφήνει νά πονᾶς γι' αὐτό, ἐπειδή αὐτό συμφέρει στήν ψυχή σου».

6. Ἕνας ἀδελφός εἶπε στόν ἀββᾶ Ποιμένα*: «Μέ ταράζουν οἱ λογισμοί μου καί δέν μ' ἀφήνουν νά φροντίσω γιά τίς ἁμαρτίες μου ἀλλά μέ κάνουν νά προσέχω τίς ἐλλείψεις τοῦ ἀδελφοῦ μου». Ὁ Γέροντας τοῦ μίλησε τότε γιά τόν ἀββᾶ Διόσκορο, ὅτι στό κελί του ἔκλαιγε πάντοτε γιά τόν

---

11. Ψαλμ. 89, 10.

τὸν καὶ ὁ μαθητὴς αὐτοῦ ἐν ἑτέρῳ κελλίῳ. Παρέβαλεν οὖν ὁ μαθητὴς αὐτοῦ ἐν ἑτέρῳ κελλίῳ τῷ Γέροντι καὶ εὑρὼν αὐτὸν κλαίοντα λέγει αὐτῷ· Πάτερ, τί κλαίεις; Λέγει αὐτῷ· Τὰς ἁμαρτίας μου, τέκνον. Λέγει αὐτῷ ὁ ἀδελφός· Οὐκ ἔχεις ἁμαρτίας, πάτερ. Λέγει αὐτῷ ὁ Γέρων· Φύσει, ἐὰν ἀφεθῶ ἰδεῖν μου τὰς ἁμαρτίας, οὐκ ἀρκοῦσιν ἄλλοι τρεῖς ἢ τέσσαρες κλαῦσαι αὐτὰς σὺν ἐμοί. Εἶπεν οὖν ὁ ἀββᾶς Ποιμήν· Οὕτως ἐστὶν ἄνθρωπος ὁ ἑαυτὸν γνωρίσας.

7. Εἶπεν ὁ ἀββᾶς Εὐάγριος· Μέμνησο διαπαντὸς κρίσεως αἰωνίου καὶ μὴ ἐπιλάθῃ τῆς ἐξόδου καὶ οὐκ ἔσται πλημμέλεια ἐν τῇ ψυχῇ σου.

8. Εἶπεν ὁ ἀββᾶς Ἠλίας· Ἐγὼ τρία πράγματα φοβοῦμαι· ὅταν μέλλῃ ἡ ψυχή μου ἐξελθεῖν ἀπὸ τοῦ σώματος καὶ ὅταν μέλλω τῷ Θεῷ ὑπαντῆσαι καὶ ὅταν μέλλῃ ἡ ἀπόφασις ἐξελθεῖν κατ' ἐμοῦ.

9. Εἶπεν ὁ ἀββᾶς Ἡσαΐας ὅτι· Ὁ ὢν ἐν ἡσυχίᾳ ὀφείλει ἔχειν τὸν φόβον τῆς ἀπαντήσεως τοῦ Θεοῦ προλαμβάνοντα αὐτοῦ τὴν πνοήν· ὅσον γὰρ ἡ ἁμαρτία πείθει αὐτοῦ τὴν καρδίαν, οὔπω γέγονεν αὐτῷ ὁ φόβος τοῦ Θεοῦ καὶ μακράν ἐστιν ἀπὸ τοῦ ἐλέους τοῦ Θεοῦ.

10. Ἔλεγεν ὁ ἀββᾶς Πέτρος, ὁ μαθητὴς τοῦ ἀββᾶ Ἡσαΐου, ὅτι· Ἐπεσκεψάμην αὐτὸν ἐν ἀσθενείᾳ ὄντα καὶ εὗρον αὐτὸν κάμνοντα πάνυ· καὶ ἰδών με λυπούμενον εἰπέ μοι· Ποῖός ἐστι κόπος ἔχων ἀναπαύσεως προσδοκίαν; Ἀλλὰ συνέχει με ὁ φόβος τῆς σκοτεινοτάτης ὥρας ἐκείνης, ὅταν

ἑαυτό του, ἐνῶ ὁ μαθητής του καθόταν σέ ἄλλο κελί. Πῆγε λοιπόν κάποια φορά ὁ μαθητής στό κελί τοῦ Γέροντα καί τόν βρῆκε νά κλαίει· ὁπότε τοῦ λέει: «Πάτερ, γιατί κλαῖς;» Κι ὁ Γέροντας τοῦ ἀπαντᾶ: «Τίς ἁμαρτίες μου, παιδί μου, κλαίω». Τοῦ λέει ὁ ἀδελφός: «Δέν ἔχεις ἁμαρτίες, πάτερ» καί ὁ Γέροντας τοῦ ἀποκρίνεται: «Ἀλήθεια, ἄν ἀφεθῶ νά δῶ τίς ἁμαρτίες μου, δέν μοῦ φθάνουν ἄλλοι τρεῖς ἤ τέσσερις νά κλαῖνε μαζί μου γι' αὐτές». Εἶπε λοιπόν ὁ ἀββᾶς Ποιμήν: «Ἔτσι εἶναι ὁ ἄνθρωπος πού γνώρισε τόν ἑαυτό του».

7. Εἶπε ὁ ἀββᾶς Εὐάγριος*: «Νά θυμᾶσαι πάντοτε τήν αἰώνια κρίση, νά μήν ξεχνᾶς τήν ἔξοδό σου ἀπό τόν κόσμο αὐτό καί τότε δέν θά ὑπάρχει ἁμαρτία στήν ψυχή σου[12]».

8. Ὁ ἀββᾶς Ἠλίας εἶπε: «Ἐγώ τρία πράγματα φοβοῦμαι· τήν ἔξοδο τῆς ψυχῆς ἀπό τό σῶμα, τή συνάντησή μου μέ τόν Θεό καί τήν ἔκδοση τῆς καταδικαστικῆς ἀπόφασης γιά μένα».

9. Ὁ ἀββᾶς Ἠσαΐας* εἶπε: «Εἶναι ἀπαραίτητο αὐτός πού ζεῖ τή ζωή τῆς ἡσυχίας νά βάζει τόν φόβο τῆς συνάντησης μέ τόν Θεό μπροστά ἀπό τήν ἀνάσα του· γιατί ἐνόσω ἡ ἁμαρτία πείθει τήν καρδιά του νά τήν ἀκολουθεῖ, δέν ἦρθε ὁ φόβος τοῦ Θεοῦ μέσα του ἀκόμα καί βρίσκεται μακριά ἀπό τό ἔλεος τοῦ Θεοῦ».

10. Ὁ ἀββᾶς Πέτρος, ὁ μαθητής τοῦ ἀββᾶ Ἠσαΐα, ἔλεγε: «Ἐπισκέφθηκα τόν ἀββᾶ, ὅταν ἦταν ἄρρωστος, καί τόν βρῆκα νά ὑποφέρει πολύ. Σάν μέ εἶδε ἐκεῖνος νά λυπᾶμαι, μοῦ εἶπε: "Ποιά ἡ ταλαιπωρία, ὅταν συνοδεύεται αὐτή ἀπό τήν προσδοκία τῆς ἀναπαύσεως; Ἀλλά ἐμένα μέ συνέχει ὁ

---

12. Ἤ: δέν θά μένει ἡ ἁμαρτία στήν ψυχή σου.

ἀπορριφῶ ἀπὸ προσώπου τοῦ Θεοῦ καὶ οὐδεὶς ἔσται λοιπὸν ὁ ὑπακούων μου οὐδὲ ἔτι προσδοκία ἀναπαύσεως.

11. Εἶπε πάλιν ὅτι· Ἄλλοτε ἀπελθὼν πρὸς αὐτὸν εὗρον αὐτὸν ἐν πολλῇ ἀσθενείᾳ καὶ θεασάμενος τὴν λύπην τῆς καρδίας μου εἶπέ μοι, ὅτι μόλις ἐγγίζων ἐν τῇ τοιαύτῃ ἀσθενείᾳ τῷ θανάτῳ δυνηθῶ μεμνῆσθαι τῆς πικρᾶς ὥρας ἐκείνης· διότι ἡ ὑγεία τῆς σαρκὸς τοῦ θανάτου τούτου ὠφέλειαν οὐκ ἔχει· ζητεῖ γὰρ τὸ σῶμα τὴν ὑγείαν, ἵνα ἐκνεύσῃ τοῦ Θεοῦ. Δένδρον γὰρ ποτιζόμενον καθ' ἡμέραν πότε ξηραίνεται αὐτοῦ ἡ ῥίζα εἰς τὸ μὴ καρποφορῆσαι;

12. Εἶπεν ὁ ἀββᾶς Πέτρος ὅτι· Ἠρώτησα αὐτὸν λέγων· Τί ἐστι φόβος Θεοῦ; Καὶ εἶπέ μοι ὅτι ἄνθρωπος πειθόμενος μετά τινος μὴ ὄντος τοῦ Θεοῦ, οὗτος οὐκ ἔχει ἐν αὐτῷ τὸν φόβον τοῦ Θεοῦ.

13. Ἔλεγε πάλιν περὶ τῆς κοινωνίας· Οὐαί μοι ὅτι ἐν ὅσῳ κοινωνῶ μετὰ τῶν ἐχθρῶν τοῦ Θεοῦ εἰμι. Ποία ἐστί κοινωνία ἣν ἔχω μετ' αὐτοῦ; Λοιπὸν εἰς κρῖμα ἐμὸν καὶ ἐλεγμὸν μεταλαμβάνω. Τοῦτο γὰρ τὸν λόγον λέγει ὅτι τὰ ἅγια τοῖς ἁγίοις. Ἐὰν οὖν ἅγιός εἰμι, οὐκ ἰσχύουσιν οἱ ἐχθροί τι ποιῆσαι εἰς ἐμέ.

14. Ἔλεγεν ὁ ἀββᾶς Ἠσαΐας· Οὐαί μοι, οὐαί μοι, ὅτι

13. Βλ. ὑποσημ. 2 σελ. 302.
14. Πρβλ. Ρωμ. 7, 24.
15. Ἐννοεῖται: πού ποτίζεται καθημερινά μέ τή μνήμη τοῦ θανάτου καί τῆς κρίσεως τοῦ Θεοῦ.

φόβος τῆς ὁλοσκότεινης ἐκείνης ὥρας, ὅταν θά ἀπορριφθῶ ἀπό προσώπου τοῦ Θεοῦ καί κανείς δέν θά βρεθεῖ νά μοῦ ἀποκριθεῖ οὔτε θά ὑπάρχει ἡ παρήγορη προσμονή τῆς ἀναπαύσεως"»[13].

11. Εἶπε ἀκόμα: «Ἄλλη μιά φορά πάλι πῆγα καί τόν βρῆκα πολύ ἄρρωστο καί βλέποντας πόσο τόν πονοῦσε ἡ ψυχή μου, μοῦ εἶπε: "Μόλις καί μετά βίας, πλησιάζοντας τόν θάνατο μέσα σέ τέτοιες ἀρρώστιες, ἴσως μπορέσω νά κρατήσω στή μνήμη μου τήν πικρή ἐκείνη ὥρα. Γιατί ἡ ὑγεία τοῦ θνητοῦ αὐτοῦ σώματος δέν φέρνει ὠφέλεια[14]. Τό σῶμα ζητάει τήν ὑγεία γιά νά ξεστρατήσει ἀπό τόν Θεό. Ἀλλιῶς, ἕνα δένδρο πού ποτίζεται καθημερινά[15], εἶναι δυνατό ποτέ νά ξεραθεῖ ἡ ρίζα του καί νά μείνει ἄκαρπο;"»

12. Ὁ ἀββᾶς Πέτρος εἶπε: «Ρώτησα τόν Γέροντα "τί εἶναι φόβος Θεοῦ;" καί μοῦ ἀπάντησε: "Ἕνας ἄνθρωπος πού συμφωνεῖ μέ τή γνώμη κάποιου, ἐνῶ εἶναι ἀπών ὁ Θεός, αὐτός δέν ἔχει μέσα του τόν φόβο τοῦ Θεοῦ"».

13. Ἔλεγε ἐπίσης γιά τή Θεία Κοινωνία: «Ἀλίμονό μου, γιατί ἐνόσω κοινωνῶ, εἶμαι μαζί μέ τούς ἐχθρούς τοῦ Θεοῦ. Ποιά εἶναι ἡ κοινωνία πού ἔχω μαζί του[16]; Ἑπομένως κοινωνῶ γιά ἔλεγχο καί καταδίκη μου[17]· γιατί αὐτό σημαίνει ἡ φράση "τά ἅγια προσφέρονται στούς ἁγίους"[18]. Ἐάν ὅμως εἶμαι ἅγιος, δέν μποροῦν τίποτε νά μοῦ κάνουν οἱ ἐχθροί».

14. Ἔλεγε ὁ ἀββᾶς Ἠσαΐας: «Ἀλίμονό μου, ἀλίμονό

16. Α' Ἰω. 1, 6.
17. Α' Κορ. 11, 29.
18. Ἐκφώνηση τοῦ λειτουργοῦ ἱερέως πρό τῆς Θ. Κοινωνίας.

οὐκ ἠγωνισάμην σῶσαι ἐμαυτόν· οὐαί μοι, οὐαί μοι, ὅτι οὐκ ἠγωνισάμην ἁγνίσαι ἐμαυτόν, ἵνα ἀξιωθῶ ῥοπῆς τοῦ Θεοῦ τοῦ ἐλέους· οὐαί μοι, οὐαί μοι, ὅτι οὐκ ἠγωνισάμην περιγενέσθαι τῶν πολέμων τῶν ἐχθρῶν σου εἰς τὸ βασιλεῦσαί σε ἐπ᾽ ἐμοί.

15. Εἶπε πάλιν· Οὐαί μοι, ὅτι περίκειταί μοι τὸ ὄνομά σου καὶ δουλεύω τοῖς ἐχθροῖς σου· οὐαί μοι, οὐαί μοι, ὅτι ποιῶ ἃ βδελύσσεται ὁ Θεός, διὰ τοῦτο οὐκ ἰᾶταί με.

16. Εἶπε πάλιν· Οὐαί μοι, οὐαί μοι, ὅτι ἔχω πρὸ ἐμοῦ κατηγόρους ὧν γινώσκω καὶ ὧν ἀγνοῶ, καὶ οὐ δύναμαι ἀρνήσασθαι· οὐαί μοι, οὐαί μοι, πῶς δύναμαι ἀπαντῆσαι τῷ Κυρίῳ μου καὶ τοῖς ἁγίοις αὐτοῦ, ὅτι οἱ ἐχθροί μου οὐκ εἴασαν ἓν μέλος μου καθαρὸν ἐνώπιον τοῦ Θεοῦ;

17. Ὁ μακάριος Θεόφιλος ὁ ἀρχιεπίσκοπος ἔλεγεν· Οἷον φόβον καὶ τρόμον καὶ ἀνάγκην ἔχομεν ἰδεῖν, ὅταν ἡ ψυχὴ τοῦ σώματος χωρίζηται! Παραγίνεται γὰρ πρὸς ἡμᾶς στρατιὰ καὶ δύναμις τῶν ἐναντίων δυνάμεων, οἱ τοῦ σκότους ἄρχοντες, οἱ κοσμοκράτορες τῆς πονηρίας καὶ ἀρχαὶ καὶ ἐξουσίαι, τὰ πνεύματα τῆς πονηρίας, καὶ τρόπῳ τινὶ δίκης κατέχουσι τὴν ψυχὴν ἐπιφέροντες πάντα αὐτῇ τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ ἁμαρτήματα ἀπὸ νεότητος, ἕως τῆς ἡλικίας ἧς κατελήφθη. Ἵστανται οὖν κατηγοροῦντες πάντα τὰ πεπραγμένα ὑπ᾽ αὐτῆς. Λοιπὸν ὁποῖον τρόμον δοκεῖς τὴν ψυχὴν ἔχειν ἐν τῇ ὥρᾳ ἐκείνῃ, ἕως οὗ ἡ ἀπόφασις ἐξέλθῃ καὶ ἐλευ-

19. Ἐφ. 6, 12.

μου, γιατί δέν ἀγωνίσθηκα γιά τή σωτηρία μου. Ἀλίμονό μου, ἀλίμονό μου, γιατί δέν ἀγωνίσθηκα νά καθαρίσω τόν ἑαυτό μου, ὥστε νά εἶμαι ἄξιος νά γείρει λίγο πρός τό μέρος μου ὁ ἐλεήμων Θεός. Ἀλίμονό μου, ἀλίμονό μου, γιατί δέν ἀγωνίσθηκα νά βγῶ νικητής στούς πολέμους τῶν ἐχθρῶν σου, ὥστε Ἐσύ νά βασιλεύσεις μέσα μου».

15. Εἶπε πάλι: «Ἀλίμονό μου, πού ὁλόγυρά μου βρίσκεται τ᾽ ὄνομά σου, κι ὅμως ἐγώ ὑπηρετῶ τούς ἐχθρούς σου.

Ἀλίμονό μου, ἀλίμονό μου, γιατί κάνω αὐτά πού ἀηδιάζει ὁ Θεός, γι᾽ αὐτό καί δέν μέ θεραπεύει».

16. Εἶπε ἀκόμη: «Ἀλίμονό μου, ἀλίμονό μου, γιατί ἔχω ἀπέναντί μου κατηγόρους γιά ὅσα γνωρίζω καί γιά ὅσα δέν γνωρίζω καί δέν μπορῶ νά τά ἀρνηθῶ. Ἀλίμονό μου, ἀλίμονό μου, πῶς μπορῶ νά συναντήσω τόν Κύριό μου καί τούς ἁγίους του, ἀφοῦ οἱ ἐχθροί μου δέν ἄφησαν οὔτε ἕνα μέλος μου καθαρό ἐνώπιον τοῦ Θεοῦ;»

17. Ὁ μακάριος Θεόφιλος, ὁ ἀρχιεπίσκοπος, ἔλεγε: «Πόσο μεγάλο φόβο καί τρόμο καί δυσκολία ἔχουμε νά ἀντικρύσουμε, τήν ὥρα πού ἡ ψυχή χωρίζεται ἀπό τό σῶμα! Τότε μᾶς πλησιάζει στρατιά καί δύναμη τῶν ἀντίθετων δυνάμεων, οἱ ἄρχοντες τοῦ σκότους, οἱ κυρίαρχοι τῆς πονηρίας καί ἀρχές καί ἐξουσίες[19], τά πονηρά δηλαδή πνεύματα, καί κρατοῦν τήν ψυχή σάν σέ κάποια δίκη, παρουσιάζοντας ἐνώπιόν της ὅλα τά ἁμαρτήματα, πού εἴτε μέ ἐπίγνωση εἴτε ἀπό ἄγνοια ἔκανε, ἀπό τή νεαρή ἡλικία μέχρι τήν ὥρα πού στά ξαφνικά τήν κατέλαβαν. Στέκονται λοιπόν καί τήν κατηγοροῦν γιά ὅλα, ὅσα ἔκανε. Λοιπόν, ποιόν τρόμο νομίζεις ὅτι αἰσθάνεται ἐκείνη τήν ὥρα, ἕως ὅτου βγεῖ ἡ ἀπόφαση καί ἐλευθερωθεῖ ἀπ᾽ αὐτά; Αὐτή εἶναι

θέρα γένηται αὐτῶν; Τοῦτό ἐστιν ἡ ὥρα τῆς ἀνάγκης αὐτῆς, ἕως οὗ ἴδῃ τί τὸ ἀποβησόμενον αὐτῇ.

Καὶ πάλιν αἱ θεῖαι δυνάμεις ἵστανται κατὰ πρόσωπον τῶν ἐναντίων καὶ αὗται τὰ καλὰ αὐτῆς ἐπιφέρουσιν. Κατανόει οὖν ἡ ψυχὴ μέση ἱσταμένη ποίῳ ἄρα φόβῳ καὶ τρόμῳ εἱστήκει, ἕως οὗ ἡ κρίσις αὐτῆς ἀπόφασιν λάβῃ παρὰ τοῦ δικαίου Κριτοῦ· καὶ ἐὰν μὲν ᾖ ἀξία, ἐκεῖνοι λαμβάνουσιν ἐπιτιμίαν καὶ αὐτὴ ἁρπάζεται ἀπ' αὐτῶν καὶ λοιπὸν ἀμέριμνος κατοικεῖ κατὰ τὸ γεγραμμένον· Ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί. Τότε πληροῦται τὸ γεγραμμένον· Ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός. Τότε ἀπαλλαγεῖσα πορεύεται εἰς ἐκείνην τὴν ἀνεκλάλητον χαρὰν καὶ δόξαν εἰς ἣν καταστήσεται.

Ἐὰν δὲ εὑρεθῇ ἐν ἀμελείᾳ ζήσασα, ἀκούει τὴν δεινοτάτην φωνήν· Ἀρθήτω ὁ ἀσεβής, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου. Τότε αὐτὴν καταλαμβάνει ἡμέρα ὀργῆς, ἡμέρα θλίψεως καὶ ἀνάγκης, ἡμέρα σκότους καὶ γνόφου. Παραδιδομένη εἰς τὸ ἐξώτερον σκότος καὶ εἰς αἰώνιον πῦρ κατακριθήσεται, εἰς ἀπεράντους αἰῶνας κολασθησομένη. Τότε ποῦ ἡ καύχησις τοῦ κόσμου, ποῦ ἡ κενοδοξία, ποῦ ἡ τρυφή, ποῦ ἡ ἀπόλαυσις, ποῦ ἡ φαντασία, ποῦ ἡ ἀνάπαυσις, ποῦ ὁ κόμπος, ποῦ τὰ χρήματα, ποῦ ἡ εὐγένεια, ποῦ πατήρ, ποῦ μήτηρ, ποῦ ἀδελφοί; Τίς δυνήσεται τούτων ἐξελέσθαι τὴν ὑπὸ πυρὸς φλεγομένην καὶ ὑπὸ πικρῶν βασάνων κατεχομένην;

Τούτων οὕτως γινομένων ποταποὺς δεῖ ὑπάρχειν ἡμᾶς ἐν ἁγίαις ἀναστροφαῖς καὶ εὐσεβείαις; Ποταπὴν ἀγάπην ὀφείλομεν κτήσασθαι, ποταπὴν ἀγωγήν, ποταπὴν πολιτείαν, ποταπὸν δρόμον; Ὁποίαν ἀκρίβειαν, ὁποίαν προσευχήν,

---

20. Ψαλμ. 86, 7. 21. Ἡσ. 35, 10 καὶ 51, 11. 22. Ἡσ. 26, 10.

ἡ κρίσιμη ὥρα γιά τήν ψυχή, μέχρι νά δεῖ ποιό θά εἶναι τό ἀποτέλεσμα γι' αὐτήν.

Ἐπίσης καί οἱ θεῖες δυνάμεις στέκονται ἀκριβῶς ἀπέναντι στίς ἀντίθετες καί μέ τή σειρά τους παρουσιάζουν τά καλά της ἔργα. Σκέψου λοιπόν, ἡ ψυχή μές στή μέση μέ τί φόβο καί τρόμο στέκεται, ἕως ὅτου βγεῖ ἡ ἀπόφαση τῆς δίκης της ἀπό τόν δίκαιο Κριτή· καί ἄν εἶναι ἄξια, οἱ πρῶτοι διώχνονται ἐπιτιμητικά καί τήν ψυχή τήν ἁρπάζουν οἱ θεῖες δυνάμεις ἀπό τά χέρια τῶν δαιμόνων καί στό ἑξῆς κατοικεῖ ἀμέριμνη, σύμφωνα μ' αὐτό πού ἔχει γραφεῖ· ""Ολοι ὅσοι θά κατοικοῦν σέ σένα θά εὐφραίνονται"[20]. Ἔτσι ἐκπληρώνεται καί ἄλλος λόγος τῆς Γραφῆς· ""Εφυγε μακριά τους κάθε πόνος, λύπη καί στεναγμός"[21]. Τότε ἐλευθερωμένη πιά προχωρεῖ σ' ἐκείνη τήν ἀπερίγραπτη χαρά καί δόξα, στήν ὁποία καί θά ἐγκατασταθεῖ.

Ἐάν ὅμως βρεθεῖ νά ἔχει ζήσει μέ ἀμέλεια, ἀκούει τή φοβερότατη φωνή: "Νά ἀπομακρυνθεῖ ὁ ἀσεβής, γιά νά μή δεῖ τή δόξα τοῦ Κυρίου"[22]. Τότε τήν ψυχή αὐτή τήν περιμένει ἡμέρα ὀργῆς, ἡμέρα θλίψης καί ἀνάγκης, τό σκοτάδι καί ἡ μαυρίλα. Ἀφοῦ παραδοθεῖ στήν κόλαση καί στήν αἰώνια φωτιά, θά εἶναι καταδικασμένη νά τιμωρεῖται στούς ἀπέραντους αἰῶνες. Τότε ποῦ εἶναι ἡ καύχηση τοῦ κόσμου, ποῦ ἡ κενοδοξία, ποῦ ἡ καλοπέραση καί ἡ ἀπόλαυση, ποῦ ἡ ἐπίδειξη, ποῦ ἡ ἀνάπαυση, ποῦ τά μεγάλα λόγια, ποῦ τά χρήματα καί ἡ ὑψηλή καταγωγή, ποῦ ὁ πατέρας, ποῦ ἡ μητέρα, ποῦ οἱ ἀδελφοί; Ποιός ἀπό αὐτούς θά μπορέσει νά γλυτώσει αὐτήν τήν ψυχή, πού θά τήν καίει ἡ φωτιά καί πικρά βάσανα θά τήν κατέχουν;

Ἀφοῦ αὐτά ἔτσι ἔχουν, τί λογῆς πρέπει νά εἶναι ἡ δική μας ζωή μέ ἅγια ἀναστροφή καί μέ κάθε εὐλάβεια πρός τόν Θεό; Τί ἀγάπη ἔχουμε χρέος νά ἀποκτήσουμε, τί λογῆς συμπεριφορά, τί τρόπο ζωῆς, τί λογῆς πορεία; Ποιά ἀκρί-

ὁποίαν ἀσφάλειαν; Ταῦτα γάρ, φησί, προσδοκῶντες σπουδάσωμεν ἄσπιλοι καὶ ἀμώμητοι εὑρεθῆναι αὐτῷ ἐν εἰρήνῃ, ἵνα καταξιωθῶμεν αὐτοῦ ἀκοῦσαι λέγοντος· Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου.

18. Ὁ αὐτὸς ἀββᾶς Θεόφιλος, ὁ ἀρχιεπίσκοπος, μέλλων τελευτᾶν εἶπε· Μακάριος εἶ, ἀββᾶ Ἀρσένιε, ὅτι ταύτης ἀεὶ ἐμνημόνευες τῆς ὥρας.

19. Ἔλεγον οἱ πατέρες ὅτι ἐσθιόντων ποτὲ τῶν ἀδελφῶν ἐν ἀγάπῃ, ἐγέλασεν εἷς ἀδελφὸς ἐπὶ τῆς τραπέζης· καὶ ἰδὼν αὐτὸν ὁ ἀββᾶς Ἰωάννης ἔκλαυσε λέγων· Τί ἄρα ἔχει ὁ ἀδελφὸς οὗτος ἐν τῇ καρδίᾳ αὐτοῦ, ὅτι ἐγέλασεν ὀφείλων μᾶλλον κλαῦσαι, ὅτι ἀγάπην ἐσθίει;

20. Ὁ ἀββᾶς Ἰσαὰκ καὶ ὁ ἀββᾶς Ἀβραὰμ ἦσαν ὁμοῦ οἰκοῦντες· καὶ εἰσελθὼν ὁ ἀββᾶς Ἀβραὰμ εὗρε τὸν ἀββᾶν Ἰσαὰκ κλαίοντα καὶ λέγει αὐτῷ· Τί κλαίεις; Καὶ εἶπεν ὁ Γέρων· Καὶ διὰ τί μὴ κλαύσωμεν; Ποῦ γὰρ ἔχομεν ἀπελθεῖν;

23. Ματθ. 25, 34.

24. Γενικά εἶναι γνωστό ὅτι τό γέλιο δέν συνιστᾶ μοναχικό ἦθος· πολύ περισσότερο θά 'λεγε κανείς τήν ὥρα τῆς τράπεζας, πού θεωρεῖται ἱερή μέσα στό ὅλο μοναχικό πρόγραμμα.

Ἐδῶ ὅμως τά λόγια τοῦ ἀββᾶ Ἰωάννη δείχνουν ὅτι μπορεῖ νά ὑπῆρχε καί κάποιος ἰδιαίτερος λόγος πού ὑπαγόρευε τήν ὥρα αὐτή τήν κατάνυξη (= ἐνῶ ὄφειλε νά κλαίει) καί δέν δικαιολογοῦνταν τό γέλιο. Ἴσως νά ἀναφέρεται στή συνήθεια πού ὑπῆρχε νά συναντῶνται οἱ ἀναχωρητές Σάββατο καί

βεια στήν κάθε μας ἐνέργεια, τί λογῆς πρέπει νά 'ναι ἡ προσευχή μας, πόση βεβαιότητα νά ἔχουμε;

Αὐτά λοιπόν ἀφοῦ τά περιμένουμε νά συμβοῦν, ἄς φροντίσουμε νά μᾶς βρεῖ ὁ Κύριος ἀκηλίδωτους καί ἄμεμπτους, μέ εἰρήνη, γιά νά ἀξιωθοῦμε νά τόν ἀκούσουμε νά λέει: "Ἐλᾶτε οἱ εὐλογημένοι ἀπό τόν Πατέρα μου καί κληρονομῆστε τή βασιλεία, πού ἔχει ἑτοιμασθεῖ γιά σᾶς ἀπό τότε πού δημιουργήθηκε ὁ κόσμος"[23]».

18. Ὁ ἴδιος ὁ ἀββᾶς Θεόφιλος, ὁ ἀρχιεπίσκοπος, τήν ὥρα πού πέθαινε εἶπε: «Καλότυχος εἶσαι, ἀββᾶ Ἀρσένιε, γιατί παντοτινά εἶχες στή μνήμη σου αὐτή τήν ὥρα».

19. Ἔλεγαν οἱ πατέρες ὅτι κάποια φορά καθώς ἔτρωγαν οἱ ἀδελφοί, μέσα σέ μιά κοινωνία ἀγάπης, γέλασε κάποιος ἀδελφός πάνω στό τραπέζι. Καί βλέποντάς τον ὁ ἀββᾶς Ἰωάννης δάκρυσε καί εἶπε: «Τί ἄραγε ἔχει ὁ ἀδελφός αὐτός στήν καρδιά του καί γέλασε, ἐνῶ ὄφειλε μᾶλλον νά κλαίει, γιατί γευματίζει σέ τράπεζα ἀγάπης;»[24]

20. Ὁ ἀββᾶς Ἰσαάκ καί ὁ ἀββᾶς Ἀβραάμ ἔμεναν μαζί· καί μιά φορά μπαίνοντας ὁ ἀββᾶς Ἀβραάμ βρῆκε τόν ἀββᾶ Ἰσαάκ νά κλαίει καί τοῦ λέει: «Γιατί κλαῖς;» Καί ὁ Γέροντας ἀπάντησε: «Καί πῶς νά μήν κλάψουμε; Ποῦ μπο-

Κυριακή ἤ καί ἄλλες ἡμέρες ἑορτῶν στό Καθολικό ἤ Κυριακό (κεντρικό ναό τῆς περιοχῆς τους) γιά κοινή λατρεία καί ἰδιαίτερα γιά τήν τέλεση τῆς Θ. Εὐχαριστίας. Καί μετά τό πέρας τῶν ἀκολουθιῶν ἔμπαιναν στήν τράπεζα, πού συνήθως ἦταν ἀπέναντι ἀπό τόν ναό, καί ἔτρωγαν ὅλοι μαζί. Αὐτή ἡ πράξη δέν συνιστοῦσε μιά ἁπλή συνεστίαση ὅπου ἀγαπημένοι συνέτρωγαν (= ἐν ἀγάπῃ), ἀλλά ἀποτελοῦσε μέρος τῆς ὅλης τελετουργίας τῆς ἁγίας αὐτῆς ἡμέρας, πού ὁ Θεός τούς τήν χάρισε καί ἔπρεπε νά διατηρεῖται στήν ψυχή ἡ κατάνυξη τῆς ὅλης δωρεᾶς καί ἀγάπης τοῦ Θεοῦ (= ὅτι ἀγάπην ἤσθιον).

Ἐκοιμήθησαν οἱ πατέρες ἡμῶν· οὐκ ἤρκει γὰρ ἡμῖν τὸ ἐργόχειρον εἰς τὰ ναῦλα τῶν πλοίων, ἃ παρείχομεν ἀπερχόμενοι παραβαλεῖν τοῖς Γέρουσι· νῦν οὖν ἀπωρφανίσθημεν καὶ διὰ τοῦτο κἀγὼ κλαίω.

21. Εἶπεν ὁ ἀββᾶς Ἰάκωβος ὅτι· Ὥσπερ λύχνος ἐν σκοτεινῷ κοιτῶνι φωτίζει, οὕτως καὶ ὁ φόβος τοῦ Θεοῦ· ὅταν ἔλθῃ εἰς καρδίαν ἀνθρώπου, φωτίζει αὐτὴν καὶ διδάσκει πάσας τὰς ἀρετὰς καὶ τὰς ἐντολὰς τοῦ Θεοῦ.

22. Διηγήσατο ὁ ἀββᾶς Ἰωάννης τῶν Κελλίων ὅτι· Μία πόρνη ἦν ἐν Αἰγύπτῳ εὐμορφοτάτη καὶ πλουσία σφόδρα καὶ οἱ ἄρχοντες ἤρχοντο πρὸς αὐτήν. Μιᾷ οὖν τῶν ἡμερῶν εὐκαίρησεν ἐπὶ τὴν ἐκκλησίαν καὶ ἠθέλησεν εἰσελθεῖν ἔσω· ὁ δὲ ὑποδιάκονος ὁ στήκων εἰς τὴν θύραν οὐκ εἴασεν αὐτὴν λέγων· Οὐκ εἶ ἀξία εἰσελθεῖν εἰς οἶκον Θεοῦ, ὅτι ἀκάθαρτος εἶ. Ὡς δὲ ἐμάχοντο, ἤκουσεν ὁ ἐπίσκοπος τοῦ θορύβου καὶ ἐξῆλθε. Λέγει οὖν αὐτῷ ἡ πόρνη· Οὐκ ἀφίει με εἰσελθεῖν εἰς τὴν ἐκκλησίαν. Καὶ λέγει αὐτῇ ὁ ἐπίσκοπος· Οὐκ ἔξεστί σοι εἰσελθεῖν, ὅτι ἀκάθαρτος εἶ. Ἡ δὲ κατανυγεῖσα λέγει αὐτῷ· Οὐκέτι πορνεύω. Λέγει αὐτῇ ὁ ἐπίσκοπος· Ἐὰν φέρῃς ὧδε τὰ πράγματά σου, οἶδα ὅτι οὐ πορνεύεις ἔτι. Ὡς δὲ ἤνεγκε, λαβὼν ἔκαυσε πυρὶ καὶ εἰσῆλθεν εἰς τὴν ἐκκλησίαν κλαίουσα καὶ λέγουσα· Εἰ ὧδε οὕτως μοι γέγονεν, ἐκεῖ τί ἔχω παθεῖν; Καὶ μετενόησε καὶ γέγονε σκεῦος ἐκλογῆς.

23. Εἶπεν ὁ ἀββᾶς Λογγῖνος· Ἡ νηστεία ταπεινοῖ τὸ σῶμα, ἡ ἀγρυπνία καθαρίζει τὸν νοῦν, ἡ ἡσυχία φέρει τὸ

ροῦμε νά πᾶμε τώρα; Κοιμήθηκαν οἱ πατέρες μας. Τότε δέν μᾶς ἀρκοῦσε τό ἐργόχειρο γιά τά ναῦλα πού δίναμε στά πλοῖα, ὅταν πηγαίναμε νά δοῦμε τούς Γέροντες· τώρα ὅμως ὀρφανέψαμε καί γι᾽ αὐτό κλαίω».

21. Εἶπε ὁ ἀββᾶς Ἰακώβ: «Ὅπως ἀκριβῶς σ᾽ ἕνα σκοτεινό θάλαμο, ὅταν μπεῖ ἕνα λυχνάρι, τόν φωτίζει, ἔτσι καί ὁ φόβος τοῦ Θεοῦ, ἐάν ἔλθει στήν καρδιά τοῦ ἀνθρώπου, τή φωτίζει καί τῆς διδάσκει ὅλες τίς ἀρετές καί τίς ἐντολές τοῦ Θεοῦ».

22. Ὁ ἀββᾶς Ἰωάννης τῶν Κελλίων διηγήθηκε τό ἑξῆς: «Στήν Αἴγυπτο ἦταν μία πόρνη πολύ ὄμορφη καί πάρα πολύ πλούσια καί οἱ ἄρχοντες πήγαιναν σ᾽ αὐτήν. Μία μέρα λοιπόν εἶχε τήν εὐκαιρία νά πάει στήν ἐκκλησία καί θέλησε νά μπεῖ μέσα. Ὁ ὑποδιάκονος ὅμως πού στεκόταν στήν πόρτα, δέν τήν ἄφησε λέγοντάς της: "Δέν εἶσαι ἄξια νά μπεῖς στόν οἶκο τοῦ Θεοῦ, γιατί εἶσαι ἀκάθαρτη". Καθώς λογομαχοῦσαν, ὁ ἐπίσκοπος ἄκουσε τόν θόρυβο καί βγῆκε. Τότε ἡ πόρνη τοῦ λέει: "Δέν μ᾽ ἀφήνει νά μπῶ στήν ἐκκλησία"· καί ὁ ἐπίσκοπος τῆς ἀπαντᾶ: "Δέν σοῦ ἐπιτρέπεται νά μπεῖς, γιατί εἶσαι ἀκάθαρτη". Ἐκείνη πάνω στά λόγια τοῦ ἐπισκόπου ἔνιωσε συντριβή καί τοῦ λέει: "Ἀπό τώρα καί στό ἑξῆς δέν θά πορνεύω". Τῆς λέει ὁ ἐπίσκοπος: "Θά εἶμαι βέβαιος ὅτι δέν θά πορνεύεις πιά, ἄν φέρεις ἐδῶ τά πράγματά σου". Μόλις τά ἔφερε, τά πῆρε ὁ ἐπίσκοπος καί τά ἔκαψε στή φωτιά· κι ἐκείνη μέ κλάματα μπῆκε στήν ἐκκλησία λέγοντας: "Ἀφοῦ ἔτσι μοῦ ἔγινε ἐδῶ, ἐκεῖ τί ἔχω νά πάθω;" Καί μετανόησε καί ἔγινε στό ἑξῆς σκεῦος ἐκλογῆς».

23. Εἶπε ὁ ἀββᾶς Λογγίνος: «Ἡ νηστεία ταπεινώνει τό σῶμα, ἡ ἀγρυπνία καθαρίζει τόν νοῦ, ἡ ἡσυχία φέρνει τό

πένθος, τὸ πένθος βαπτίζει τὸν ἄνθρωπον καὶ ποιεῖ αὐτὸν ἀναμάρτητον.

24. Εἶχε δὲ ὁ ἀββᾶς Λογγῖνος κατάνυξιν πολλὴν ἐν τῇ εὐχῇ καὶ ψαλμῳδίᾳ αὐτοῦ· καὶ λέγει αὐτῷ ἐν μιᾷ μαθητὴς αὐτοῦ· Ἀββᾶ, οὗτός ἐστιν ὁ πνευματικὸς κανών, τὸ κλαίειν ἐν τῇ λειτουργίᾳ αὐτοῦ τὸν μοναχόν; Καὶ λέγει ὁ Γέρων· Ναί, τέκνον, οὗτός ἐστιν ὁ κανὼν ὃν χρῄζει ὁ Θεός· ὁ γὰρ Θεὸς οὐκ ἐποίησε τὸν ἄνθρωπον ἐν κλαυθμῷ, ἀλλ' εἰς χαρὰν καὶ εὐφροσύνην, ἵνα δοξάζῃ αὐτὸν καθαρῶς καὶ ἀναμαρτήτως, ὡς οἱ ἄγγελοι. Ἀλλὰ πεσὼν εἰς τὴν ἁμαρτίαν ὁ ἄνθρωπος ἐδεήθη τοῦ κλαυθμοῦ· ὅπου γὰρ ἁμαρτία οὐκ ἔστιν, ἐκεῖ οὐ χρεία κλαυθμοῦ.

25. Ἠρώτησάν τινες τῶν πατέρων τὸν ἀββᾶν Μακάριον τὸν Αἰγύπτιον λέγοντες· Πῶς καὶ ὅτε ἐσθίεις καὶ ὅτε νηστεύεις τὸ σῶμά σου ξηρόν ἐστι; Καὶ λέγει αὐτοῖς ὁ Γέρων· Τὸ ξύλον τὸ στρέφον τὰ καιόμενα φρύγανα δι' ὅλου ἐσθίεται ὑπὸ τοῦ πυρός· οὕτως καὶ ἂν καθαρεύσῃ ὁ ἄνθρωπος τὸν νοῦν αὐτοῦ ἐν τῷ φόβῳ τοῦ Θεοῦ, αὐτὸς ὁ φόβος τοῦ Θεοῦ κατεσθίει αὐτοῦ τὸ σῶμα.

26. Ἀπέστειλάν ποτε πρὸς τὸν ἀββᾶν Μακάριον ἐν τῇ Σκήτῃ οἱ Γέροντες τοῦ ὄρους τῆς Νιτρίας παρακαλοῦντες αὐτὸν καί φασι πρὸς αὐτόν· Ἵνα μὴ σκυλῇ πᾶς ὁ λαὸς πρὸς σέ, ἀξιοῦμέν σε παραγενέσθαι πρὸς ἡμᾶς, ὅπως σε θεασώμεθα πρὸ τοῦ σε ἐκδημῆσαι πρὸς τὸν Θεόν. Παραγενομένου

---

25. Τό πένθος ὡς συντριβή, μετάνοια καί δάκρυα ἀποτελεῖ δεύτερο βάπτισμα πού ἡ εὐσπλαχνία τοῦ ἐλεήμονος Θεοῦ προσφέρει στόν πεπτωκότα ἄνθρωπο, καί μάλιστα ἐπαναλαμβανόμενο ἐφ' ὅρου ζωῆς, ὥστε νά ἐξέρχεται

πένθος, τό πένθος βαπτίζει[25] τόν ἄνθρωπο καί τόν ἀπαλλάσσει ἀπό τήν ἁμαρτία».

24. Ὁ ἀββᾶς Λογγίνος εἶχε μεγάλη κατάνυξη τήν ὥρα τῆς προσευχῆς καί τῆς ψαλμωδίας του· καί μιά φορά τοῦ λέει ἕνας μαθητής του: «Ἀββᾶ, αὐτός εἶναι ὁ πνευματικός κανόνας, νά κλαίει ὁ μοναχός, ὅταν κάνει τήν ἀκολουθία του;» Καί ὁ Γέροντας τοῦ ἀπαντᾶ: «Ναί, παιδί μου, αὐτός εἶναι ὁ κανόνας, πού ἐπιζητεῖ ὁ Θεός. Βέβαια ὁ Θεός δέν ἔπλασε τόν ἄνθρωπο νά κλαίει, ἀλλά νά χαίρεται καί νά εὐφραίνεται καί νά τόν δοξάζει, ὅπως οἱ ἄγγελοι, μέ τήν καθαρή καί ἀναμάρτητη ζωή του. Ὅμως ὁ ἄνθρωπος ἔπεσε στήν ἁμαρτία καί γι' αὐτό εἶναι ἀνάγκη νά κλαίει· ἐνῶ ὅπου δέν ὑπάρχει ἁμαρτία, ἐκεῖ δέν ἔχει θέση τό κλάμα».

25. Ρώτησαν κάποιοι πατέρες τόν ἀββᾶ Μακάριο* τόν Αἰγύπτιο: «Πῶς συμβαίνει καί εἴτε τρῶς εἴτε νηστεύεις, τό σῶμα σου εἶναι σκελετωμένο;» Καί τούς ἀπαντᾶ ὁ Γέροντας: «Τό ξύλο πού ἀνακατώνει τά ἀναμμένα φρύγανα κατατρώγεται ἀπό τή φωτιά. Ἔτσι καί ὁ ἄνθρωπος, ἐάν καθαρίσει τόν νοῦ του μέσα στόν φόβο τοῦ Θεοῦ, ὁ ἴδιος ὁ φόβος τοῦ Θεοῦ κατατρώγει τό σῶμα του».

26. Κάποτε οἱ Γέροντες τοῦ ὄρους τῆς Νιτρίας ἔστειλαν ἐκπροσώπους τους στόν ἀββᾶ Μακάριο στή Σκήτη, γιά νά τοῦ μεταφέρουν τήν παρακάτω παράκλησή τους: «Γιά νά μήν ξεσηκωθεῖ ὅλο τό πλῆθος τῶν μοναχῶν νά 'ρθει σέ σένα, νομίζουμε ὅτι καλό εἶναι ἐσύ νά ἔρθεις γιά νά σέ δοῦμε, πρίν ἐκδημήσεις στόν Κύριο». Πράγματι

κάθε φορά ἀπό τήν κολυμβήθρα αὐτή καθαρός ἀπό τίς ἁμαρτίες του.

δὲ αὐτοῦ ἐν τῷ ὄρει, συνήχθη πᾶς ὁ λαὸς πρὸς αὐτόν. Καὶ ἠρώτων αὐτὸν οἱ Γέροντες εἰπεῖν λόγον τοῖς ἀδελφοῖς. Ὁ δὲ δακρύσας ἔφη· Κλαύσωμεν, ἀδελφοί, καὶ καταγαγέτωσαν οἱ ὀφθαλμοὶ ἡμῶν δάκρυα πρὸ τοῦ ἡμᾶς ἀπελθεῖν, ὅπου τὰ ἡμῶν δάκρυα κατακαύσει τὰ σώματα ἡμῶν. Καὶ ἔκλαυσαν πάντες καὶ ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν καὶ εἶπον· Πάτερ, εὖξαι ὑπὲρ ἡμῶν.

27. Εἶπεν ὁ ἀββᾶς Παφνούτιος, ὁ μαθητὴς τοῦ ἀββᾶ Μακαρίου, ὅτι ἔλεγεν ὁ Γέρων ὅτι· Ὅτε ἤμην παιδίον μετὰ τῶν ἄλλων παιδίων ἔβοσκον βοΐδια καὶ ἀπῆλθον κλέψαι συκίδια. Καὶ ὡς τρέχουσιν ἔπεσεν ἓν ἐξ αὐτῶν καὶ λαβὼν ἔφαγον αὐτό· καὶ ὅτε μνημονεύσω αὐτοῦ, κάθημαι κλαίων.

28. Διηγήσαντο περὶ τοῦ ἀββᾶ Μακαρίου τοῦ μεγάλου ὅτι περιπατοῦντος αὐτοῦ εἰς τὴν ἔρημον εὗρεν εἰς τὸ ἔδαφος κρανίον νεκροῦ ἐρριμμένον, καὶ σαλεύσας αὐτὸ τῇ βαΐνῃ ῥάβδῳ ὁ Γέρων λέγει· Σύ, τίς εἶ; Ἀποκρίθητί μοι. Καὶ ἐλάλησεν αὐτῷ τὸ κρανίον λέγον· Ἐγὼ ἀρχιερεὺς ἤμην τῶν Ἑλλήνων τῶν μεινάντων ἐν τῷ τόπῳ τούτῳ· καὶ σὺ εἶ ὁ ἀββᾶς Μακάριος ὁ πνευματοφόρος. Οἵᾳ οὖν ὥρᾳ σπλαγχνίζῃ εἰς τοὺς ἐν κολάσει, παραμυθοῦνται ὀλίγον. Λέγει αὐτῷ ὁ ἀββᾶς Μακάριος· Ποία ἐστὶν ἡ παραμυθία; Λέγει αὐτῷ τὸ κρανίον ὅτι· Ὅσον ἀπέχει ὁ οὐρανὸς τῆς γῆς, τοσοῦτόν ἐστι τὸ πῦρ ὑποκάτωθεν ἡμῶν· ἀπὸ ποδῶν ἕως κεφαλῆς στηκόντων οὖν ἐν μέσῳ τοῦ πυρός, οὐκ ἔστι πρόσωπον πρὸς πρόσωπον θεάσασθαί τινα, ἀλλὰ νῶτος νώτῳ κεκόλληται. Ὡς οὖν εὔχῃ δι' ἡμᾶς, ἐκ μέρους τις θεωρεῖ τὸ πρόσωπον τοῦ ἑτέρου.

ἔφθασε ὁ ἀββᾶς στό ὄρος καί μαζεύθηκαν κοντά του ὅλοι οἱ μοναχοί. Τόν παρακάλεσαν τότε οἱ Γέροντες νά μιλήσει στούς ἀδελφούς. Κι αὐτός δάκρυσε καί εἶπε: «Ἄς κλάψουμε, ἀδελφοί, καί ἄς χύσουν πολλά δάκρυα τά μάτια μας, πρίν ἀναχωρήσουμε καί πᾶμε ἐκεῖ ὅπου τά δάκρυά μας θα κατακάψουν τά σώματά μας». Καί ἔκλαψαν ὅλοι κι ἔπεσαν κατά πρόσωπο καί τοῦ εἶπαν: «Πάτερ, προσευχήσου γιά μᾶς».

27. Εἶπε ὁ ἀββᾶς Παφνούτιος* ὁ μαθητής τοῦ ἀββᾶ Μακαρίου, ὅτι εἶπε ὁ Γέροντας: «Ὅταν ἤμουν μικρό παιδί, μαζί μέ ἄλλα παιδιά ἔβοσκα μοσχάρια. Κάποια μέρα πῆγαν νά κλέψουν σύκα· καί καθώς ἔτρεχαν, ἔπεσε ἕνα ἀπό τά σύκα κι ἐγώ τό πῆρα καί τό ἔφαγα. Ἀπό τότε, ὅποτε τό θυμᾶμαι αὐτό, κάθομαι καί κλαίω».

28. Διηγήθηκαν γιά τόν ἀββᾶ Μακάριο τόν μεγάλο ὅτι περπατώντας κάποια φορά στήν ἔρημο, βρῆκε παραπεταμένο πάνω στό χῶμα ἕνα κρανίο νεκροῦ. Τό κούνησε λίγο μέ τό φοινικένιο ραβδί του λέγοντάς του : «Σύ, ποιός εἶσαι; Ἀποκρίσου με». Τό κρανίο τοῦ μίλησε καί εἶπε: «Ἐγώ ἤμουν ἀρχιερέας τῶν εἰδωλολατρῶν πού παρέμειναν σ' αὐτόν τόν τόπο· κι ἐσύ εἶσαι ὁ ἀββᾶς Μακάριος πού ἔχεις μέσα σου τό ἅγιο Πνεῦμα. Ὅποια ὥρα λοιπόν σπλαχνίζεσαι αὐτούς πού εἶναι στήν κόλαση, παρηγοροῦνται λίγο». Τόν ρωτάει ὁ ἀββᾶς Μακάριος: «Καί τί λογῆς παρηγοριά ἔχουν;» Καί ἀπαντᾶ τό κρανίο: «Ὅση εἶναι ἡ ἀπόσταση μεταξύ οὐρανοῦ καί γῆς, τόση εἶναι ἡ φωτιά κάτω ἀπό μᾶς. Καθώς λοιπόν στεκόμαστε μέσα στή φωτιά ἀπό τό κεφάλι ὥς τά πόδια, δέν εἶναι δυνατόν ὁ ἕνας νά δεῖ τό πρόσωπο τοῦ ἄλλου, γιατί ἡ ράχη τοῦ ἑνός εἶναι κολλημένη στή ράχη τοῦ ἄλλου. Ὅταν ὅμως προσεύχεσαι γιά μᾶς, βλέπει ἐν μέρει ὁ ἕνας τό πρόσωπο τοῦ ἄλλου».

Κλαύσας δὲ ὁ Γέρων εἶπεν· Οὐαὶ τῇ ἡμέρᾳ ἐν ᾗ ἐγεννήθη ὁ ἄνθρωπος, εἰ αὕτη ἐστὶν ἡ παραμυθία τῆς κολάσεως. Λέγει αὐτῷ πάλιν ὁ Γέρων· Ἔστι χείρων ταύτης ἄλλη βάσανος; Λέγει αὐτῷ τὸ κρανίον· Μείζων βάσανος ὑποκάτω ἡμῶν ἐστιν. Λέγει αὐτῷ· Καὶ τίνες εἰσὶν ἐν αὐτῇ; Λέγει αὐτῷ τὸ κρανίον· Ἡμεῖς οἱ μὴ ἰδόντες τὸν Θεὸν κἂν ἐξ ὀλίγου ἐλεούμεθα· οἱ δὲ ἰδόντες τὸν Θεὸν καὶ ἀρνησάμενοι αὐτὸν καὶ μὴ ποιήσαντες αὐτοῦ τὸ θέλημα, αὐτοί εἰσιν οἱ ὑποκάτω ἡμῶν. Καὶ μετὰ ταῦτα λαβὼν ὁ Γέρων τὸ κρανίον ἔχωσεν αὐτὸ εἰς τὴν γῆν καὶ ἐπορεύθη τὴν ὁδὸν αὐτοῦ.

29. Ἠρώτησεν ἀδελφὸς τὸν ἀββᾶν Μωυσῆν λέγων· Τί ποιήσει ἄνθρωπος ἐν παντὶ πειρασμῷ ἐπερχομένῳ ἢ ἐν παντὶ λογισμῷ τοῦ ἐχθροῦ; Λέγει ὁ Γέρων· Κλαίειν ὀφείλει ἐνώπιον τῆς ἀγαθότητος τοῦ Θεοῦ, ἵνα βοηθήσῃ αὐτῷ, καὶ ἀναπαύεται τάχιον, ἐὰν παρακαλῇ ἐν γνώσει· γέγραπται γάρ· Οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος.

30. Εἶπεν ὁ ἀββᾶς Μωυσῆς· Ὅσοι ἡττήθημεν πάθει σωματικῷ, μὴ ἀμελήσωμεν μετανοοῦντες καὶ πενθοῦντες ἑαυτούς, πρὶν καταλάβῃ ἡμᾶς τὸ πένθος τῆς κρίσεως.

31. Εἶπε πάλιν· Διὰ τῶν δακρύων κτᾶται ὁ ἄνθρωπος τὰς ἀρετὰς καὶ διὰ τῶν δακρύων γίνεται ἄφεσις ἁμαρτιῶν· ὅταν κλαίῃς, μὴ ὑψώσῃς τὴν φωνὴν τοῦ στεναγμοῦ σου καὶ

---

26. Πρβλ. Λουκ. 12, 45-47. 27. Ψαλμ. 55, 12.

28. Χαρακτηριστικά εἶναι αὐτά πού σημειώνει ὁ ἀββᾶς Νεῖλος γιά τά δάκρυα: «Πρότερον περὶ λήψεως δακρύων προσεύχου· ἵνα διὰ τοῦ πένθους μα-

Ἔκλαψε τότε ὁ Γέροντας καί εἶπε: «Ἀλίμονο στήν ἡμέρα πού γεννήθηκε ὁ ἄνθρωπος, ἐάν αὐτή εἶναι ἡ παρηγοριά τῆς κόλασης». Τόν ξαναρωτάει ὁ Γέροντας: «Ὑπάρχει ἄλλο χειρότερο βάσανο ἀπ᾽ αὐτό;» Καί λέει τό κρανίο: «Τό μεγαλύτερο βάσανο εἶναι κάτω ἀπό μᾶς». «Καί ποιοί εἶναι σ᾽ αὐτό;» ρωτᾶ ὁ Γέροντας. «Ἐμεῖς —ἀπαντᾶ τό κρανίο— πού δέν γνωρίσαμε τόν Θεό, βρίσκουμε ἔστω λίγο ἔλεος. Ἐκεῖνοι ὅμως πού γνώρισαν τόν Θεό καί τόν ἀρνήθηκαν καί δέν ἔκαναν τό θέλημά του[26], αὐτοί εἶναι πού βρίσκονται κάτω ἀπό μᾶς».

Μετά ἀπ᾽ αὐτά πῆρε ὁ Γέροντας τό κρανίο, τό ἔθαψε στή γῆ καί συνέχισε τόν δρόμο του.

29. Ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Μωυσῆ*: «Τί νά κάνει ὁ ἄνθρωπος σέ κάθε πειρασμό πού τοῦ ἔρχεται ἤ σέ κάθε λογισμό πού τοῦ ὑποβάλλει ὁ ἐχθρός;» Ὁ Γέροντας ἀπαντᾶ: «Ὀφείλει νά κλαίει μπροστά στόν ἀγαθότατο Θεό, γιά νά τόν βοηθήσει· καί πολύ γρήγορα θά βρεῖ ἀνάπαυση, ἄν παρακαλεῖ μέ ἐπίγνωση· γιατί εἶναι γραμμένο: Δέν θά φοβηθῶ τί θά μοῦ κάνει ἄνθρωπος[27]».

30. Εἶπε ὁ ἀββᾶς Μωυσῆς: «Ὅσοι νικηθήκαμε ἀπό κάποιο σωματικό πάθος, ἄς μήν ἀμελήσουμε νά μετανοήσουμε καί νά πενθήσουμε τούς ἑαυτούς μας, προτοῦ μᾶς βρεῖ τό πένθος τῆς κρίσεως».

31. Εἶπε πάλι: «Μέ τά δάκρυα ἀποκτᾶ ὁ ἄνθρωπος τίς ἀρετές καί μέ τά δάκρυα ἐπίσης συγχωροῦνται οἱ ἁμαρτίες[28]. Τήν ὥρα ὅμως πού κλαῖς, μήν ὑψώσεις τόν τόνο τοῦ

λάξῃς τὴν ἐνυπάρχουσαν τῇ ψυχῇ σου ἀγριότητα καί, ἐξαγορεύσας κατὰ σοῦ τὰς ἀνομίας σου τῷ Κυρίῳ, τῆς παρ᾽ αὐτοῦ ἀφέσεως τεύξῃ... Πολλοὶ δα-

μὴ γινωσκέτω ἡ ἀριστερὰ τί ποιεῖ ἡ δεξιά σου· ἡ δὲ ἀριστερά ἐστιν ἡ κενοδοξία.

32. Ἠρώτησεν ἀδελφὸς τὸν ἀββᾶν Ματώην· Εἰπέ μοι ῥῆμα. Καὶ εἶπεν αὐτῷ· Πᾶσαν φιλονεικίαν ἀπὸ παντὸς πράγματος κόψον ἀπὸ σοῦ, κλαῦσον δὲ καὶ πένθησον, ὅτι ὁ καιρὸς ἤγγικεν.

33. Συνέβη ποτὲ τὸν ἀββᾶν Μᾶρκον ἐξελθεῖν ἀπὸ Σκήτεως καὶ ἀπελθεῖν εἰς τὸ ὄρος τὸ Σινᾶ καὶ μεῖναι ἐκεῖ. Καὶ ἔπεμψεν ἡ μήτηρ τοῦ ἀββᾶ Μάρκου ὁρκίζουσα αὐτὸν μετὰ δακρύων, ἵνα ἐξέλθῃ ὁ υἱὸς αὐτῆς καὶ ἴδῃ αὐτήν. Καὶ ὡς ἐποίει τὴν μηλωτὴν αὐτοῦ τοῦ ἐξελθεῖν καὶ ἤρχετο ἀσπάσασθαι τὸν Γέροντα, εὐθέως ἔβαλε κλαίειν καὶ οὐκ ἐξήρχετο.

34. Παρερχόμενός ποτε ὁ ἀββᾶς Ποιμὴν εἰς τὴν Αἴγυπτον εἶδε γυναῖκα ἐν μνημείῳ καθεζομένην καὶ κλαίουσαν πικρῶς. Καὶ λέγει· Ἐὰν ἔλθῃ πάντα τὰ τερπνὰ τοῦ κόσμου τούτου, οὐ μὴ μεταστήσωσι τὴν ψυχὴν ταύτης ἀπὸ τοῦ πένθους· οὕτως καὶ ὁ μοναχὸς ὀφείλει διὰ παντὸς τὸ πένθος ἔχειν ἐν ἑαυτῷ.

35. Εἶπε πάλιν· Τὸ πένθος διπλοῦν ἐστιν, ἐργάζεται καὶ φυλάσσει.

κρύοντες ὑπέρ ἁμαρτιῶν, ἐπιλαθόμενοι τοῦ τῶν δακρύων σκοποῦ, μανέντες ἐξετράπησαν» (= Πρῶτα-πρῶτα προσευχήσου νά λάβεις τό χάρισμα τῶν δακρύων γιά νά μπορέσεις πενθώντας νά μαλακώσεις τήν ἀγριότητα τῆς ψυχῆς σου καί ἐξαγορεύοντας κατά σοῦ τίς ἀνομίες σου στόν Κύριο, νά λάβεις ἀπό αὐτόν τήν ἄφεση... Πολλοί πού ἔχυναν δάκρυα γιά τίς ἁμαρτίες

ἀναστεναγμοῦ σου. Καί ἄς μή γνωρίζει τό ἀριστερό σου χέρι τί κάνει τό δεξί[29]. Τό ἀριστερό βέβαια εἶναι ἡ κενοδοξία».

32. Ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Ματώη: «Πές μου ἕνα λόγο». Καί τοῦ εἶπε: «Κόψε ἀπό τόν ἑαυτό σου ἐντελῶς τήν τάση νά φιλονικεῖς γιά ὁποιοδήποτε πράγμα. Ἐπίσης κλάψε καί πένθησε, γιατί ὁ καιρός ἔχει φθάσει[30]».

33. Κάποτε συνέβη ὁ ἀββᾶς Μάρκος νά βγεῖ ἀπό τή Σκήτη καί νά πάει στό ὄρος Σινᾶ, ὅπου καί ἔμεινε. Ἡ μητέρα του ἔστειλε ἄνθρωπό της ἐξορκίζοντάς τον μέ δάκρυα, νά βγεῖ ὁ γιός της νά τή δεῖ. Ἐκεῖνος μόλις ἔβαζε τόν τρίχινο μανδύα του, γιά νά βγεῖ, καί πήγαινε νά πάρει εὐλογία ἀπ' τόν Γέροντα, ἀμέσως ἄρχιζε νά κλαίει καί δέν ἔβγαινε.

34. Πηγαίνοντας κάποτε ὁ ἀββᾶς Ποιμήν* πρός τήν Αἴγυπτο εἶδε μιά γυναίκα νά κάθεται πάνω σ' ἕνα τάφο καί νά κλαίει μέ πικρά δάκρυα. Καί εἶπε: «Κι ἄν ὅλα τά εὐχάριστα τοῦ κόσμου αὐτοῦ ἔλθουν αὐτή τή στιγμή ἐδῶ, δέν θά μπορέσουν νά ἀποσπάσουν τήν ψυχή αὐτῆς τῆς γυναίκας ἀπό τό πένθος. Κατά τόν ἴδιο τρόπο πρέπει καί ὁ μοναχός νά ἔχει μέσα του τό πένθος σ' ὅλη του τή ζωή».

35. Εἶπε πάλι ὁ ἀββᾶς Ποιμήν: «Τό ψυχικό πένθος ἔχει διπλό σκοπό. Καί ἐργασία πνευματική πραγματοποιεῖ μέσα στήν ψυχή τοῦ ἀνθρώπου, ἀλλά καί τόν προφυλάσσει[31]».

τους, λησμόνησαν τόν σκοπό τῶν δακρύων, ἔπεσαν στήν τρέλλα τῆς ὑπερηφάνειας καί ἔχασαν τόν δρόμο) (Φιλοκαλία τ. Α', *Περί προσευχῆς* κεφ. ε' καί η').

29. Πρβλ. Ματθ. 6, 3. 30. Πρβλ. Ματθ. 3, 2 καί 4, 17.

31. Πρβλ. Γεν. 2, 15.

36. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων· Τί ποιήσω; Λέγει αὐτῷ ὁ Γέρων· Ἀβραάμ, ὅτε εἰσῆλθεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, μνημεῖον ἠγόρασεν ἑαυτῷ καὶ διὰ τοῦ τάφου ἐκληρονόμησε τὴν γῆν. Λέγει ὁ ἀδελφός· Τί ἐστι τάφος; Λέγει αὐτῷ ὁ Γέρων· Τόπος κλαυθμοῦ καὶ πένθους.

37. Παρήρχετό ποτε ὁ ἀββᾶς Ποιμὴν μετὰ τοῦ ἀββᾶ Ἀνοὺβ εἰς τὰ μέρη τῆς Διόλκου· καὶ ἐλθόντες περὶ τὰ μνημεῖα θεωροῦσι γυναῖκα δεινῶς κοπτομένην καὶ κλαίουσαν πικρῶς καὶ στάντες κατενόουν αὐτήν. Μικρὸν δὲ προβάντες συνήντησάν τινι καὶ ἠρώτησεν αὐτὸν ὁ ἀββᾶς Ποιμὴν λέγων· Τί ἔχει ἡ γυνὴ αὕτη, ὅτι πικρῶς κλαίει; Καὶ λέγει αὐτῷ ὅτι ἀπέθανεν ὁ ἀνὴρ αὐτῆς καὶ ὁ υἱὸς καὶ ὁ ἀδελφός. Καὶ ἀποκριθεὶς ὁ ἀββᾶς Ποιμὴν λέγει τῷ ἀββᾷ Ἀνούβ· Λέγω σοι ὅτι ἄνθρωπος, ἐὰν μὴ νεκρώσῃ τῆς σαρκὸς τὰ θελήματα πάντα καὶ κτήσηται τὸ πένθος τοῦτο, οὐ δύναται γενέσθαι μοναχός· ὅλος γὰρ ὁ βίος αὐτῆς καὶ ὁ νοῦς εἰς τὸ πένθος ἐστίν.

38. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων· Τί ποιήσω ταῖς ἁμαρτίαις μου; Καὶ ἀποκριθεὶς ὁ Γέρων λέγει αὐτῷ ὅτι· Ὁ θέλων λυτρώσασθαι ἁμαρτίας κλαυθμῷ λυτροῦται αὐτάς· καὶ ὁ θέλων κτήσασθαι ἀρετὰς κλαυθμῷ κτᾶται αὐτάς· τὸ γάρ κλαίειν ἐστὶν ἡ ὁδὸς ἣν παρέδωκεν ἡμῖν ἡ Γραφὴ καὶ οἱ πατέρες λέγοντες· Κλαύσατε, ἄλλη γὰρ ὁδὸς οὐκ ἔστιν, εἰ μὴ αὕτη.

36. Ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Ποιμένα: «Τί νά κάνω;» Καί τοῦ λέει ὁ Γέροντας: «Ὁ Ἀβραάμ ὅταν μπῆκε στή γῆ τῆς ἐπαγγελίας, ἀγόρασε ἕνα τόπο γιά οἰκογενειακό τάφο καί μέ τόν τάφο αὐτόν κληρονόμησε τή χώρα[32]». Τόν ρωτᾶ ὁ ἀδελφός: «Τί σημαίνει τάφος;» Καί ἀπαντᾶ ὁ Γέροντας: «Τάφος σημαίνει τόπος δακρύων καί πένθους».

37. Μιά ἄλλη φορά περνοῦσε ὁ ἀββᾶς Ποιμήν μαζί μέ τόν ἀββᾶ Ἀνούβ ἀπό τά μέρη τῆς Διόλκου[33] καί φθάνοντας ἐκεῖ πού ἦταν τά μνήματα βλέπουν μιά γυναίκα νά θρηνεῖ γοερά καί νά χύνει πικρά δάκρυα· ὁπότε στάθηκαν νά καταλάβουν τί τῆς συμβαίνει. Προχωρώντας κατόπιν λίγο, συνάντησαν κάποιον καί τόν ρώτησε ὁ ἀββᾶς Ποιμήν: «Τί ἔχει ἡ γυναίκα αὐτή πού τόσο πικρά κλαίει;» Καί μαθαίνει ὅτι εἶχαν πεθάνει ὁ ἄνδρας της καί ὁ γιός της καί ὁ ἀδελφός της.

Ἀπευθυνόμενος τότε ὁ ἀββᾶς Ποιμήν στόν ἀββᾶ Ἀνούβ τοῦ λέει: «Σέ διαβεβαιώνω ὅτι, ἐάν ὁ ἄνθρωπος δέν νεκρώσει ὅλες τίς σαρκικές ἐπιθυμίες καί δέν ἀποκτήσει αὐτό τό πένθος, δέν μπορεῖ νά γίνει μοναχός. Βλέπεις ὅτι ὅλη ἡ ζωή καί ὁ νοῦς τῆς γυναίκας αὐτῆς εἶναι δοσμένα στό πένθος».

38. Ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Ποιμένα: «Τί νά κάνω μέ τίς ἁμαρτίες μου;» Καί ἀπαντώντας ὁ Γέροντας τοῦ λέει: «Αὐτός πού θέλει νά λυτρωθεῖ ἀπό τίς ἁμαρτίες του, μέ δάκρυα λυτρώνεται ἀπ' αὐτές· καί ἐκεῖνος πού θέλει νά ἀποκτήσει ἀρετές, μέ δάκρυα τίς ἀποκτᾶ. Γιατί τό νά κλαῖμε εἶναι ἡ ὁδός πού μᾶς παρέδωσε ἡ Γραφή, καθώς καί οἱ πατέρες, πού ἔλεγαν: κλάψτε· ἄλλη ὁδός δέν ὑπάρχει παρά μόνον αὐτή».

32. Γεν. 23, 4.

33. Δίολκος: Μοναστικό κέντρο.

39. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων· Τί ποιήσω ταῖς ταραχαῖς ταύταις ταῖς ταραττούσαις με; Λέγει αὐτῷ ὁ Γέρων· Κλαύσωμεν ἐνώπιον τῆς ἀγαθότητος τοῦ Θεοῦ ἐν παντὶ κόπῳ ἡμῶν, ἕως ποιήσει τὸ ἔλεος αὐτοῦ μεθ' ἡμῶν.

40. Διηγήσατο ὁ ἀββᾶς Ἰωσήφ, ὅτι εἶπεν ὁ ἀββᾶς Ἰσαὰκ ὅτι· Ἐκαθήμην ποτὲ πρὸς τὸν ἀββᾶν Ποιμένα καὶ εἶδον αὐτὸν ἐν ἐκστάσει γενόμενον καί, ἐπειδὴ εἶχον πρὸς αὐτὸν πολλὴν παρρησίαν, ἔβαλον αὐτῷ μετάνοιαν παρακαλῶν αὐτὸν καὶ λέγων· Εἰπέ μοι ποῦ ἦς; Ὁ δὲ ἀναγκασθεὶς εἶπεν· Ὁ ἐμὸς λογισμὸς ἦν ὅπου ἡ ἁγία Μαρία ἡ Θεοτόκος ἕστηκε καὶ ἔκλαιεν ἐπὶ τοῦ Σταυροῦ τοῦ Σωτῆρος· κἀγὼ ἤθελον πάντοτε οὕτως κλαίειν.

41. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων· Τί ποιήσω; Λέγει αὐτῷ ὁ Γέρων· Ὅταν ὁ Θεὸς ἐπισκέπτηται ἡμᾶς, τίνος ἔχομεν φροντίσαι; Λέγει αὐτῷ ὁ ἀδελφός; Τῶν ἁμαρτιῶν ἡμῶν. Λέγει οὖν ὁ Γέρων· Εἰσέλθωμεν τοίνυν εἰς τὸ κελλίον ἡμῶν καὶ καθίσαντες μνημονεύσωμεν τῶν ἁμαρτιῶν ἡμῶν καὶ ὁ Κύριος συνέρχεται ἡμῖν ἐν πᾶσιν.

42. Ὁ μακάριος Ἀθανάσιος, ὁ ἐπίσκοπος Ἀλεξανδρείας, παρεκάλεσε τὸν ἀββᾶν Παμβὼ κατελθεῖν ἐκ τῆς ἐρήμου εἰς Ἀλεξάνδρειαν. Κατελθὼν δὲ καὶ ἰδὼν γυναῖκα θεατρικήν, σύνδακρυς ἐγένετο, τῶν δὲ παρόντων πυθομένων διὰ τί ἔκλαυσεν· Δύο με, ἔφη, κεκίνηκεν, ἓν μὲν ἡ ἐκείνης ἀπώλεια, ἕτερον δὲ ὅτι ἐγὼ οὐ τοιαύτην σπουδὴν ἔχω πρὸς τὸ ἀρέσαι τῷ Θεῷ, ὅσην αὕτη ἵνα ἀρέσῃ ἀνθρώποις αἰσχροῖς.

34. Ἰω. 19, 25.

39. Ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Ποιμένα: «Τί νά κάνω μ' αὐτές τίς ἐσωτερικές ἀνησυχίες πού μέ ταράζουν;» Τοῦ ἀπαντᾶ ὁ Γέροντας: «Νά κλάψουμε μπροστά στήν ἀγαθότητα τοῦ Θεοῦ ἀκούραστα, ἕως ὅτου μᾶς δώσει τό ἔλεός του».

40. Ὁ ἀββᾶς Ἰωσήφ διηγήθηκε ὅτι ὁ ἀββᾶς Ἰσαάκ εἶπε: «Κάποτε καθόμουν μαζί μέ τόν ἀββᾶ Ποιμένα καί τόν εἶδα νά πέφτει σέ ἔκσταση. Ἐπειδή τοῦ εἶχα πολύ θάρρος, τοῦ ἔβαλα μετάνοια παρακαλώντας τον "πές μου, ποῦ ἤσουν;" Ἐκεῖνος ἀναγκάσθηκε καί εἶπε: "Ὁ λογισμός μου ἦταν ἐκεῖ στόν Σταυρό τοῦ Σωτῆρος, ὅπου ἔστεκε ἡ ἁγία Μαρία ἡ Θεοτόκος καί ἔκλαιγε[34]· καί ἐγώ ἤθελα πάντοτε ἔτσι νά κλαίω"».

41. Ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Ποιμένα: «Τί νά κάνω;» Ὁ Γέροντας τοῦ ἀπαντᾶ: «Τήν ὥρα πού ὁ Θεός θά μᾶς ἐπισκεφθεῖ, γιά ποιό πράγμα θά ἀνησυχήσουμε;» Τοῦ λέει ὁ ἀδελφός: «Γιά τίς ἁμαρτίες μας». Λέει λοιπόν ὁ Γέροντας: «Ἄς μποῦμε ἑπομένως στό κελί μας καί μένοντας ἐκεῖ ἄς θυμόμαστε τίς ἁμαρτίες μας καί τότε ὁ Κύριος θά μᾶς βοηθάει σέ ὅλα».

42. Ὁ μακάριος Ἀθανάσιος*, ὁ ἐπίσκοπος τῆς Ἀλεξάνδρειας, παρακάλεσε τόν ἀββᾶ Παμβώ* νά κατέβει ἀπό τήν ἔρημο στήν Ἀλεξάνδρεια. Πραγματικά, κατέβηκε καί βλέποντας μιά θεατρίνα, γέμισαν δάκρυα τά μάτια του. Ὅταν τόν ρώτησαν ὅσοι ἦταν κοντά του νά μάθουν γιατί ἔκλαψε, εἶπε: «Δυό πράγματα μοῦ ἔφεραν τά δάκρυα· τό ἕνα ἡ ἀπώλεια ἐκείνης· καί τό ἄλλο τό ὅτι ἐγώ δέν ἔχω τόση φροντίδα νά ἀρέσω στόν Θεό, ὅση ἔχει αὐτή, προκειμένου νά ἀρέσει σέ ἀνήθικους ἀνθρώπους».

43. Εἶπεν ὁ ἀββᾶς Παῦλος· Εἰς βόρβορόν εἰμι καταποντιζόμενος ἕως τραχήλου καὶ κλαίω ἔμπροσθεν τοῦ Ἰησοῦ λέγων· Ἐλέησόν με.

44. Καθεζόμενός ποτε ὁ ἀββᾶς Σιλουανὸς μετὰ ἀδελφῶν ἐγένετο ἐν ἐκστάσει καὶ πίπτει ἐπὶ πρόσωπον καὶ μετὰ πολὺ ἀναστὰς ἔκλαιε· καὶ παρεκάλεσαν αὐτὸν οἱ ἀδελφοὶ λέγοντες· Τί ἔχεις, πάτερ; Ὁ δὲ ἐσιώπα καὶ ἔκλαιεν· ἀναγκαζόντων δὲ αὐτῶν εἰπεῖν, ἔφη· Ἐγὼ εἰς τὴν κρίσιν ἡρπάγην καὶ εἶδον πολλοὺς τοῦ γένους ἡμῶν ἀπερχομένους εἰς κόλασιν καὶ πολλοὺς τῶν κοσμικῶν ἀπερχομένους εἰς Βασιλείαν. Καὶ ἐπένθει ὁ Γέρων καὶ οὐκ ἤθελεν ἐξελθεῖν ἐκ τοῦ κελλίου αὐτοῦ· εἰ δὲ καὶ ἠναγκάζετο ἐξελθεῖν, ἔσκεπε τῷ κουκουλίῳ τὸ πρόσωπον αὐτοῦ λέγων· Τί θέλω ἰδεῖν τὸ φῶς τοῦτο τὸ πρόσκαιρον καὶ οὐδὲν ἔχον ὄφελος;

45. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Σιλουανὸν λέγων· Τί ποιήσω, ἀββᾶ, πῶς κτήσομαι τὴν κατάνυξιν; Πάνυ γὰρ πολεμοῦμαι ὑπὸ τῆς ἀκηδίας καὶ τοῦ ὕπνου. Καί, ὅτε ἀνίσταμαι τὸ πρωί, πολλὰ πυκτεύω καὶ χωρίς τοῦ ἤχου ψαλμὸν οὐ λέγω καὶ οὐ δύναμαι περιγενέσθαι τοῦ ὕπνου.

Καὶ ἀπεκρίθη ὁ Γέρων· Τέκνον, τὸ λέγειν σε τοὺς ψαλμοὺς μετὰ ἤχου, πρώτη ὑπερηφανία ἐστὶ καὶ ἔπαρσις, τουτέστιν ἐγὼ ψάλλω, ὁ ἀδελφὸς οὐ ψάλλει· τὸ γὰρ ᾆσμα σκληρύνει τὴν καρδίαν καὶ πωρώνει καὶ οὐκ ἐᾷ τὴν ψυχὴν κατανυγῆναι. Εἰ οὖν θέλεις εἰς κατάνυξιν ἐλθεῖν, ἄφες τὸ ᾆσμα. Καί, ὅτε ἵστασαι τὰς εὐχάς σου ποιῶν, ὁ νοῦς σου τὴν δύνα-

43. Ὁ ἀββᾶς Παῦλος εἶπε: «Μέχρι τόν λαιμό εἶμαι βυθισμένος σέ βοῦρκο καί κλαίω μπροστά στόν Κύριο λέγοντας: Ἐλέησέ με».

44. Κάποτε πού ὁ ἀββᾶς Σιλουανός* βρισκόταν μαζί μέ ἄλλους ἀδελφούς, ἦρθε σέ ἔκσταση καί ἔπεσε κατά πρόσωπο. Μετά ἀπό ἀρκετή ὥρα σηκώθηκε κλαίοντας. Τόν ρώτησαν τότε οἱ ἀδελφοί: «Τί ἔχεις, πάτερ;» Καί αὐτός σώπαινε καί ἔκλαιε. Καθώς ὅμως τόν πίεζαν νά μιλήσει, εἶπε: «Ἁρπάχθηκα στήν κρίση καί εἶδα πολλούς ἀπό μᾶς τούς μοναχούς νά πηγαίνουν στήν κόλαση καί πολλούς κοσμικούς νά πηγαίνουν στή Βασιλεία τοῦ Θεοῦ[35]».

Γι᾽ αὐτό πενθοῦσε ὁ Γέροντας καί δέν ἤθελε νά βγεῖ ἀπό τό κελί του. Καί ὅταν ὑπῆρχε ἀνάγκη νά βγεῖ, σκέπαζε τό πρόσωπό του μέ τό κουκούλι λέγοντας: «Τί θέλω νά δῶ αὐτό τό φῶς τό πρόσκαιρο, ἀφοῦ δέν ὠφελεῖ σέ τίποτε;»

45. Ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Σιλουανό: «Τί νά κάνω, ἀββᾶ, πῶς θά ἀποκτήσω τήν κατάνυξη; Ἔχω πολύ πόλεμο μέ τήν ἀκηδία[36] καί τόν ὕπνο. Καί ὅταν σηκώνομαι τό πρωί, πολύ παλεύω καί χωρίς ψαλμωδία δέν λέω κανένα ψαλμό, καί ὅμως δέν μπορῶ νά νικήσω τόν ὕπνο».

Ὁ Γέροντας ἀποκρίθηκε: «Παιδί μου, τό νά λές τούς ψαλμούς μέ μελωδία εἶναι ἡ πιό μεγάλη ὑπερηφάνια καί ἀλαζονεία· δηλαδή ἔρχεται ὁ λογισμός "νά, ἐγώ ψάλλω, ὁ ἀδελφός δέν ψάλλει". Πραγματικά, τό ψάλσιμο σκληρύνει τήν καρδιά καί τήν κάνει ἀναίσθητη καί δέν ἀφήνει τήν ψυχή νά συντριβεῖ. Λοιπόν, ἄν θέλεις νά φθάσεις σέ κατάνυξη, ἄφησε κατά μέρος τήν ψαλμωδία. Καί ὅταν στέκεσαι καί προσεύχεσαι, ὁ νοῦς σου νά ἐξετάζει τό βαθύτερο νόη-

35. Πρβλ. Ματθ. 8, 11-12. 36. Βλ. ὑποσημ. 109 σελ. 124.

μιν τοῦ στίχου ἐρευνάτω καὶ λογίζου ὅτι ἐνώπιον τοῦ Θεοῦ παρίστασαι τοῦ ἐτάζοντος καρδίας καὶ νεφρούς.

Καί, ὅταν ἀναστῇς ἐκ τοῦ ὕπνου, πρὸ πάντων δοξάσῃ τὸν Θεὸν τὸ στόμα σου καὶ μὴ ἄρξῃ τοῦ κανόνος εὐθύς, ἀλλ' ἐξελθὼν ἔξω τοῦ κελλίου σου στιχολόγησον τὴν πίστιν καὶ τὸ Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς καὶ τότε εἰσελθὼν ἄρξαι τοῦ κανόνος σου ἀνετῶς ἀνετῶς στενάζων καὶ ἐνθυμούμενος τὰς ἁμαρτίας σου καὶ τὴν κόλασιν ἐν ᾗ μέλλεις βασανίζεσθαι.

Καὶ λέγει ὁ ἀδελφός· Ἐγώ, ἀββᾶ, ἀφ' οὗ ἐμόνασα τὴν ἀκολουθίαν τοῦ κανόνος καὶ τὰς ὥρας κατὰ τὴν Ὀκτώηχον ψάλλω. Ἀπεκρίθη ὁ Γέρων· Διὰ τοῦτο καὶ ἡ κατάνυξις καὶ τὸ πένθος φεύγει ἀπὸ σοῦ. Ἐννόησον τοὺς μεγάλους πατέρας πῶς ἰδιῶται ὑπάρχοντες καὶ μὴ ἐπιστάμενοι εἰ μὴ ὀλίγους ψαλμοὺς καὶ οὔτε ἦχον οὔτε τροπάρια ἐγίνωσκον καὶ δίκην φωστήρων ἐν κόσμῳ ἔλαμψαν· καὶ μαρτυρεῖ μοι τῷ λόγῳ ὁ ἀββᾶς Παῦλος ὁ ἁπλοῦς καὶ ὁ ἀββᾶς Παμβὼ καὶ ὁ ἀββᾶς Ἀπολλὼ καὶ οἱ καθ' ἑξῆς, οἵτινες καὶ νεκροὺς ἤγειραν καὶ κατὰ δαιμόνων τὴν ἐξουσίαν ἐδέξαντο, οὐκ ἐν ᾄσμασι καὶ τροπαρίοις καὶ ἤχοις, ἀλλ' ἐν προσευχῇ καὶ νηστείᾳ· οὐ γὰρ ἡ καλλιέπεια τοῦ ᾄσματος ὑπάρχει ἡ σῴζουσα τὸν ἄνθρωπον, ἀλλ' ὁ φόβος τοῦ Θεοῦ καὶ ἡ τήρησις τῶν τοῦ Χριστοῦ ἐντολῶν. Τὸ γὰρ ᾆσμα πολλοὺς εἰς τὰ κατώτατα τῆς γῆς κατήγαγεν, οὐ μόνον κοσμικοὺς ἀλλὰ καὶ ἱερεῖς εἰς πορνείαν καὶ εἰς πάθη πολλὰ αὐτοὺς βοθρίσαν. Καὶ τὸ οὖν ᾆσμα, τέκνον, τῶν κοσμικῶν ἐστιν· διὰ τοῦτο γὰρ καὶ συναθροίζεται ὁ λαὸς ἐν ταῖς ἐκκλησίαις.

---

37. Ψαλμ. 7, 10· Ἰερ. 11, 20· 17, 10· 20, 12· Ἀποκ. 2, 23.

38. Ὀκτώηχος: Εἶναι οἱ ὀκτώ ἦχοι τῆς ἐκκλησιαστικῆς ὑμνολογίας βάσει τῶν ὁποίων ψάλλονται ὅλοι οἱ ὕμνοι κατά τίς ἱερές ἀκολουθίες.

39. Οἱ ἀπόψεις τοῦ ἀββᾶ Παμβώ γιά τήν ψαλμωδία τῶν μοναχῶν, πού συμπίπτουν μέ τοῦ ἀββᾶ Σιλουανοῦ, ἐκφράζονται στό ἀπόφθ. Α 84 (σελ. 108 κ.ἑ.) καί ὑποσημ. 95, σελ. 110.

μα τοῦ στίχου καί νά ἀναλογίζεσαι ὅτι βρίσκεσαι μπροστά στόν Θεό, πού ἐρευνᾶ τίς σκέψεις, τίς ἐπιθυμίες καί τά αἰσθήματα τοῦ ἀνθρώπου[37].

Ὅταν πάλι σηκωθεῖς ἀπό τόν ὕπνο, πρίν ἀπ' ὅλα δόξασε τόν Θεό καί μήν ἀρχίζεις ἀμέσως τόν κανόνα σου, ἀλλά βγές ἔξω ἀπό τό κελί σου καί ἀπάγγειλε τό Σύμβολο τῆς Πίστεως καί τό "Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς". Κατόπιν μπές μέσα, καί ἄρχισε τόν κανόνα σου μ' ὅλη τήν ἄνεσή σου, στενάζοντας καί φέρνοντας στόν νοῦ σου τίς ἁμαρτίες σου καί τήν κόλαση, ὅπου πρόκειται νά βασανίζεσαι».

Λέει ὁ ἀδελφός στή συνέχεια: «Ἀββᾶ, ἐγώ ἀπό τότε πού ἔγινα μοναχός, ψάλλω τήν ἀκολουθία τοῦ κανόνα καί τίς Ὧρες σύμφωνα μέ τήν Ὀκτώηχο[38]». Κι ὁ Γέροντας ἀποκρίνεται: «Γι' αὐτό ἀκριβῶς ἡ κατάνυξη καί τό πένθος φεύγουν ἀπό σένα. Σκέψου τούς μεγάλους πατέρες πῶς, ἐνῶ ἦταν ἁπλοί ἄνθρωποι τοῦ λαοῦ καί δέν ἤξεραν παρά μόνο λίγους ψαλμούς, οὔτε γνώριζαν μελωδίες καί τροπάρια καί ὅμως σάν ἀστέρες ἔλαμψαν στόν κόσμο. Καί ἐπιβεβαιώνει τόν λόγο μου ὁ ἀββᾶς Παῦλος ὁ ἁπλός, ὁ ἀββᾶς Παμβώ, ὁ ἀββᾶς Ἀπολλώ καί οἱ ἄλλοι, οἱ ὁποῖοι καί νεκρούς ἀνάστησαν καί τήν ἐξουσία ἐναντίον τῶν δαιμόνων εἶχαν λάβει, ὄχι μέ ψαλσίματα, μέ τά τροπάρια καί τίς μελωδίες, ἀλλά μέ τήν προσευχή καί τή νηστεία. Γιατί δέν εἶναι ἡ ὡραία ψαλμωδία πού σώζει τόν ἄνθρωπο, ἀλλά ὁ φόβος τοῦ Θεοῦ καί ἡ τήρηση τῶν ἐντολῶν τοῦ Χριστοῦ. Τό ψάλσιμο ἄλλωστε πολλούς ἔσυρε στά βάθη τῆς γῆς· ὄχι μόνο κοσμικούς ἀλλά ἀκόμη καί ἱερεῖς τούς ἔριξε στόν βοῦρκο τῆς πορνείας καί πολλῶν ἄλλων παθῶν. Τό ψάλσιμο λοιπόν, παιδί μου, εἶναι γιά τούς κοσμικούς ἀνθρώπους· γι' αὐτό βέβαια καί συγκεντρώνεται ὁ λαός στίς ἐκκλησίες[39].

Στά ἀποφθέγματα τοῦ ἀββᾶ Παύλου τοῦ ἁπλοῦ δέν ἀναφέρεται ὅτι ἡ χρήση ὕμνων εἶναι ἀσυμβίβαστη μέ τή μοναστική ζωή. Ὑπάρχει ὅμως ἕνα

Ἐννόησον, τέκνον, πόσα τάγματά εἰσιν ἐν τῷ οὐρανῷ καὶ οὔτε γέγραπται περὶ αὐτῶν ὅτι μετὰ τῆς Ὀκτωήχου ψάλλουσιν, ἀλλὰ τάγμα ἓν ἀκαταπαύστως τὸ ἀλληλούια ᾄδει, ἕτερον τάγμα τὸ Ἅγιος, Κύριος, Σαβαώθ, ἕτερον τάγμα Εὐλογημένη ἡ δόξα Κυρίου ἐκ τοῦ τόπου καὶ ἐκ τοῦ οἴκου αὐτοῦ.

Σὺ οὖν, τέκνον, μίμησαι τοὺς πατέρας, εἰ θέλεις ἐν ταῖς προσευχαῖς κατάνυξιν κτήσασθαι, φυλάττων τὸν νοῦν ὡς δύνῃ ἀρρέμβαστον. Ἀγάπησον τὴν ταπείνωσιν τοῦ Χριστοῦ καὶ πρόσεχε σεαυτῷ φυλάττων σου τὸν νοῦν ἐν τῇ ὥρᾳ τῆς προσευχῆς. Καὶ ὅπου δ' ἂν παραβάλλῃς, μὴ δεικνύεις ἑαυτὸν ὡς ἀγχίνουν καὶ καθηγητήν, ἀλλ' ἔσο ταπεινόφρων, καὶ ὁ Θεὸς παρέχει σοι τὴν κατάνυξιν.

46. Ἔλεγον περὶ τοῦ ἀββᾶ Σεραπίωνος ὅτι οὕτως ἐγένετο ὁ βίος αὐτοῦ, ὡς ἑνὸς τῶν πετεινῶν· μὴ κτησάμενος ὅλως πρᾶγμα τοῦ αἰῶνος τούτου μηδὲ εἰς κελλίον καρτερήσας, ἀλλὰ σινδόνα φορῶν καὶ μικρὸν Εὐαγγέλιον ἔχων οὕτως ἐγύρευεν ὡς ἀσώματος. Πολλάκις οὖν εὕρισκον αὐτὸν ἔξωθεν κώμης ἐν τῇ ὁδῷ καθήμενον καὶ δεινὰ κλαίοντα καὶ ἠρώτων αὐτόν· Διὰ τί οὕτως κλαίεις, Γέρον; καὶ ἀπεκρίνατο αὐτοῖς· Ὁ δεσπότης μου ἐπίστευσέ μοι τὸν πλοῦτον αὐτοῦ καὶ ἀπώλεσα αὐτὸν καὶ βούλεταί με τιμωρήσασθαι. Ἐκεῖνοι ἀκούοντες ἐνόμιζον περὶ χρυσίου αὐτὸν λέγειν καὶ πολλάκις ῥίπτοντες αὐτῷ μικρὸν ἄρτον ἔλεγον· Δέξαι, ἀδελφέ, φάγε· καὶ περὶ τοῦ πλούτου οὗ ἀπώλεσας δυνατός ἐστιν ὁ Θεὸς πέμψαι σοι αὐτόν. Καὶ ἀπεκρίνατο ὁ Γέρων· Ἀμήν.

περιστατικό μέ τόν Παῦλο τόν Καππαδόκη (5ος αἰ.) πού μόναζε στή Νιτρία. Ὁ ἡγούμενος τοῦ συνέστησε νά μήν ψάλλει τροπάρια καί κανόνες «καί ἤχους μελίζειν», ἄν ἤθελε τή σωτηρία τῆς ψυχῆς του (Δ. Τσάμη, *Γεροντικὸν τοῦ Σινᾶ*, Β' ἔκδ., Θεσσαλονίκη 1991).

Σκέψου, παιδί μου, πόσα τάγματα ὑπάρχουν στόν οὐρανό καί δέν εἶναι γραμμένο πουθενά γι' αὐτά ὅτι ψάλλουν σύμφωνα μέ τήν Ὀκτώηχο, ἀλλά ἕνα τάγμα ἀκατάπαυστα ψάλλει τό "Ἀλληλούια", ἄλλο τάγμα τό "Ἅγιος, Κύριος Σαβαώθ"[40], ἄλλο τάγμα τό "Εὐλογημένη ἡ δόξα Κυρίου ἀπό τόν τόπο καί ἀπό τόν οἶκο του"[41].

Σύ λοιπόν, παιδί μου, ἐάν θέλεις νά ἀποκτήσεις κατάνυξη στήν προσευχή, μιμήσου τούς πατέρες, κρατώντας τόν νοῦ σου ὅσο μπορεῖς μακριά ἀπό ρεμβασμούς.

Ἀγάπησε τήν ταπείνωση τοῦ Χριστοῦ, πρόσεχε τόν ἑαυτό σου, προφυλάγοντας τόν νοῦ σου κατά τήν ὥρα τῆς προσευχῆς. Καί, ὅπου κι ἄν πᾶς, μήν προβάλεις τόν ἑαυτό σου σάν σοφό καί δάσκαλο, ἀλλά νά ἔχεις ταπεινό φρόνημα καί ὁ Θεός θά σοῦ δώσει τήν κατάνυξη».

46. Ἔλεγαν γιά τόν ἀββᾶ Σεραπίωνα,* ὅτι ἡ ζωή του ἦταν σάν ἑνός πουλιοῦ. Δέν ἀπόκτησε ποτέ κανένα πράγμα τοῦ κόσμου αὐτοῦ οὔτε ἔμεινε σέ κελί, ἀλλά τυλιγμένος ἕνα σεντόνι καί κρατώντας ἕνα μικρό Εὐαγγέλιο τριγυρνοῦσε ἔτσι σάν νά μήν εἶχε σῶμα. Πολλές φορές τόν ἔβρισκαν νά κάθεται στόν δρόμο ἔξω ἀπό ἕνα χωριό καί νά κλαίει γοερά καί τόν ρωτοῦσαν: «Γέροντα, γιατί κλαῖς ἔτσι;» Κι ἐκεῖνος τούς ἀπαντοῦσε: «Ὁ Κύριός μου μοῦ ἐμπιστεύθηκε τά πλούτη του, ἀλλά ἐγώ τά ἔχασα· γι' αὐτό θέλει νά μέ τιμωρήσει». Ἐκεῖνοι, σάν τόν ἄκουγαν, νόμιζαν ὅτι μιλάει γιά χρυσάφι καί πολλές φορές τοῦ ἔριχναν ἕνα κομμάτι ψωμί καί τοῦ ἔλεγαν: «Ἀδελφέ, δέξου το αὐτό καί φάε· ὅσο γιά τά πλούτη πού ἔχασες, ὁ Θεός ἔχει τή δύναμη νά σοῦ τά στείλει». Καί ὁ Γέροντας ἀποκρινόταν: «Ἀμήν».

---

40. Ἠσ. 6, 3. 41. Ἰεζ. 3, 12.

47. Εἶπεν ἡ ἀμμᾶς Συγκλητική· Ἀγών ἐστι καὶ κόπος πολὺς τοῖς προσερχομένοις τῷ Θεῷ τὰ πρῶτα· ἔπειτα δὲ χαρὰ ἀνεκλάλητος. Ὥσπερ γὰρ οἱ πῦρ ἐξάψαι βουλόμενοι, πρῶτον καπνίζονται καὶ δακρύουσι καὶ οὕτως τοῦ ζητουμένου ἐπιτυγχάνουσι. Καὶ γάρ, φησίν, ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον ἐστίν. Οὕτως δεῖ καὶ ἡμᾶς εἰς ἑαυτοὺς τὸ θεῖον ἐξάψαι πῦρ μετὰ δακρύων καὶ πόνου.

48. Εἶπεν ὁ ἀββᾶς Ὑπερέχιος· Ἡμέραν τὴν νύκτα ἀπεργάζεται μοναχὸς ἀγρυπνῶν καὶ εὐχαῖς παρεδρεύων. Νύσσων δὲ καρδίαν αὐτοῦ προχέει δάκρυον καὶ οὐρανόθεν προσκαλεῖται ἔλεον.

49. Παρέβαλον ἀδελφοὶ πρὸς τὸν ἀββᾶν Φίλικα ἔχοντες μεθ' ἑαυτῶν κοσμικοὺς καὶ παρεκάλεσαν αὐτόν, ἵνα εἴπῃ αὐτοῖς λόγον. Ὁ δὲ Γέρων ἐσιώπα. Ἐπὶ πολὺ οὖν παρακαλούντων αὐτῶν εἶπεν αὐτοῖς· Λόγον θέλετε ἀκοῦσαι; Λέγουσιν αὐτῷ· Ναί, ἀββᾶ. Εἶπεν οὖν ὁ Γέρων· Ἄρτι οὐκ ἔνι λόγος· ὅτε ἠρώτων οἱ ἀδελφοὶ τοὺς Γέροντας καὶ ἐποίουν ἃ ἔλεγον αὐτοῖς, ὁ Θεὸς ἐχορήγει αὐτοῖς τὸ πῶς λαλῆσαι. Νῦν δὲ ἐπειδὴ ἐρωτῶσι μέν, οὐ ποιοῦσι δὲ ἃ ἀκούουσιν, ἦρεν ὁ Θεὸς τὴν χάριν ἀπὸ τῶν Γερόντων καὶ οὐχ εὑρίσκουσί τι λαλῆσαι, ἐπειδὴ οὐκ ἔστιν ὁ ἐργαζόμενος. Καὶ ἀκούσαντες ταῦτα οἱ ἀδελφοὶ ἐστέναξαν λέγοντες· Εὖξαι ὑπὲρ ἡμῶν, ἀββᾶ.

50. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ὢρ καὶ τοῦ ἀββᾶ Θεοδώρου

47. Εἶπε ἡ ἀμμᾶς Συγκλητική*: «Αὐτούς πού πρωτοέρχονται στόν Θεό τούς περιμένει ἀγώνας καί κόπος πολύς· ὕστερα ὅμως ἀκολουθεῖ χαρά ἀνείπωτη.

Ὅπως ἀκριβῶς αὐτοί πού θέλουν ν' ἀνάψουν φωτιά, στήν ἀρχή καπνίζονται καί τά μάτια τους δακρύζουν καί κατόπιν πετυχαίνουν αὐτό πού θέλουν. Καί μάλιστα ἡ Γραφή λέει, "ὁ Θεός μας εἶναι φωτιά πού κατακαίει"[42]. Ἔτσι πρέπει κι ἐμεῖς τή θεϊκή φωτιά νά τήν ἀνάψουμε μέσα μας μέ δάκρυα καί κόπο».

48. Εἶπε ὁ ἀββᾶς Ὑπερέχιος: «Ὁ μοναχός τή νύκτα τήν κάνει μέρα ἀγρυπνώντας καί ἐπιμένοντας στήν προσευχή. Ἔτσι κατανύσσοντας τήν καρδιά του χύνει δάκρυα καί ἐπικαλεῖται ἀπό τόν οὐρανό ἔλεος».

49. Κάποιοι ἀδελφοί ἐπισκέφθηκαν τόν ἀββᾶ Φίλικα, ἔχοντας μαζί τους ἀνθρώπους κοσμικούς, καί τόν παρακάλεσαν νά τούς πεῖ ἕνα λόγο, ἀλλά ὁ Γέροντας σιωποῦσε. Καθώς ὅμως τόν παρακαλοῦσαν πολλή ὥρα, τούς εἶπε: «Θέλετε ν' ἀκούσετε κάποιο λόγο;» Τοῦ λένε: «Ναί, ἀββᾶ», καί ὁ Γέροντας τούς εἶπε: «Τώρα πιά δέν ὑπάρχει λόγος. Ἄλλοτε, ὅταν ρωτοῦσαν τούς Γέροντες οἱ ἀδελφοί καί ἔκαμναν ὅσα τούς ἔλεγαν, ὁ Θεός τούς φώτιζε πῶς νά μιλήσουν. Τώρα ὅμως, ἐπειδή ρωτοῦν βέβαια, ἀλλά δέν τηροῦν αὐτά πού ἀκοῦν, ὁ Θεός πῆρε ἀπό τούς Γέροντες τή χάρη κι ἔτσι δέν βρίσκουν τί νά ποῦν, γιατί ἀκριβῶς δέν ὑπάρχει αὐτός πού θά τά ἐφαρμόσει». Ὅταν τά ἄκουσαν αὐτά οἱ ἀδελφοί στέναξαν καί εἶπαν: «Ἀββᾶ, προσευχήσου γιά μᾶς».

50. Ἔλεγαν γιά τόν ἀββᾶ Ὢρ* καί τόν ἀββᾶ Θεόδωρο

42. Δευτ. 4, 24· Ἑβρ. 12, 29.

ὅτι ἦσαν βάλλοντες πηλὸν εἰς κελλίον καὶ εἶπον πρὸς ἀλλήλους ὅτι· Ἐὰν ἐπισκέψηται ἡμᾶς ἄρτι ὁ Θεός, τί ποιοῦμεν; Καὶ κλαύσαντες ἀφῆκαν τὸν πηλὸν καὶ ἀνεχώρησεν ἕκαστος πρὸς τὸ κελλίον ἑαυτοῦ.

51. Γέροντός τινος πλησίον ᾤκει ἀδελφὸς ἀμελέστερος μικρὸν ἐν τῷ μοναχικῷ ὑπάρχων. Τούτου μέλλοντος ἀποθνῄσκειν παρεκάθηντό τινες τῶν πατέρων· καὶ θεωρῶν αὐτὸν ὁ Γέρων ἱλαρῶς καὶ μετὰ χαρᾶς ἐκδημοῦντα τοῦ σώματος καὶ βουλόμενος οἰκοδομῆσαι τοὺς ἀδελφοὺς λέγει αὐτῷ· Ἀδελφέ, πίστευσον πάντες γινώσκομεν ὅτι οὐ πάνυ σπουδαῖος ἐγένου εἰς τὴν ἄσκησιν καὶ πόθεν οὕτως προθύμως πορεύῃ; Καὶ λέγει ὁ ἀδελφός· Πίστευσον, πάτερ, ἀλήθειαν εἶπας· πλὴν ἀφ' ἧς ἐγενόμην μοναχὸς οὐκ οἶδα ὅτι ἔκρινα ἄνθρωπον, ἀλλ' εὐθὺς τῇ αὐτῇ ἡμέρᾳ διηλλάγην αὐτῷ καὶ βούλομαι εἰπεῖν τῷ Θεῷ· Σὺ εἶπας, δέσποτα, μὴ κρίνετε καὶ οὐ μὴ κριθῆτε καὶ ἄφετε καὶ ἀφεθήσεται ὑμῖν. Λέγει αὐτῷ ὁ Γέρων· Εἰρήνη σοι, τέκνον, ὅτι καὶ δίχα κόπου ἐσώθης.

52. Εἶπε Γέρων ὅτι ἦν τις ἀδελφὸς οἰκῶν εἰς τὰ Κελλία. Καὶ ποιήσας ἔτη εἴκοσι σχολάζων τῇ ἀναγνώσει νυκτὸς καὶ ἡμέρας, ἀναστὰς ἐν μιᾷ ἐπώλησε τὰ βιβλία, ὅσα ἐκέκτητο, καὶ λαβὼν τὸ μηλωτάριον αὐτοῦ ἀπῆλθεν εἰς τὴν ἐσωτέραν ἔρημον. Ἀπαντᾷ δὲ αὐτῷ ὁ ἀββᾶς Ἰσαὰκ καὶ λέγει αὐτῷ· Ποῦ πορεύῃ, τέκνον; Καὶ ἀπεκρίθη ὁ ἀδελφὸς λέγων· Ἔχω εἴκοσι

43. Ματθ. 7, 1. 44. Ματθ. 6, 15.

ὅτι ἔριχναν πηλό σέ κελί καί εἶπαν μεταξύ τους: «Ἄν μᾶς ἐπισκεφθεῖ αὐτή τήν ὥρα ὁ Θεός, τί κάνουμε;» Καί χύνοντας δάκρυα κατανύξεως ἄφησαν τόν πηλό καί ἔφυγε ὁ καθένας γιά τό κελί του.

51. Κοντά σ' ἕναν Γέροντα ἔμενε ἕνας ἀδελφός, κάπως ἀμελής στούς κανόνες τῆς μοναχικῆς ζωῆς. Ὅταν ἦρθε ἡ ὥρα ὁ ἀδελφός αὐτός νά πεθάνει, δίπλα του κάθονταν μερικοί πατέρες. Κάποια στιγμή ὁ Γέροντας, βλέποντάς τον νά φεύγει ἀπ' τόν κόσμο αὐτόν μέ εὔθυμη καί χαρούμενη διάθεση κι ἐπειδή ἤθελε νά οἰκοδομήσει τούς ἄλλους ἀδελφούς, τοῦ λέει: «Συγχώρα με, ἀδελφέ, ὅλοι γνωρίζουμε ὅτι στήν ἄσκηση δέν ἦσουν πολύ ἐπιμελής. Πῶς λοιπόν μέ τόση προθυμία φεύγεις τώρα γιά τήν ἄλλη ζωή;» Ὁ ἀδελφός ἀπάντησε: «Ἔτσι εἶναι, πάτερ, τήν ἀλήθεια εἶπες· ὅμως ξέρω ὅτι ἀπό τή στιγμή πού ἔγινα μοναχός δέν ἔκρινα κανέναν ἄνθρωπο· ἄν συνέβη καμιά φορά μέ κάποιον κάτι, ἀμέσως τήν ἴδια μέρα συμφιλιώθηκα μαζί του. Καί τώρα θέλω νά πῶ στόν Θεό: Κύριε, Ἐσύ εἶπες "μήν κρίνετε καί δέν θά κριθεῖτε"[43] καί "νά συγχωρεῖτε τούς ἄλλους καί θά σᾶς συγχωρεθοῦν τά δικά σας ἁμαρτήματα"[44]. Τοῦ λέει ὁ Γέροντας: «Εἰρήνη νά ἔχεις, παιδί μου, γιατί σώθηκες καί δίχως κόπο μάλιστα».

52. Ἕνας Γέροντας εἶπε ὅτι κάποιος ἀδελφός πού ἔμενε στά Κελλία[45], ἀφοῦ γιά εἴκοσι χρόνια νύχτα-μέρα καταγινόταν μέ τήν ἀνάγνωση, μιά μέρα πούλησε ὅσα βιβλία εἶχε ἀποκτήσει, πῆρε τόν τρίχινο μανδύα του καί ξεκίνησε νά πάει στήν πιό βαθιά ἔρημο. Στόν δρόμο τόν συναντᾶ ὁ ἀββᾶς Ἰσαάκ καί τοῦ λέει: «Ποῦ πηγαίνεις, παιδί μου;» Καί ὁ ἀδελφός ἀποκρίθηκε: «Πάτερ, ἔχω εἴκοσι χρόνια πού

45. Βλ. Εἰσαγ. σελ. 22-23.

χρόνους, πάτερ, ἀκούων τοὺς λόγους τῶν βιβλίων, ἄρτι δὲ θέλω λοιπὸν ἄρξασθαι καὶ εἰς τὸ ἔργον, ὅπερ ἤκουσα ἐκ τῶν βιβλίων. Καὶ ποιήσας αὐτῷ εὐχὴν ὁ Γέρων ἀπέλυσεν αὐτόν.

53. Παρεβάλομεν εἰς Κάνωβον Ἀλεξανδρείας ἀπὸ δέκα μιλίων τῆς πόλεως καὶ συνετύχομεν τῷ ἀββᾷ Θεοδώρῳ, ἀνθρώπῳ ἀσκητῇ καὶ χάρισμα ὑπομονῆς ἔχοντι. Οὗτος διηγήσατο ἡμῖν ὅτι· Ἦν τις ἀδελφὸς οἰκῶν εἰς τὰ Κελλία καὶ ἐκέκτητο τὸ χάρισμα κατανύξεως. Συνέβη οὖν ἐν μιᾷ τῶν ἡμερῶν καὶ ἀπὸ πόνου καρδίας ἦλθεν αὐτῷ δακρύων πλῆθος καὶ ἰδὼν ὁ ἀδελφὸς ἔλεγεν ἐν ἑαυτῷ· Ἀληθῶς τοῦτο σημεῖόν ἐστι ὅτι ἐγγὺς ἡ ἡμέρα τοῦ θανάτου μου. Καὶ ὡς τοῦτο ἐλογίζετο, ἔτι τὰ δάκρυα ἐπληθύνοντο καί, ὡς ἔβλεπε ταῦτα πληθυνόμενα, πάλιν ἔλεγεν· Ἀληθῶς ἤγγικεν ὁ καιρός· καὶ καθ' ἡμέραν πλείω καὶ πλείω ἐδάκρυεν.

Ὠφεληθέντων δὲ ἡμῶν μεγάλως ἐκ τοῦ διηγήματος τοῦ Γέροντος, ἠρωτήσαμεν αὐτὸν περὶ τῶν δακρύων, τὸ διὰ τί ποτὲ μὲν ἀφ' ἑαυτῶν ἔρχονται, ποτὲ δὲ οὐδὲ μετὰ πόνου ἔρχονται, καὶ εἶπεν ὁ Γέρων· Τὰ δάκρυα ὅμοιά εἰσι τῷ χειμῶνι καὶ τῷ ὑετῷ, ὁ δὲ μοναχὸς ὁ γεωργός ἐστιν. Ὀφείλει οὖν ἐρχομένων ἀγωνίσασθαι, ἵνα μὴ ἀπώληται ἐξ αὐτοῦ τίποτε, ἀλλ' ὅλον εἰσέλθῃ εἰς τὸ κηπεῖον καὶ ποτίσῃ αὐτό. Λέγω γὰρ ὑμῖν, τέκνα, ὅτι πολλάκις εὑρίσκεται μία ἡμέρα βροχῆς προάγουσα ὅλον τοῦ ἐνιαυτοῦ καὶ σῴζουσα ὅλους τοὺς καρπούς· καὶ διὰ τοῦτο, ὅταν νοήσωμεν ὅτι ἦλθεν, ἀγωνισώμεθα καὶ φυλάξωμεν ἑαυτοὺς καὶ σχολάσωμεν τοῦ δεηθῆναι τοῦ Θεοῦ ἐκτενῶς· οὐ γὰρ οἴδαμεν ἄλλην ἡμέραν εἰ εὕροιμεν τὸν ὑετὸν ἐκεῖνον.

46. Βλ. ὑποσημ. 4 σελ. 242.

ἀκούω τούς λόγους τῶν βιβλίων· ἀπό τώρα καί στό ἑξῆς θέλω νά ἀρχίσω καί στήν πράξη νά ἐφαρμόζω αὐτά ἀκριβῶς πού ἄκουσα ἀπό τά βιβλία». Τότε ὁ Γέροντας τοῦ ἔδωσε εὐχή καί τόν ἄφησε νά φύγει.

53. Κάποτε πήγαμε στόν Κάνωβο[46] τῆς Ἀλεξάνδρειας, σέ ἀπόσταση δέκα μίλια ἀπό τήν πόλη, καί συναντήσαμε τόν ἀββᾶ Θεόδωρο, ἄνθρωπο ἀσκητή καί μέ χάρισμα ὑπομονῆς. Αὐτός μᾶς διηγήθηκε τό ἑξῆς: «Ἦταν ἕνας ἀδελφός πού κατοικοῦσε στά Κελλία καί εἶχε ἀποκτήσει τό χάρισμα τῆς κατάνυξης. Μιά μέρα, ὕστερα ἀπό πόνο καρδιᾶς, τοῦ συνέβη νά τοῦ ἔρθουν δάκρυα πολλά, πού βλέποντάς τα ὁ ἀδελφός ἔλεγε μέσα του: "Ἀληθινά, αὐτό εἶναι σημάδι ὅτι κοντεύει ἡ μέρα τοῦ θανάτου μου". Καθώς τό σκεφτόταν αὐτό, ἀκόμη περισσότερο πλήθαιναν τά δάκρυά του καί, καθώς ἔβλεπε αὐτά νά πληθαίνουν, πάλι ἔλεγε: "Στ' ἀλήθεια, πλησίασε ὁ καιρός", καί κάθε μέρα ὅλο καί περισσότερο δάκρυζε».

Ἐπειδή ὠφεληθήκαμε πολύ ἀπ' αὐτή τή διήγηση τοῦ Γέροντα, τόν ρωτήσαμε γιά τά δάκρυα· γιατί δηλαδή ἄλλοτε ἔρχονται ἀπό μόνα τους, ἐνῶ ἄλλοτε οὔτε καί μετά ἀπό κόπο ἔρχονται, καί ὁ Γέροντας μᾶς εἶπε: «Τά δάκρυα μοιάζουν μέ τήν κακοκαιρία καί τή βροχή· ὁ μοναχός εἶναι ὁ γεωργός. Ὅταν λοιπόν ἔρχονται τά δάκρυα, ὀφείλει νά προσπαθήσει νά μή χαθεῖ τίποτε ἀπ' αὐτή τή βροχή, ἀλλά ὅλη νά εἰσχωρήσει στόν μικρό του κῆπο καί νά τόν ποτίσει. Σᾶς λέω ἐπίσης, παιδιά μου, ὅτι πολλές φορές συμβαίνει μιά μόνο μέρα βροχῆς νά φέρει τή βροχή μιᾶς ὁλόκληρης χρονιᾶς καί νά περισώσει ὅλους τούς καρπούς. Γι' αὐτό, ὅταν καταλάβουμε ὅτι ἦρθε, νά ἀγωνιστοῦμε καί νά φυλάξουμε τούς ἑαυτούς μας καί νά ἀφοσιωθοῦμε στήν προσευχή πρός τόν Θεό μέ ζῆλο καί προθυμία, γιατί δέν ξέρουμε ἄν ἐκείνη τή βροχή θά τή βροῦμε ἄλλη μέρα».

Ἡμεῖς οὖν πάλιν ἠρωτήσαμεν λέγοντες· Καὶ πῶς φυλάττει τις, πάτερ, τὴν κατάνυξιν, ὅτε ἔρχεται; Ἀπεκρίθη ὁ Γέρων· Ἵνα μὴ παραβάλῃ πρὸς ἄνθρωπον τῇ ἡμέρᾳ ἐκείνῃ ἢ τῷ χρόνῳ καὶ ἵνα φυλάξῃ τὴν ἑαυτοῦ κοιλίαν καὶ τὴν καρδίαν τοῦ μὴ φαντασθῆναι ὅτι ὅλως κλαίει καὶ σχολάσῃ τῇ εὐχῇ καὶ τῇ ἀναγνώσει. Πλὴν ὅταν ἔλθῃ ἡμῖν τὸ πένθος, αὐτὸ διδάσκει ἡμᾶς τὰ πράγματα τὰ φέροντα αὐτὸ καὶ κωλύοντα αὐτό.

Καὶ διηγήσατο λέγων· Οἶδα ἀδελφὸν καθήμενον ἐν τῷ κελλίῳ αὐτοῦ καὶ ἐργαζόμενον τὴν σειράν· καὶ κατερχομένων αὐτοῦ τῶν δακρύων ἀνίστατο εἰς εὐχὴν καὶ εὐθέως ἐκωλύοντο· καὶ πάλιν καθήμενος ἐκράτει τὴν σειρὰν καὶ συνήγαγεν αὐτοῦ τὸν νοῦν καὶ εὐθέως ἤρχοντο. Καὶ ἐπὶ ἀναγνώσματος ὁμοίως· ὅτε κατενύσσετο, ἠγείρετο καὶ εὐθέως ἀφίσταντο· καὶ ὡς μόνον ἐκράτει τὸ βιβλίον, πάλιν ἤρχοντο. Καὶ τότε εἶπεν ὁ ἀδελφὸς ὅτι καλῶς εἶπον οἱ πατέρες ὅτι τὸ πένθος διδάσκαλός ἐστιν. Αὐτὸ γὰρ διδάσκει τὸν ἄνθρωπον ὅλα τὰ συμφέροντα αὐτῷ.

54. Διηγήσατο Γέρων ὅτι ἀδελφός τις ἀναχωρεῖν βουλόμενος ἐκωλύετο ὑπὸ τῆς ἰδίας μητρός. Ὁ δὲ οὐκ ἐπαύετο τοῦ σκοποῦ λέγων· Σῶσαι θέλω τὴν ψυχήν μου. Ὡς δὲ πολλὰ σπουδάσασα ἐμποδίσαι αὐτὸν οὐκ ἴσχυσεν, ὕστερον παρεχώρησεν. Ἀπελθὼν δὲ καὶ μονάσας ἐν ἀμελείᾳ τὴν ἑαυτοῦ κατηνάλωσε ζωήν.

Ἐγένετο δὲ τὴν μητέρα αὐτοῦ ἀποθανεῖν· καὶ μετὰ χρόνον ἀσθενήσαντα αὐτὸν ἀσθένειαν μεγάλην, γενέσθαι ἐν

Ἐμεῖς ἔπειτα τόν ξαναρωτήσαμε: «Καί πῶς, πάτερ, φυλάγει κανείς τήν κατάνυξη;» Κι ὁ Γέροντας ἀποκρίθηκε: «Μέ τό νά μή συναντᾶ ἐκείνη τήν ἡμέρα ἤ ἐκεῖνο τόν καιρό, πού ἔρχεται ἡ κατάνυξη, κανέναν ἄνθρωπο· ἐπίσης μέ τό νά νηστεύει καί νά φυλάγει τόν νοῦ του, ὥστε νά μή φανταστεῖ ὅτι ὁλοκληρωτικά πῆρε τό χάρισμα νά κλαίει, καί μέ τό νά ἀφοσιωθεῖ στήν προσευχή καί στήν ἀνάγνωση. Πάντως ὅταν ἔρθει σέ μᾶς τό πένθος, ἐκεῖνο τό ἴδιο μᾶς διδάσκει ποιά πράγματα τό φέρνουν καί ποιά τό ἐμποδίζουν».

Ἐπίσης μᾶς διηγήθηκε τό ἑξῆς: «Ξέρω ἕναν ἀδελφό πού καθόταν στό κελί του κι ἔπλεκε φοινικοβλαστούς. Ὅταν τοῦ ἔρχονταν τά δάκρυα, σηκωνόταν γιά προσευχή, ἀλλά ἀμέσως αὐτά ἐμποδίζονταν. Πάλι καθόταν καί συνέχιζε τό πλέξιμο, συγκέντρωνε τόν νοῦ του καί τά δάκρυα ἀμέσως ἔρχονταν. Τό ἴδιο καί στά ἀναγνώσματα· ὅταν τοῦ ἐρχόταν κατάνυξη, σηκωνόταν καί τά δάκρυα ἀμέσως τοῦ ἔφευγαν, καί μόλις ἔπιανε στά χέρια του τό βιβλίο, πάλι ἔρχονταν. Τότε ὁ ἀδελφός αὐτός κατάλαβε πώς καλά εἶπαν οἱ πατέρες ὅτι τό πένθος εἶναι δάσκαλος· γιατί μόνο του διδάσκει στόν ἄνθρωπο ὅλα αὐτά πού τοῦ εἶναι συμφέροντα».

54. Διηγήθηκε ἕνας Γέροντας ὅτι κάποιος ἀδελφός ἤθελε νά φύγει γιά νά μονάσει, ἀλλά τόν ἐμπόδιζε ἡ ἴδια ἡ μητέρα του. Αὐτός ὅμως δέν παραιτοῦνταν ἀπό τόν σκοπό του καί ἔλεγε: «Θέλω νά σώσω τήν ψυχή μου». Ἡ μητέρα του ἄν καί προσπάθησε πολύ νά τόν ἐμποδίσει, δέν τά κατάφερε καί τελικά ὑποχώρησε στήν ἐπιθυμία του.

Ἔφυγε λοιπόν, ἔγινε καί μοναχός, ἀλλά ξόδεψε τή ζωή του μέ ἀμέλεια.

Κάποτε πέθανε ἡ μητέρα του καί μετά ἀπό ἕνα χρονικό διάστημα συνέβη νά ἀρρωστήσει κι αὐτός πολύ βαριά καί

ἐκστάσει καὶ ἁρπαγῆναι εἰς τὴν κρίσιν καὶ εὑρεῖν τὴν ἑαυτοῦ μητέρα μετὰ τῶν κρινομένων.

Ἐκείνη οὖν ὡς εἶδεν αὐτὸν κατεπλάγη καὶ εἶπε· Τί ἐστι τοῦτο, τέκνον; Καὶ σὺ εἰς τὸν τόπον τοῦτον ἐλθεῖν κατεκρίθης; Καὶ ποῦ οἱ λόγοι σου οὓς ἔλεγες ὅτι· Σῶσαι θέλω τὴν ψυχήν μου;

Ἐντραπεὶς οὖν ἐφ᾽ οἷς ἤκουσε, κατώδυνος ἵστατο μὴ ἔχων τι πρὸς αὐτὴν ἀποκρίνασθαι. Κατ᾽ οἰκονομίαν δὲ τοῦ φιλανθρώπου Θεοῦ μετὰ τὸ ἰδεῖν ταῦτα, ἐγένετο αὐτὸν ἀναλαβεῖν ἀπὸ τῆς ἐπικειμένης ἀσθενείας αὐτῷ· καὶ λογισάμενος θεόθεν αὐτῷ γενέσθαι τὴν τοιαύτην ἐπισκοπήν, κατακλείσας ἑαυτὸν ἐκάθητο φροντίζων τῆς σωτηρίας ἑαυτοῦ, μετανοῶν καὶ κλαίων ἐφ᾽ οἷς ἔπραξεν ἐν ἀμελείᾳ τὸ πρότερον. Τοσαύτη δὲ ἦν αὐτοῦ ἡ κατάνυξις, ὥστε πολλοὺς παρακαλεῖν αὐτὸν ἐνδοῦναι μικρὸν μήποτε καὶ βλάβην τινὰ ὑπομείνῃ διὰ τὴν ἀμετρίαν τοῦ κλαυθμοῦ. Ὁ δὲ οὐκ ἤθελε παρακληθῆναι λέγων· Εἰ τὸν ὀνειδισμὸν τῆς μητρός μου οὐκ ἤνεγκα, πῶς τὴν ἐπὶ Χριστοῦ καὶ τῶν ἁγίων ἀγγέλων αἰσχύνην ἐνέγκω ἐν ἡμέρᾳ κρίσεως;

55. Εἶπε Γέρων ὅτι· Εἰ ἐνεδέχετο ἐν τῇ παρουσίᾳ τοῦ Χριστοῦ μετὰ τὴν ἀνάστασιν ἀπὸ τοῦ φόβου ἐξελθεῖν τὰς ψυχὰς τῶν ἀνθρώπων, πᾶς ὁ κόσμος ἀπέθνησκεν ἀπὸ φρίκης καὶ ἐκστάσεως. Οἷον γὰρ ἐστιν ἰδεῖν οὐρανοὺς σχιζομένους καὶ τὸν Θεὸν ἀποκαλυπτόμενον μετ᾽ ὀργῆς καὶ ἀγανακτήσεως καὶ στρατιὰς ἀναριθμήτους ἀγγέλων καὶ ὁμοῦ πᾶσαν τὴν ἀνθρωπότητα θεάσασθαι. Δι᾽ ὃ οὕτως ὀφείλομεν ζῆν, ὡς καθ᾽ ἑκάστην λόγον ἀπαιτούμενοι ἀπὸ τοῦ Θεοῦ τῆς διαγωγῆς ἡμῶν.

56. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Πῶς ἔρχεται ὁ

κάποια στιγμή ἦρθε σέ ἔκσταση καί ἁρπάχθηκε στήν κρίση· ἐκεῖ βρῆκε τή μητέρα του ἀνάμεσα στούς κατάδικους.

Ἐκείνη λοιπόν, μόλις τόν εἶδε, ἔκπληκτη τοῦ λέει: «Τί συμβαίνει, παιδί μου; Καί σύ καταδικάσθηκες νά 'ρθεῖς στόν τόπο αὐτό; Καί ποῦ πῆγαν τά λόγια πού ἔλεγες: Θέλω νά σώσω τήν ψυχή μου;»

Ντροπιάστηκε βέβαια μ' αὐτά πού ἄκουσε καί στεκόταν καταλυπημένος μή μπορώντας νά τῆς δώσει καμιά ἀπάντηση. Οἰκονόμησε ὅμως ὁ φιλάνθρωπος Θεός καί μετά τό ὅραμα αὐτό ἀνέλαβε ἀπό τήν ἀσθένειά του. Καί ἐπειδή σκέφθηκε ὅτι ἀπό τόν Θεό τοῦ ἔγινε μιά τέτοια ἐπίσκεψη, ἔγινε ἔγκλειστος καί φρόντιζε γιά τή σωτηρία του, μετανοώντας καί κλαίοντας γιά ὅσα μές στήν ἀμέλεια του ἔκανε πιό μπροστά. Καί τόσο μεγάλη ἦταν ἡ κατάνυξή του, ὥστε πολλοί τόν παρακαλοῦσαν νά ὑποχωρήσει λίγο, μήπως καί πάθει κάποια ζημιά ἀπό τό ὑπερβολικό κλάμα. Αὐτός ὅμως δέν παρηγοριόταν μέ τίποτε καί ἔλεγε: «'Εάν δέν μπόρεσα νά ἀντέξω τόν ἐξευτελισμό ἀπό τή μητέρα μου, πῶς θά σηκώσω κατά τήν ἡμέρα τῆς κρίσεως τήν αἰσχύνη μπροστά στόν Χριστό καί τούς ἁγίους ἀγγέλους;»

55. Εἶπε κάποιος Γέροντας: «'Εάν ὑπῆρχε περίπτωση, κατά τήν παρουσία τοῦ Θεοῦ μετά τήν ἀνάσταση, νά ξεψυχήσουν ἀπό φόβο οἱ ἄνθρωποι, ὅλος ὁ κόσμος θά πέθαινε ἀπό τρόμο καί ἔκπληξη. Τί θέαμα θά εἶναι νά βλέπει κανείς νά ἀνοίγουν οἱ οὐρανοί καί τόν Θεό νά ἐμφανίζεται μέ ὀργή καί ἀγανάκτηση καί ἀναρίθμητες στρατιές ἀγγέλων, καί μαζί ὁλόκληρη τήν ἀνθρωπότητα!

Γι' αὐτό ὀφείλουμε νά ζοῦμε ἔτσι, ὡσάν κάθε μέρα νά ζητάει ὁ Θεός νά λογοδοτοῦμε γιά τόν τρόπο τῆς ζωῆς μας».

56. Ἕνας ἀδελφός ρώτησε κάποιον Γέροντα: «Πῶς

φόβος τοῦ Θεοῦ εἰς τὰς ψυχάς; Καὶ εἶπεν ὁ Γέρων· Ἐὰν ἔχῃ ἄνθρωπος τὴν ταπείνωσιν καὶ τὴν ἀκτημοσύνην καὶ τὸ μὴ κρίνειν, ἔρχεται αὐτῷ ὁ φόβος τοῦ Θεοῦ.

57. Ἀδελφὸς παρέβαλε Γέροντι καὶ ἠρώτα αὐτὸν λέγων· Ἀββᾶ, πόθεν ἡ καρδία μου σκληρά ἐστιν καὶ οὐ φοβοῦμαι τὸν Θεόν; Λέγει αὐτῷ ὁ Γέρων· Νομίζω ὅτι, ἐὰν ἄνθρωπος κρατήσῃ τὸν ἔλεγχον ἐν τῇ καρδίᾳ αὐτοῦ, κτᾶται τὸν φόβον τοῦ Θεοῦ. Λέγει αὐτῷ ὁ ἀδελφός· Τί ἐστιν ἔλεγχος; Εἶπε δὲ αὐτῷ ὁ Γέρων· Ἵνα ἄνθρωπος ἐν παντὶ πράγματι ἐλέγχῃ τὴν ἑαυτοῦ ψυχὴν λέγων αὐτῇ· Μνήσθητι ὅτι δεῖ σε τῷ Θεῷ ἀπαντῆσαι. Λέγειν δὲ καὶ τοῦτο ὅτι· Τί θέλω ἐγὼ μετὰ ἀνθρώπου; Λογίζομαι ὅτι, ἐάν τις ἐν τούτῳ παραμείνῃ, ἥξει αὐτῷ ὁ φόβος τοῦ Θεοῦ.

58. Γέρων τις εἶδε τινὰ γελῶντα καὶ λέγει αὐτῷ· Ἔμπροσθεν οὐρανοῦ καὶ γῆς ὅλου τοῦ βίου ἡμῶν ἔχομεν δοῦναι λόγον καὶ σὺ γελᾷς;

59. Εἶπε Γέρων· Ὥσπερ τὴν σκιὰν ἑαυτῶν πανταχοῦ περιφέρομεν, οὕτως ὀφείλομεν τὸ κλαίειν ἔχειν καὶ τὴν κατάνυξιν μεθ' ἑαυτῶν, ὅπου ἐάν ἐσμεν.

60. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Τί ποιήσω; Καὶ εἶπεν αὐτῷ· Δακρύειν ὀφείλομεν πάντοτε. Συνέβη γάρ τινα

47. Τό νόημα τῆς φράσης εἶναι: «Γιά ποιόν λόγο νά ἀνακατεύομαι μέ τά ἀνθρώπινα, ἀφοῦ συνεχῶς στή σκέψη μου πρέπει νά κυριαρχεῖ ἡ συνάντηση μέ τόν Θεό;».

ἔρχεται ὁ φόβος τοῦ Θεοῦ στίς ψυχές;» Ὁ Γέροντας ἀπάντησε: «Ἄν ὁ ἄνθρωπος ἔχει τήν ταπείνωση καί τήν ἀκτημοσύνη καί τό νά μήν κρίνει τούς ἄλλους, θά 'ρθει ὁ φόβος τοῦ Θεοῦ σ' αὐτόν».

57. Ἕνας ἀδελφός ἐπισκέφθηκε κάποιον Γέροντα καί τόν ρώτησε: «Ἀββᾶ, γιά ποιόν λόγο ἡ καρδιά μου εἶναι σκληρή καί δέν φοβοῦμαι τόν Θεό;» Καί τοῦ εἶπε ὁ Γέροντας: «Νομίζω πώς ἄν ἕνας ἄνθρωπος ἔχει παντοτινό ἔλεγχο μέσα του, ἀποκτᾶ τόν φόβο τοῦ Θεοῦ». Τόν ξαναρωτᾶ ὁ ἀδελφός: «Καί τί εἶναι ἔλεγχος;» Καί ἀπαντᾶ ὁ Γέροντας: «Εἶναι τό νά ἐλέγχει ὁ ἄνθρωπος σέ κάθε περίπτωση τίς κινήσεις τῆς ψυχῆς του λέγοντας στόν ἑαυτό του: "Θυμήσου ὅτι κάποια ὥρα θά συναντήσεις τόν Θεό". Νά προσθέτει καί αὐτό: "Τί ἔχω ἐγώ νά κάνω μέ τούς ἀνθρώπους;"[47] Νομίζω πῶς ἄν μείνει κανείς σταθερά σ' αὐτά, θά 'ρθεῖ ὁ φόβος τοῦ Θεοῦ μέσα του».

58. Εἶδε κάποτε ἕνας Γέροντας κάποιον νά γελᾶ καί τοῦ λέει: «Πρόκειται νά ἀπολογηθοῦμε ἐνώπιον οὐρανοῦ καί γῆς γιά ὅλη μας τή ζωή καί σύ γελᾶς;»

59. Εἶπε ἕνας Γέροντας: «Ὅπως μᾶς συνοδεύει παντοῦ ἡ σκιά μας, κατά τόν ἴδιο τρόπο πρέπει νά ἔχουμε μέσα μας τά δάκρυα καί τή συντριβή, ὅπου κι ἄν βρισκόμαστε»[48].

60. Κάποιος ἀδελφός ρώτησε ἕναν Γέροντα: «Τί νά κάνω;» Καί τοῦ εἶπε ὁ Γέροντας: «Ὀφείλουμε νά χύνουμε

48. Πρβλ.: «Δυνατὸν οὖν ἐστι τοῖς πᾶσιν οὐ μόνον τοῖς μοναχοῖς, ἀλλὰ καὶ τοῖς λαϊκοῖς, τὸ ἀεὶ καὶ διηνεκῶς μετανοεῖν καὶ κλαίειν καὶ δέεσθαι τῷ Θεῷ, καὶ διά τῶν τοιούτων πράξεων καὶ τάς λοιπάς ἀρετάς κτήσασθαι» (Ἁγίου Συμεών τοῦ Νέου Θεολόγου *Κατήχησις* 5, 122-125).

τῶν πατέρων κοιμηθῆναί ποτε καὶ μετὰ πολλὴν ὥραν πάλιν ἐλθεῖν εἰς ἑαυτὸν καὶ ἠρωτήσαμεν αὐτὸν λέγοντες· Τί εἶδες ἐκεῖ, ἀββᾶ; Καὶ διηγήσατο ἡμῖν κλαίων· Ἤκουσα ἐκεῖ φωνὴν κλαυθμοῦ λεγόντων ἀδιαλείπτως· Οὐαί μοι, οὐαί μοι· οὕτως ὀφείλομεν καὶ ἡμεῖς πάντοτε λέγειν.

61. Ἠρώτησεν ἀδελφός τινα Γέροντα λέγων· Πῶς ἐπιθυμεῖ ἡ ψυχή μου δακρύων, ὥσπερ ἀκούω τοὺς Γέροντας, καὶ οὐκ ἔρχονται καὶ θλίβεταί μου ἡ ψυχή; Καὶ εἶπεν αὐτῷ ὁ Γέρων· Οἱ υἱοὶ Ἰσραὴλ διὰ τεσσαράκοντα ἐτῶν εἰσῆλθον εἰς τὴν γῆν τῆς ἐπαγγελίας. Τὰ δάκρυα οὖν εἰσιν ἡ γῆ τῆς ἐπαγγελίας, εἰς ἣν ἐὰν ἐπανέλθῃς, οὐκέτι φοβῇ πόλεμον· οὕτως γὰρ θέλει ὁ Θεὸς θλίβεσθαι τὴν ψυχήν, ἵνα πάντοτε ἐπιθυμῇ εἰς τὴν γῆν ἐκείνην εἰσελθεῖν.

62. Ἀδελφὸς σπουδαῖος ἦλθεν ἀπὸ ξένης καὶ ἔμεινεν εἰς μικρὸν κελλίον ἐν τῷ Σινᾷ ὄρει. Καὶ ὡς ἦλθε τῇ πρώτῃ ἡμέρᾳ, ἵνα καθίσῃ, εὗρεν εἰς μικρὸν ξύλον ἐπιγεγραμμένον ὑπὸ τοῦ ποτε μείναντος ἐκεῖ ἀδελφοῦ οὕτως· Μωυσῆς Θεοδώρου πάρειμι καὶ μαρτυρῶ. Καὶ ἐτίθει ὁ ἀδελφὸς τὸ ξύλον πανημέριον πρὸ τῶν ὀφθαλμῶν αὐτοῦ καὶ ἠρώτα ὡς παρόντα τὸν γράψαντα· Ποῦ εἶ ἄρα ἄρτι, ἄνθρωπε, ὅτι λέγεις πάρειμι καὶ μαρτυρῶ; Ἄρα εἰς ποῖον κόσμον εἶ τῇ ὥρᾳ ταύτῃ, ἄρα ποῦ ἐστιν ἡ χεὶρ ἡ ταῦτα γράψασα;

Καὶ οὕτως πᾶσαν ἡμέραν ποιῶν, τοῦ θανάτου μνημονεύων διέμεινε θρηνῶν. Εἶχε δὲ ἐργόχειρον τὸ καλλιγραφι-

49. Ἑβρ. 11, 9.

50. Τό ὄρος Σινᾶ βρίσκεται στό νότιο τμῆμα τῆς ὁμωνύμου Χερσονήσου πρός τήν πλευρά τοῦ κόλπου τῆς Ἄκαμπα. Εἶναι τμῆμα τῆς Πετραίας Ἀραβίας. Στήν κορυφή τοῦ ὄρους αὐτοῦ ἔλαβε τίς πλάκες τοῦ Νόμου ὁ Μωυσῆς.

δάκρυα πάντοτε. Συνέβη κάποτε κάποιος ἀπό τούς πατέρες νά πεθάνει καί μετά ἀπό πολλή ὥρα ἐπανῆλθε στόν ἑαυτό του καί τόν ρωτήσαμε: "Τί εἶδες ἐκεῖ, ἀββᾶ;" Καί μᾶς εἶπε τότε κλαίοντας: "Ἄκουσα ἐκεῖ ἕναν ἀσταμάτητο θρῆνο ἀπ' αὐτούς πού ἔλεγαν ἀλίμονό μου, ἀλίμονό μου". Τό ἴδιο καί ἐμεῖς ὀφείλουμε νά λέμε πάντοτε».

61. Ἀδελφός ζήτησε ἀπό κάποιον Γέροντα νά μάθει λέγοντας: «Πόσο ἐπιθυμεῖ ἡ ψυχή μου τά δάκρυα, καθώς ἀκούω τούς Γέροντες νά μιλοῦν γι' αὐτά, ἀλλά δέν ἔρχονται καί θλίβομαι». Καί ὁ Γέροντας τοῦ εἶπε: «Οἱ Ἰσραηλίτες περίμεναν σαράντα χρόνια γιά νά μποῦν στή γῆ τῆς ἐπαγγελίας[49]. Τά δάκρυα εἶναι ἡ γῆ τῆς ἐπαγγελίας, στήν ὁποία ἐάν ἐπιστρέψεις, δέν ἔχεις στό ἑξῆς νά φοβηθεῖς πόλεμο. Ἔτσι ὁ Θεός θέλει νά θλίβεται ἡ ψυχή, γιά νά ἐπιθυμεῖ πάντοτε νά μπεῖ στή χώρα ἐκείνη».

62. Ἕνας ἀδελφός ἀγωνιστής ἦρθε ἀπό τά ξένα καί ἔμεινε σέ ἕνα μικρό κελί στό ὄρος Σινᾶ[50]. Τήν πρώτη μέρα κιόλας πού ἦρθε, γιά νά μονάσει, βρῆκε πάνω σέ ἕνα μικρό ξύλο γραμμένο ἀπό τόν ἀδελφό, πού ἄλλοτε ἔμενε ἐκεῖ, τό ἑξῆς: «Ὁ Μωυσῆς ὁ γιός τοῦ Θεοδώρου εἶμαι παρών καί μαρτυρῶ».

Ὁ ἀδελφός ἔβαζε τό ξύλο ὁλημερίς μπροστά στά μάτια του καί ρωτοῦσε αὐτόν πού τό εἶχε γράψει, σάν νά ἦταν παρών: «Ἄραγε, ποῦ εἶσαι τώρα, ἄνθρωπε, γιατί λές "εἶμαι παρών καί μαρτυρῶ"; Ἄραγε σέ ποιόν κόσμο βρίσκεσαι αὐτή τήν ὥρα; Ἄραγε, ποῦ εἶναι τό χέρι πού τά ἔγραψε αὐτά;»

Ἔτσι κάνοντας κάθε μέρα, ἔχοντας δηλαδή τόν νοῦ του στόν θάνατο, θρηνοῦσε ὅλο τόν καιρό. Ὡς ἐργόχειρο εἶχε τήν

κὸν καὶ λαβὼν παρὰ τῶν ἀδελφῶν χαρτία καὶ ἐπιταγὴν γραψίμων, ἀπέθανε μηδενὶ μηδὲν γράψας· μόνον δὲ εἰς μικρὸν πιττάκιον γράψας καὶ ἐάσας εἰς τὰ χαρτία ἑκάστου λέγων· Συγχωρήσατέ μοι, κύριοί μου καὶ ἀδελφοί, ὅτι μικρὸν ἔργον εἶχον μετά τινος καὶ δι' ἐκεῖνο οὐκ εὐκαίρησα ὑμῖν γράψαι.

63. Τούτου πλησίον ἔμενεν ἄλλος ἀδελφὸς Ἐλήσιος τυγχάνων. Καὶ ἐν μιᾷ ἀπερχομένου αὐτοῦ εἰς τὸ Κάστρον λέγει τῷ ἀδελφῷ τῷ καλλιγράφῳ· Ποίησον ἀγάπην, ἀδελφέ, καὶ φρόντισον τοῦ κήπου ὡς ὅτι ἔρχομαι. Λέγει αὐτῷ ὁ ἀδελφός· Πίστευσον, ὅσον δύναμαι οὐκ ἀμελῶ. Καὶ ἀπελθόντος τοῦ ἀδελφοῦ λέγει ἐν ἑαυτῷ· Ταπεινέ, ὡς ὅτι εὗρες εὐκαιρίαν, φρόντισον τοῦ κήπου. Καὶ σταθεὶς ἀπὸ ἑσπέρας εἰς κανόνα μέχρι πρωὶ οὐκ ἐπαύσατο μετὰ δακρύων ψάλλων καὶ εὐχόμενος· ὡσαύτως καὶ ὅλην τὴν ἡμέραν· ἦν γὰρ ἁγία Κυριακή.

Ἐλθὼν οὖν εἰς ὀψὲ ὁ ἀδελφὸς ὁ γείτων αὐτοῦ εὗρεν ὅτι τὰ χοιρογρύλλια ἠφάνισαν τὸν κῆπον καὶ λέγει αὐτῷ· Ὁ Θεὸς συγχωρήσει σοι, ἀδελφέ, ὅτι οὐκ ἐφρόντισας τοῦ κήπου. Ὁ δὲ λέγει· Ὁ Θεὸς οἶδεν, ἀββᾶ, τὴν δύναμίν μου ἐποίησα καὶ ἐφύλαξα, ἵνα δώσῃ ἡμῖν καρπὸν τὸ μικρὸν κηπίον. Λέγει ὁ ἀδελφός· Φύσει, ἀδελφέ, ὅλον ἠρημώθη. Λέγει ὁ καλλιγράφος· Οἶδα, ἀλλὰ πιστεύω τῷ Θεῷ ὅτι πάλιν ἀνθήσει. Λέγει αὐτῷ ὁ κύριος τοῦ κήπου· Ἐλθέ, ποτίσωμεν. Λέγει αὐτῷ ὁ ἀδελφός· Ὕπαγε, πότισον σὺ ἄρτι κἀγὼ ποτίζω τῇ νυκτί.

Γενομένης δὲ ἀβροχίας ἐλυπεῖτο ὁ κηπουρὸς καὶ λέγει τῷ γείτονι αὐτοῦ τῷ καλλιγράφῳ· Πίστευσον, ἀδελφέ, εἰ μὴ ὁ

51. Ἐλήσιος: καταγόμενος ἀπό τήν Ἐϊλάτ, ἀρχαία πόλη στόν μυχό τοῦ Αἰλανίτη κόλπου (ἀνατολικά τῆς χερσ. Σινᾶ), κοντά στή σημερινή Ἄκαμπα.

καλλιγραφία καί ἐνῶ εἶχε πάρει ἀπό τούς ἀδελφούς χαρτιά καί παραγγελίες γιά τό τί θά γράψει, πέθανε χωρίς νά γράψει γιά κανέναν τίποτε. Ἔγραψε μόνο καί ἄφησε στά χαρτιά καθενός ἕνα μικρό σημείωμα πού ἔλεγε τό ἑξῆς: «Ἀφέντες μου καί ἀδελφοί μου, νά μέ συγχωρήσετε, γιατί εἶχα λίγη ἐργασία μέ κάποιον καί γι' αὐτό δέν εὐκαίρησα νά γράψω τίς παραγγελίες σας».

63. Κοντά σ' αὐτόν ἔμενε ἕνας ἄλλος ἀδελφός, Ἐλήσιος[51]. Μιά μέρα καθώς αὐτός ἔφευγε γιά τό Κάστρο[52], λέει στόν ἀδελφό τόν καλλιγράφο: «Ἀδελφέ, δεῖξε ἀγάπη καί φρόντισε τόν κῆπο, μέχρι νά γυρίσω». Τοῦ λέει ὁ ἀδελφός: «Ἔχε ἐμπιστοσύνη, ὅσο μπορῶ δέν θά ἀμελήσω». Ὅταν ἔφυγε ὁ ἀδελφός, λέει στόν ἑαυτό του: «Ταπεινέ, μιά καί βρῆκες εὐκαιρία, φρόντισε τόν κῆπο». Στάθηκε, λοιπόν, γιά τόν κανόνα του ἀπό τό ἀπόγευμα μέχρι τό πρωί καί δέν σταμάτησε μέ δάκρυα νά ψάλλει καί νά προσεύχεται· τό ἴδιο καί ὅλη τή μέρα· γιατί ἦταν ἡ ἁγία μέρα, ἡ Κυριακή.

Ὅταν ἀργά τό ἀπόγευμα γύρισε ὁ γείτονας ἀδελφός του καί εἶδε ὅτι οἱ σκαντζόχοιροι εἶχαν καταστρέψει τόν κῆπο, τοῦ λέει: «Ἀδελφέ, ὁ Θεός ἄς σέ συγχωρήσει, πού δέν φρόντισες τόν κῆπο». Κι αὐτός εἶπε: «Ὁ Θεός ξέρει, ἀββᾶ. Ἔκανα ὅ,τι μποροῦσα καί τόν πρόσεξα, γιά νά μᾶς δώσει καρπό ὁ μικρός κῆπος». Λέει ὁ ἀδελφός: «Φυσικά, ἀδελφέ, ρημάχτηκε ὁλόκληρος». Λέει ὁ καλλιγράφος: «Τό ξέρω, ἀλλά πιστεύω στόν Θεό ὅτι πάλι μέ τή βοήθειά του θά ἀνθίσει». Λέει σ' αὐτόν ὁ κύριος τοῦ κήπου: «Ἔλα, ἄς τόν ποτίσουμε». Τοῦ λέει ὁ ἀδελφός: «Πήγαινε, πότισε ἐσύ τώρα κι ἐγώ θά ποτίσω τή νύχτα».

Ἐπειδή ὅμως ἦρθε ἀναβροχιά, λυπόταν ὁ κηπουρός καί λέει στόν καλλιγράφο γειτονά του: «Πίστεψέ με, ἀδελ-

52. Ἐννοεῖ τήν ἱερά μονή Σινᾶ.

Θεὸς βοηθήσει, οὐκ ἔχομεν ὕδωρ ἐφέτος. Λέγει κἀκεῖνος· Οὐαὶ ἡμῖν, ἀδελφέ, ἐὰν ξηρανθῶσιν αἱ πηγαὶ τοῦ κήπου, ἀληθῶς οὐκέτι ἔχομεν σωτηρίαν. Αὐτὸς δὲ περὶ τῶν δακρύων ἔλεγεν.

Ὅτε οὖν ἔμελλεν ἀποθνῄσκειν οὗτος ὁ καλὸς ἀγωνιστὴς παρεκάλεσε τὸν Ἐλήσιον τὸν γείτονα αὐτοῦ λέγων· Ποίησον ἀγάπην, μηδενὶ εἴπῃς ὅτι ἀσθενῶ, ἀλλὰ παράμεινον ὧδε τὴν σήμερον καί, ὅταν κοιμηθῶ, ἆρόν μου τὸ σῶμα καὶ ῥίψον αὐτὸ εἰς τὴν ἔρημον, ἵνα καταφάγωσιν αὐτὸ τὰ θηρία καὶ τὰ πετεινά· διότι ἥμαρτεν τῷ Θεῷ πολλὰ καὶ οὐκ ἔστιν ἄξιον ταφῆναι. Λέγει αὐτῷ ὁ κηπουρὸς ὁ Ἐλήσιος· Πίστευσον, ἀββᾶ, διακρίνεται ἡ ψυχή μου ποιῆσαι τοῦτο τὸ πρᾶγμα. Ἀπεκρίθη αὐτῷ ὁ ἀσθενῶν· Τὸ κρῖμα τοῦτο ἐπάνω μου καὶ λόγον σοι δίδωμι, ὅτι, ἐὰν ἀκούσῃς καὶ ποιήσῃς οὕτως καὶ δυνηθῶ, βοηθήσω σοι. Καὶ ἀποθανόντος αὐτοῦ αὐτῇ τῇ ἡμέρᾳ ἐποίησεν ὁ ἀδελφὸς ὡς διετάξατο αὐτῷ καὶ ἔρριψε τὸ σῶμα αὐτοῦ γυμνὸν εἰς τὴν ἔρημον. Ἔμενον γὰρ ἀπὸ εἴκοσι μιλίων τοῦ Κάστρου εἰς τὸ λεγόμενον Μετεμέρ.

Τῇ οὖν τρίτῃ ἡμέρᾳ φαίνεται αὐτῷ κατὰ τοὺς ὕπνους ὁ ἀπελθὼν πρὸς Κύριον καὶ λέγει αὐτῷ· Ὁ Θεός, ἀδελφέ, ἐλεήσει σε, ὡς ἠλέησάς με· πίστευσόν μοι μέγα ἔλεος ἐποίησέ μοι ὁ Θεός, ὑπὲρ οὗ ἔμεινεν ἄταφον τὸ σῶμά μου, λέγων μοι· Ἴδε διὰ τὴν πολλὴν ταπείνωσίν σου ἐκέλευσα εἶναί σε μετὰ Ἀντωνίου· καὶ ἰδοὺ παρεκάλεσα καὶ περὶ σοῦ. Ἀλλ' ὕπαγε, ἄφες τὸ κηπίον καὶ φρόντισον τοῦ ἄλλου κήπου· καὶ γὰρ ἐν τῇ ὥρᾳ, ὅτε ἐξῆλθεν ἡ ψυχή μου, ἐθεώρουν ὅτι τὰ δάκρυά μου ἔσβεσαν τὸ πῦρ, ὅπου ἔμελλον ἀπελθεῖν.

φέ, ἄν δέν βοηθήσει ὁ Θεός, δέν ἔχουμε νερό φέτος». Κι ἐκεῖνος τοῦ λέει: «Ἀλίμονό μας, ἀδελφέ, ἄν ξεραθοῦν οἱ πηγές τοῦ κήπου, πραγματικά δέν ἔχουμε πιά σωτηρία». Αὐτός βέβαια γιά τά δάκρυα μιλοῦσε.

Ὅταν ἦταν νά πεθάνει αὐτός ὁ καλός ἀγωνιστής, παρακάλεσε τόν Ἐλήσιο, τόν γείτονά του, λέγοντάς του: «Δεῖξε ἀγάπη. Μήν πεῖς σέ κανέναν ὅτι εἶμαι ἄρρωστος, ἀλλά μεῖνε ἐδῶ κοντά μου σήμερα, καί ὅταν πεθάνω σήκωσε τό σῶμα μου καί ρίξε το στήν ἔρημο, γιά νά τό κατασπαράξουν τά θηρία καί τά πουλιά· γιατί ἁμάρτησε πολύ στόν Θεό καί δέν τοῦ ἀξίζει νά θαφτεῖ. Τοῦ λέει ὁ κηπουρός, ὁ Ἐλήσιος: «Συγχώρα με, ἀββᾶ· διστάζει ἡ ψυχή μου νά τό κάνει αὐτό τό πράγμα». Ὁ ἄρρωστος τοῦ ἀποκρίθηκε: «Τό κρίμα αὐτό ἄς πέσει ἐπάνω μου· καί σοῦ δίνω τόν λόγο μου ὅτι, ἄν μ' ἀκούσεις καί κάνεις ἔτσι ὅπως σοῦ λέω, θά σέ βοηθήσω, ἐφόσον θά μοῦ εἶναι δυνατό». Τήν ἴδια μέρα αὐτός πέθανε καί ὁ ἀδελφός ἔκανε ὅπως τοῦ τό εἶχε ὁρίσει κι ἔριξε τό σῶμα του γυμνό στήν ἔρημο. Ἔμεναν στό Μετεμέρ εἴκοσι μίλια ἀπό τό Κάστρο.

Τήν τρίτη μέρα φανερώνεται στόν ὕπνο του ὁ ἐκδημήσας στόν Κύριο ἀδελφός καί τοῦ λέει: «Ἀδελφέ, ὁ Θεός θά σέ ἐλεήσει, ὅπως καί σύ μέ ἐλέησες. Πίστεψέ με, μεγάλη ἦταν ἡ εὐσπλαχνία τοῦ Θεοῦ σέ μένα, χάρις στό ὅτι ἔμεινε ἄταφο τό σῶμα μου. Μοῦ εἶπε: "Νά, γιά τή μεγάλη σου ταπείνωση ἔδωσα ἐντολή νά εἶσαι μαζί μέ τόν Ἀντώνιο[53]". Κι ἐκείνη τήν ὥρα παρακάλεσα καί γιά σένα. Ἀλλά πήγαινε, ἄφησε κατά μέρος τόν μικρό σου κῆπο καί φρόντισε γιά τόν ἄλλον κῆπο. Γιατί τήν ὥρα πού ἔβγαινε ἡ ψυχή μου, ἔβλεπα ὅτι τά δάκρυά μου ἔσβησαν τή φωτιά, ὅπου ἐπρόκειτο νά πάω».

---

53. Ἐννοεῖ τόν μέγα Ἀντώνιο.

64. Δύο ἀδελφοὶ σαρκικοὶ ἀπετάξαντο καὶ ἀπελθόντες ἔμειναν ἐν ὑποταγῇ πατρὸς ἐν τῷ ὄρει τῆς Νιτρίας. Ἔδωκεν οὖν ὁ Θεὸς τοῖς δυσὶ τὸ χάρισμα τῶν δακρύων καὶ τῆς κατανύξεως.

Ἐν μιᾷ οὖν θεωρεῖ ὁ Γέρων ἐν ὁράματι τοὺς δύο ἀδελφοὺς ἱσταμένους εἰς εὐχὴν καὶ κρατοῦντας χάρτας γεγραμμένους καὶ βρέχοντας αὐτοὺς τοῖς ἰδίοις δάκρυσι· καὶ τὰ μὲν γράμματα τοῦ ἑνὸς εὐχερῶς ἐλειαίνοντο, τὰ δὲ τοῦ ἑτέρου μετὰ κόπου· ἐφαίνοντο γὰρ ὡς ἀπὸ ἐγκαυστοῦ μέλανος. Ἐδεήθη οὖν ὁ Γέρων τοῦ Θεοῦ ἑρμηνευθῆναι αὐτῷ τὸ ὅραμα· καὶ παραστὰς αὐτῷ ἄγγελος Κυρίου λέγει· Τὰ γράμματα τῶν χαρτίων τὰ ἁμαρτήματα αὐτῶν εἰσι καὶ ὁ μὲν εἷς κατὰ φύσιν ἥμαρτε καὶ ἐκ τούτου εὐχερῶς λύονται τὰ πταίσματα, ὁ δὲ ἕτερος εἰς ἀκαθαρσίας καὶ ῥυπαρὰ πταίσματα ἐμολύνθη παρὰ φύσιν καὶ ἐκ τούτου κόπου περισσοτέρου χρῄζει πρὸς μετάνοιαν καὶ πολλὴν ταπείνωσιν.

Καὶ ἔκτοτε ἔλεγεν ὁ Γέρων τῷ ἀδελφῷ· Πόνησον, ἀδελφέ, ὅτι ἐγκαυστά εἰσι καὶ μετὰ κόπου λειαίνονται, καὶ οὐκ ἐφανέρωσεν αὐτῷ τὸ πρᾶγμα ἕως τῆς τελευτῆς αὐτοῦ, ἵνα μὴ κόψῃ τὴν προθυμίαν, ἀλλὰ πάντοτε μᾶλλον ἔλεγεν αὐτῷ· Κοπίασον, ἀδελφέ, ὅτι μετὰ κόπου λειαίνονται.

65. Ἄλλος τις τῶν πατέρων ἔμενεν εἰς Ῥαϊθοῦ εἰς τόπον καλούμενον Χαλκόν. Τούτῳ παρέβαλέ τις τῶν Γερόντων καὶ λέγει αὐτῷ· Ἀββᾶ, θλίβομαι ὅτι ἀπολύω ἀδελφὸν εἰς διακονίαν. Λέγει αὐτῷ· Καὶ αὐτὸς ἐγώ, ὅτε πέμπω διὰ χρείαν τὸν

54. Τό μελάνι πού χρησιμοποιοῦσαν γιά τή γραφή ἦταν μαῦρο καί τό ἔλεγαν «γραφικὸν μέλαν» ἤ ἁπλούστερα «μέλαν» καί ἀργότερα «ἔγκαυστον» ἤ

64. Δύο σαρκικοί ἀδελφοί ἀπαρνήθηκαν τόν κόσμο καί πῆγαν στό ὄρος τῆς Νιτρίας, ὅπου καί ὑποτάχτηκαν σ' ἕναν πνευματικό πατέρα. Ὁ Θεός ἔδωσε καί στούς δύο τό χάρισμα τῶν δακρύων καί τῆς κατανύξεως.

Μιά φορά λοιπόν ὁ Γέροντας σέ ὅραμα βλέπει τούς δύο ἀδελφούς νά στέκονται καί νά προσεύχονται κρατώντας στά χέρια φύλλα χαρτιοῦ γραμμένα καί νά τά βρέχουν μέ τά δάκρυά τους. Τοῦ ἑνός τά γράμματα σβήνονταν εὔκολα, ἐνῶ τοῦ ἄλλου ὕστερα ἀπό κόπο, γιατί φαίνονταν σάν νά ἦταν γραμμένα μέ ἔγκαυστη μελάνη[54]. Ὁ Γέροντας παρακάλεσε τόν Θεό νά τοῦ δοθεῖ ἐξήγηση γιά τό ὅραμα. Πραγματικά τοῦ παρουσιάστηκε ἕνας ἄγγελος Κυρίου καί τοῦ λέει: «Τά γράμματα στά χαρτιά εἶναι τά ἁμαρτήματά τους. Ὁ ἕνας μέ φυσικό τρόπο ἁμάρτησε καί γι' αὐτό εὔκολα διαλύονται τά σφάλματά του. Ὁ ἄλλος μολύνθηκε μέ ἀκάθαρτα καί βρωμερά παρά φύσιν ἁμαρτήματα καί γι' αὐτό χρειάζεται νά καταβάλει περισσότερο κόπο γιά μετάνοια καί πολλή ταπείνωση».

Ἀπό τό ὅραμα καί ὕστερα ἔλεγε ὁ Γέροντας στόν ἀδελφό: «Κόπιασε, ἀδελφέ, γιατί τά γράμματα εἶναι ἐγκαυστά καί μέ κόπο ἐξαλείφονται», ἀλλά δέν τοῦ φανέρωσε τό πράγμα μέχρι τόν θάνατό του, γιά νά μήν τοῦ κόψει τήν προθυμία. Ὡστόσο ὅλο καί περισσότερο τοῦ ἔλεγε: «Κόπιασε, ἀδελφέ, γιατί μέ κόπο σβήνουν».

65. Κάποιος ἄλλος ἀπό τούς πατέρες ἔμενε στή Ραϊθώ, σέ τόπο πού ὀνομάζεται Χαλκός. Σ' αὐτόν πῆγε ἕνας ἀπό τούς Γέροντες καί τοῦ λέει: «Ἀββᾶ, στενοχωροῦμαι πού στέλνω ἕναν ἀδελφό γιά διακονία». Τοῦ λέει ἐκεῖνος: «Κι ἐγώ ὁ ἴδιος ὅταν στέλνω τόν ὑποτακτικό μου γιά κάποια

«ἐγκαυστόν», ἐπειδή τό παρασκεύαζαν στή φωτιά.

διακονητήν μου, κάθημαι πλησίον τῆς θύρας καὶ θεωρῶ· καὶ ὅταν λέγει μοι ὁ λογισμός· ἆρα πότε ἔρχεται ὁ ἀδελφός, λέγω κἀγὼ εἶτα· ἐὰν προλάβῃ ὁ ἄλλος ἀδελφὸς καὶ ἔλθῃ ἐπαίρων σε πρὸς Κύριον, τουτέστιν ἄγγελος, τί γίνεται; Καὶ οὕτως καθ' ἡμέραν βλέπω τὴν θύραν μεριμνῶν καὶ κλαίων μου τὰς ἁμαρτίας καὶ λέγω· ἆρα ποῖος ἀδελφὸς προλαμβάνει καὶ ἔρχεται, ὁ κάτωθεν ἢ ὁ ἄνωθεν; Καὶ μεγάλως ὠφεληθεὶς ὁ Γέρων ἀνεχώρησε καὶ τὸ λοιπὸν ἐκράτησε τὴν αὐτοῦ ἐργασίαν.

66. Ἀδελφὸς σπουδαῖος ποιῶν τὸν κανόνα αὐτοῦ μετὰ τοῦ ἰδίου ἀδελφοῦ ἐνικᾶτο ὑπὸ τῶν δακρύων καὶ ἠφίει τὸν στίχον τοῦ ψαλμοῦ. Ἐν μιᾷ οὖν παρεκάλεσεν αὐτὸν ὁ ἀδελφὸς εἰπεῖν αὐτῷ τὸ τί λογιζόμενος εἰς τὸν κανόνα οὕτως πικρῶς κλαίει. Ὁ δὲ λέγει αὐτῷ· Συγχώρησόν μοι, ἀδελφέ, ἐγὼ πάντοτε εἰς τὸν κανόνα μου τὸν κριτὴν θεωρῶ καὶ ἐμὲ ὡς κατάδικον παριστάμενον καὶ ἐξεταζόμενον καὶ αὐτὸν λέγοντά μοι· Διὰ τί ἥμαρτες; Λοιπὸν μὴ γινώσκων τί ἀπολογεῖσθαι φράσσεταί μου τὸ στόμα καὶ ἐκ τούτου ἀπόλλυμι τὸν στίχον τοῦ ψαλμοῦ· ἀλλὰ συγχώρησόν μοι, ὅτι θλίβω σε. Καὶ ἐὰν ἀναπαύῃ, ποιήσει ἕκαστος ἡμῶν κατ' ἰδίαν τὸν κανόνα αὐτοῦ. Λέγει αὐτῷ ὁ ἀδελφός· Οὐχί, πάτερ, κἂν γὰρ μὴ πενθῶ ἐγώ, ἀλλ' ὅμως θεωρῶν σε ταλανίζω ἐμαυτόν. Καὶ θεωρήσας ὁ Θεὸς τὴν ταπείνωσιν αὐτοῦ ἐχαρίσατο αὐτῷ τὸ πένθος τοῦ ἀδελφοῦ αὐτοῦ.

67. Παρέβαλέ τις τῶν ἀδελφῶν τινι Γέροντι οἰκοῦντι εἰς τὸ Σινᾶ ὄρος καὶ παρεκάλει αὐτὸν λέγων· Πάτερ, εἰπέ μοι πῶς ὀφείλω εὔχεσθαι, πολλὰ γὰρ παρώργισα τὸν Θεόν. Λέγει αὐτῷ ὁ Γέρων· Ἐγώ, τέκνον, ὅταν εὔχωμαι, οὕτως λέγω·

ἀνάγκη, κάθομαι κοντά στήν πόρτα καί βλέπω· κι ὅταν ὁ λογισμός μοῦ λέει: "Ἄραγε πότε ἔρχεται ὁ ἀδελφός;" λέω κι ἐγώ μέ τή σειρά μου: "Ἄν ὁ ἄλλος ἀδελφός, δηλαδή ὁ ἄγγελος, προλάβει καί ἔρθει νά σέ πάρει στόν Κύριο, τί γίνεται;" Ἔτσι κάθε μέρα κοιτάζω τήν πόρτα μεριμνώντας καί κλαίοντας γιά τίς ἁμαρτίες μου καί λέω· "ἄραγε, ποιός ἀδελφός προλαβαίνει κι ἔρχεται, ὁ κάτω ἤ ὁ ἐπάνω;"» Ὁ Γέροντας ὠφελήθηκε πολύ καί ἔφυγε· καί τόν ὑπόλοιπο καιρό ἔκανε τήν ἐργασία αὐτοῦ τοῦ Γέροντα.

66. Ἕνας ἀδελφός προχωρημένος στήν πνευματική ζωή, τήν ὥρα πού ἔκαμνε τόν κανόνα του μαζί μέ τόν δικό του ἀδελφό, τοῦ ἦταν ἀδύνατο νά συγκρατήσει τά δάκρυά του καί σταματοῦσε νά λέει τόν ψαλμό. Μιά φορά ὁ ἀδελφός τόν παρακάλεσε νά τοῦ πεῖ τί σκέφτεται τήν ὥρα τοῦ κανόνα καί κλαίει τόσο πικρά. Αὐτός τοῦ εἶπε: «Συγχώρησέ με, ἀδελφέ. Ἐγώ πάντοτε ὅταν κάνω τόν κανόνα μου, βλέπω τόν κριτή κι ἐμένα τόν ἴδιο νά στέκομαι μπροστά του σάν κατάδικος καί νά ἀνακρίνομαι καί νά μοῦ λέει: "Γιατί ἁμάρτησες;" Λοιπόν, ἐπειδή δέν ἔχω τί νά ἀπολογηθῶ, μοῦ κλείνεται τό στόμα καί γι' αὐτό χάνω τόν στίχο τοῦ ψαλμοῦ. Συγχώρησέ με ὅμως, πού σέ θλίβω. Κι ἄν σέ ἀναπαύει, ἄς κάνει ὁ καθένας μας χωριστά ἀπό τόν ἄλλον τόν κανόνα του». Τοῦ λέει ὁ ἀδελφός: «Ὄχι, πάτερ· γιατί κι ἄν ἀκόμη ἐγώ δέν ἔχω πένθος, ἀλλ' ὅμως, ὅταν σέ βλέπω, κακίζω τόν ἑαυτό μου». Κι ὁ Θεός εἶδε τήν ταπείνωσή του καί χάρισε καί σ' αὐτόν τό πένθος τοῦ ἀδελφοῦ του.

67. Ἕνας ἀπό τούς ἀδελφούς πῆγε σέ κάποιον Γέροντα πού κατοικοῦσε στό ὄρος Σινᾶ καί τόν παρακάλεσε: «Πάτερ, πές μου πῶς πρέπει νά προσεύχομαι, γιατί πολύ ἐξόργισα τόν Θεό». Κι ὁ Γέροντας τοῦ λέει: «Παιδί μου,

Κύριε, ἀξίωσόν με δουλεῦσαί σοι ὡς ἐδούλευσα τῷ Σατανᾷ καὶ ἀξίωσόν με ἀγαπῆσαί σε ὡς ἠγάπησα τὴν ἁμαρτίαν.

68. Εἶπε πάλιν· Καλὸν τὸ ἐκτείνειν τὰς χεῖρας εἰς τὸν ἀέρα εἰς προσευχὴν καὶ παρακαλεῖν τὸν Θεὸν ἀχειμάστως παρελθεῖν τὴν ψυχὴν ἐν τῇ ἐξόδῳ αὐτῆς ἀπὸ πάντων τῶν ἐμποδίσαι αὐτὴν ἐπιχειρούντων ἐν τῷ ἀέρι.

69. Ἀδελφὸς μικρὸς ἐπέμφθη ὑπὸ τοῦ ἀββᾶ αὐτοῦ πρὸς τινα ἀδελφὸν ἔχοντα κῆπον ἐν τῷ Σινᾷ ἐνέγκαι μικρὰν ὀπώραν τῷ Γέροντι. Καὶ ὡς εἰσῆλθε λέγει τῷ ἀδελφῷ, τῷ κυρίῳ τοῦ κήπου· Ἔχεις, ἀββᾶ, μικρὰν ὀπώραν; εἶπεν ὁ ἀββᾶς μου. Λέγει αὐτῷ· Ναί, τέκνον, εἴ τι θέλεις, ἐστὶν ὧδε· ἆρον μετὰ καλοῦ. Λέγει ὁ μικρὸς μοναχός· Ἆρα ἔνι ὧδε τὸ ἔλεος τοῦ Θεοῦ, ἀββᾶ; Ὁ δὲ ἀκούσας ἐστάθη σύννους προσέχων χαμαὶ καὶ λέγει τῷ παιδίῳ· Τί εἶπες, τέκνον; Λέγει πάλιν τὸ παιδίον· Εἶπον ὅτι ἆρα, ἀββᾶ, ἔνι ὧδε τὸ ἔλεος τοῦ Θεοῦ; Καὶ πάλιν ἐκ τρίτου ἠρώτησεν αὐτὸν ὁ ἀδελφὸς τὸν αὐτὸν λόγον· καὶ σιωπήσας ἐπὶ μίαν ὥραν ὁ κύριος τοῦ κήπου οὐχ εὗρε τί ἀπολογήσασθαι τῷ παιδίῳ, ἀλλὰ στενάξας εἶπεν· Βοηθεῖ ὁ Θεός, τέκνον.

Καὶ ἀπολύσας τὸ παιδίον εὐθέως ἔλαβε τὸ μηλωτάριον αὐτοῦ καὶ ἐξῆλθεν εἰς τὴν ἔρημον καταλείψας τὸ κηπίον καὶ εἰπών· Ἄγωμεν, ζητήσωμεν τὸ ἔλεος τοῦ Θεοῦ· εἰ μικρὸν παιδίον ἠρώτησέ με καὶ οὐχ εὗρον δοῦναι ἀπολογίαν, τί ποιήσω ὅταν μέλλω ὑπὸ Θεοῦ ἐρωτᾶσθαι;

ἐγώ ὅταν προσεύχομαι, ἔτσι λέω: Κύριε, ἀξίωσέ με νά σέ ὑπηρετήσω, ὅπως ὑπηρέτησα τόν Σατανᾶ, κι ἀξίωσέ με νά σέ ἀγαπήσω, ὅπως ἀγάπησα τήν ἁμαρτία».

68. Εἶπε πάλι: «Καλό εἶναι ὁ ἄνθρωπος νά ἁπλώνει τά χέρια του πρός τόν οὐρανό γιά προσευχή καί νά παρακαλάει τόν Θεό, νά περάσει ἤρεμα ἡ ψυχή κατά τήν ἔξοδό της μέσα ἀπό ὅλους αὐτούς πού ἐπιχειροῦν νά τήν ἐμποδίσουν στόν ἀέρα[55]».

69. Ἕναν ἀδελφό μικρό στήν ἡλικία ὁ Γέροντάς του τόν ἔστειλε σέ κάποιον ἀδελφό, πού εἶχε κῆπο στό Σινᾶ, νά τοῦ φέρει λίγα φροῦτα. Ὁ μικρός, μόλις μπῆκε, λέει στόν ἀδελφό, τόν κάτοχο τοῦ κήπου: «Ἀββᾶ, εἶπε ὁ ἀββᾶς μου, ἔχεις λίγα φροῦτα;» Τοῦ λέει ἐκεῖνος: «Ναί, παιδί μου. Ὅ,τι θέλεις ὑπάρχει ἐδῶ· πάρε μέ τήν εὐχή μου». Λέει ὁ μικρός μοναχός: «Ἄραγε ὑπάρχει ἐδῶ τό ἔλεος τοῦ Θεοῦ, ἀββᾶ;» Αὐτός, ὅταν τ' ἄκουσε, στάθηκε συλλογισμένος, μέ τά μάτια στραμμένα στή γῆ, καί λέει στό παιδί: «Τί εἶπες, παιδί μου;» Λέει πάλι τό παιδί: «Εἶπα, ἀββᾶ, ὑπάρχει ἄραγε ἐδῶ τό ἔλεος τοῦ Θεοῦ;» Καί πάλι γιά τρίτη φορά τόν ρώτησε ὁ ἀδελφός τό ἴδιο πράγμα. Ὁ κύριος τοῦ κήπου ἔμεινε σιωπηλός ὁλάκερη ὥρα καί δέν βρῆκε τί νά ἀπολογηθεῖ στό παιδί, ἀλλά ἀναστέναξε καί εἶπε: «Παιδί μου, ὁ Θεός θά βοηθήσει» καί ἄφησε τό παιδί νά φύγει.

Εὐθύς κατόπιν πῆρε τό ἐπανωφόρι του καί βγῆκε στήν ἔρημο ἐγκαταλείποντας τόν μικρό του κῆπο καί ἔλεγε: «Ἄς πᾶμε, ἄς ζητήσουμε τό ἔλεος τοῦ Θεοῦ. Ἀφοῦ ἕνα μικρό παιδί μέ ρώτησε καί δέν εἶχα τί νά τοῦ ἀπολογηθῶ, τί θά κάνω, ὅταν πρόκειται νά μέ ρωτήσει ὁ Θεός;»

55. Βλ. ἀπόφθ. Β 22 καί ὑποσημ. 13 σελ. 254.

70. Ἀδελφὸς εἰς τὸ ὄρος τῶν Ἐλαιῶν καθήμενος κατῆλθεν ἐν μιᾷ εἰς τὴν ἁγίαν Πόλιν· καὶ προσελθὼν τῷ ἄρχοντι ἐξωμολογήσατο αὐτῷ τὰς ἁμαρτίας αὐτοῦ εἰπὼν αὐτῷ· Κόλασόν με κατὰ τοὺς νόμους. Ὁ δὲ ἄρχων θαυμάσας διεκρίθη ἐν ἑαυτῷ καὶ λέγει τῷ ἀδελφῷ· Ὄντως, ἄνθρωπε, λοιπὸν ὅτι σὺ ἀφ' ἑαυτοῦ ἐξωμολογήσω, οὐ τολμῶ κρίναι σε πρὸ τοῦ Θεοῦ, ἴσως γὰρ καὶ συνεχώρησέ σοι.

Καὶ ἀπελθὼν ὁ ἀδελφὸς ἔβαλεν ἑαυτῷ σίδηρα εἰς τοὺς πόδας καὶ εἰς τὸν τράχηλον καὶ ἀπέκλεισεν ἑαυτὸν εἰς κελλίον· καὶ εἴ ποτε ἠρώτα αὐτὸν ἄνθρωπος λέγων· Τίς ἔβαλέ σοι, ἀββᾶ, τὴν τοιαύτην ἀνάγκην τῶν σιδήρων, ἔλεγεν ὅτι ὁ ἄρχων. Πρὸ οὖν μιᾶς ἡμέρας τοῦ τελευτᾶν αὐτὸν ἠνοίγησαν ἀφ' ἑαυτῶν τὰ σίδηρα καὶ ἔπεσον ἐξ αὐτοῦ. Ἐλθὼν οὖν ὁ διακονητὴς αὐτοῦ καὶ ἰδὼν ἐθαύμασε καὶ λέγει αὐτῷ· Τίς ἔλυσε τὰ σίδηρα ἀπὸ σοῦ; Καὶ λέγει αὐτῷ· Ὁ λύσας τὰς ἁμαρτίας μου· ἐφάνη γάρ μοι χθὲς λέγων· Ἰδοὺ διὰ τὴν ὑπομονήν σου ἔλυσα πάσας τὰς ἁμαρτίας σου. Καὶ ἥψατο τῷ δακτύλῳ αὐτοῦ τῶν σιδήρων καὶ εὐθέως ἔπεσον ἀπ' ἐμοῦ. Καὶ ταῦτα εἰπὼν ὁ ἀδελφὸς εὐθέως ἀπῆλθε πρὸς Κύριον.

71. Ἦν τις ταξεώτης ἐν Σκυθοπόλει πάμπολλα δεινὰ διαπραξάμενος καὶ παντοίῳ τρόπῳ μολύνας τὸ σῶμα αὐτοῦ. Κατανυγεὶς δὲ ἐκ Θεοῦ ἀπετάξατο καὶ κτίσας ἑαυτῷ κελλίον εἰς ἔρημον τόπον εἰς χείμαρρον κάτω ἐκαθέζετο φροντίζων τῆς ἰδίας ψυχῆς. Μαθόντες οὖν τινες τῶν γνωρίμων ἤρξαντο πέμπειν αὐτῷ ἄρτους καὶ φοίνικας καὶ τὴν χρείαν αὐτοῦ. Ὁ δὲ ἰδὼν ἑαυτὸν ἐν ἀναπαύσει μηδὲν λειπόμενον,

56. Ἁγία Πόλη: ἡ Ἰερουσαλήμ.
57. Πόλη τῆς Παλαιστίνης.

70. Ἕνας ἀδελφός, πού ἔμενε στό ὄρος τῶν Ἐλαιῶν, μιά μέρα κατέβηκε στήν ἁγία Πόλη[56]. Παρουσιάστηκε στόν ἄρχοντα, τοῦ ὁμολόγησε τά πταίσματά του καί τοῦ εἶπε: «Τιμώρησέ με σύμφωνα μέ τούς νόμους». Ὁ ἄρχοντας ἀπόρησε καί ἔνιωσε κάποιο δισταγμό· κατόπιν εἶπε στόν ἀδελφό: «Ἀλήθεια, ἄνθρωπέ μου, ἐπειδή ἐσύ ἀπό μόνος σου ἐξομολογήθηκες, δέν τολμῶ νά σέ κρίνω πρίν ἀπό τόν Θεό, γιατί ἴσως καί νά σέ συγχώρεσε».

Ἔφυγε ὁ ἀδελφός, δέθηκε μόνος του μέ σίδερα στά πόδια καί στόν τράχηλο, κλείστηκε σ' ἕνα κελί καί ὅποτε τόν ρωτοῦσε κάποιος: «Ἀββᾶ, ποιός σέ ὑποχρέωσε νά βάλεις αὐτά τά σίδερα;» ἐκεῖνος ἀπαντοῦσε: «ὁ ἄρχοντας». Μιά μέρα λοιπόν πρίν ἀπό τόν θάνατό του ἄνοιξαν ἀπό μόνα τους τά σίδερα καί ἔπεσαν ἀπό πάνω του. Ὅταν ἦρθε ὁ ὑποτακτικός του καί τόν εἶδε, ἀπόρησε καί τοῦ λέει: «Ποιός σοῦ ἔλυσε τά σίδερα;» Τοῦ ἀπαντᾶ: «Ἐκεῖνος πού ἔλυσε τίς ἁμαρτίες μου· γιατί μοῦ παρουσιάστηκε χθές καί μοῦ εἶπε· "Νά, γιά τήν ὑπομονή σου σοῦ συγχώρησα ὅλες τίς ἁμαρτίες". Καί ἄγγιξε μέ τό δάχτυλό του τά σίδερα καί αὐτά ἀμέσως ἔπεσαν ἀπό πάνω μου». Ἀφοῦ εἶπε αὐτά ὁ ἀδελφός, ἔφυγε πρός τόν Κύριο.

71. Στή Σκυθόπολη[57] ἦταν ἕνας ἀκόλουθος ὑψηλοῦ προσώπου πού εἶχε κάνει πάρα πολλά φοβερά πράγματα καί εἶχε μολύνει τό σῶμα του μέ κάθε τρόπο. Ἦρθε ὅμως ἀπό τόν Θεό σέ κατάνυξη, ἀπαρνήθηκε τόν κόσμο, ἔχτισε γιά τόν ἑαυτό του ἕνα κελί σέ τόπο ἐρημικό, κάτω σέ ἕνα χείμαρρο, καί ἀσκήτευε ἐκεῖ φροντίζοντας γιά τήν ψυχή του. Μερικοί ἀπό τούς γνωστούς του, ὅταν τό πληροφορήθηκαν, ἄρχισαν νά τοῦ στέλνουν ψωμί καί χουρμάδες καί ὅ,τι ἄλλο χρειαζόταν.

Αὐτός ὅταν εἶδε ὅτι ἐξακολουθεῖ νά ζεῖ μέ ἄνεση

λέγει ἐν ἑαυτῷ· Ὄντως ἡ τοιαύτη ἀνάπαυσις τῆς ἐκεῖ ἀναπαύσεως ἐκβάλλει ἡμᾶς. Τούτων γὰρ ἐγὼ ἄξιος οὐκ εἰμί. Καταλιπὼν οὖν τὸ κελλίον αὐτοῦ ἀνεχώρησε λέγων· Ἄγωμεν, ψυχή, εἰς θλῖψιν· ἐμοὶ γὰρ χόρτος, ἡ τροφὴ τῶν ἀλόγων, πρέπει, διότι τὰ τῶν ἀλόγων ἔργα διεπραξάμην.

72. Διηγήσαντο ἡμῖν τινες ἀδελφοὶ παραβαλοῦσιν ἡμῖν ἐν Ῥαϊθοῦ ὅτι ἦν τις Γέρων πονικὸς καθήμενος εἰς τὰ σπήλαια ἄνωθεν τοῦ λεγομένου Ἰωήλ· καὶ τοιαύτην νῆψιν εἶχεν ὁ νοῦς τοῦ Γέροντος, ὥστε σχεδὸν κατὰ βῆμα ὅπου περιεπάτει, ὁτεδήποτε ἵστατο καὶ ἐπεσκέπτετο τὸν λογισμὸν αὐτοῦ καὶ ἠρώτα αὐτόν· Τί ἔνι, ἀδελφέ, ποῦ ἐσμεν; Καὶ εἰ μὲν εὕρισκε τὸν νοῦν αὐτοῦ στιχολογοῦντα ἢ εὐχόμενον, εὖ καὶ καλῶς. Εἰ δὲ εὕρισκεν αὐτὸν ἄλλο οἱονδήποτε πρᾶγμα λογιζόμενον, εὐθέως ὕβριζεν ἑαυτὸν λέγων· Δεῦρο ἐκεῖθεν κατακέφαλα εἰς τὸ ἔργον σου. Οὕτως δὲ πρὸς ἑαυτὸν πάντοτε ἔλεγεν ὁ Γέρων· Ἀδελφέ, ἐγγὺς ἡ ὥρα τοῦ ἀπελθεῖν με καὶ ἀκμὴν οὐδὲν θεωρῶ εἰς τὸ μέσον. Τούτῳ ποτὲ ἐφάνη ὁ Σατανᾶς καὶ λέγει αὐτῷ· Τί κοπιᾷς; Πίστευσον οὐ σῴζεσαι. Λέγει αὐτῷ καὶ αὐτός· Μὴ μέλει σοι, ὅταν καὶ οὐ σωθῶ τέως ἐπάνω τῆς κεφαλῆς σου εὑρίσκομαι ἱστάμενος καὶ σὺ ὑποκάτω πάντων εἰς τὴν κόλασιν.

73. Γέρων τις ἐκάθητο εἰς Ῥαϊθοῦ ἔχων ἐργασίαν τοιαύτην· καθήμενος πάντοτε ἐν τῷ κελλίῳ αὐτοῦ σύννους εἰς γῆν νενευκὼς καὶ τὴν κεφαλὴν αὐτοῦ διὰ παντὸς σείων, ἔλε-

χωρίς νά τοῦ λείπει τίποτε, εἶπε μέσα του: «Πραγματικά, αὐτή ἐδῶ ἡ ἀνάπαυση θά μᾶς βγάλει ἔξω ἀπό τήν ἐκεῖ ἀνάπαυση. Γιατί ἐγώ δέν εἶμαι ἄξιος γι' αὐτά». Ἐγκατέλειψε λοιπόν τό κελί του καί ἀναχώρησε ἀπό κεῖ λέγοντας: «Ἄς πᾶμε, ψυχή, στή θλίψη· σέ μένα ταιριάζει τό χορτάρι, ἡ τροφή τῶν ζώων, γιατί διέπραξα τά ἔργα τῶν ἀλόγων ζώων».

72. Ὅταν βρεθήκαμε στή Ραϊθώ, μερικοί ἀδελφοί μᾶς διηγήθηκαν ὅτι ὑπῆρχε ἕνας φιλόπονος Γέροντας, πού ἔμενε στά σπήλαια πιό πάνω ἀπό τό σπήλαιο πού ὀνομάζεται Ἰωήλ, καί ὅτι ὁ νοῦς αὐτοῦ τοῦ Γέροντα εἶχε τέτοια νήψη[58], ὥστε σχεδόν σέ κάθε του βῆμα, ὅπου περπατοῦσε, ὅποια ὥρα καί νά 'ταν, σταματοῦσε καί ἐξέταζε τόν λογισμό του καί τόν ρωτοῦσε: «Τί γίνεται, ἀδελφέ, ποῦ εἴμαστε;». Καί ἄν ἔβρισκε τόν νοῦ του νά λέει κάποιον ψαλμό ἤ κάποια εὐχή, πολύ καλά· ἄν ὅμως τόν ἔβρισκε νά σκέφτεται ὁποιοδήποτε ἄλλο πράγμα, ἀμέσως κακολογοῦσε τόν ἑαυτό του λέγοντας: «Μπρός ἀπό 'κεῖ, κατευθεῖαν στή δουλειά σου».

Ἐπίσης ἔλεγε πάντοτε ὁ Γέροντας στόν ἑαυτό του: «Ἀδελφέ, πλησίασε ἡ ὥρα νά ἀναχωρήσω κι ἀκόμη τίποτε δέν βλέπω στή μέση».

Σ' αὐτόν κάποτε παρουσιάστηκε ὁ Σατανᾶς καί τοῦ λέει: «Γιατί κοπιάζεις; Σέ διαβεβαιώνω δέν σώζεσαι». Τοῦ λέει κι ἐκεῖνος: «Μή νοιάζεσαι. Κι ἄν ἀκόμη δέν σωθῶ, θά στέκομαι τότε πάνω στό κεφάλι σου, ἐνῶ ἐσύ στήν κόλαση κάτω ἀπ' ὅλους».

73. Ἕνας Γέροντας ἔμενε στή Ραϊθώ κάνοντας τήν ἑξῆς ἐργασία· καθισμένος πάντοτε στό κελί του, ὅλος συλλογή γερμένος πρός τή γῆ καί κουνώντας τό κεφάλι διαρκῶς,

58. Βλ. ὑποσημ. 77α σελ. 89.

γε μετὰ στεναγμοῦ· Ἆρα τί γίνεται; Καὶ πάλιν σιωπῶν ὡς μίαν ὥραν καὶ ἐργαζόμενος τὴν σειράν, κινῶν δὲ τὴν κεφαλὴν ἀπαύστως ἔλεγεν· Ἆρα τί γίνεται; Καὶ οὕτως διετέλεσε πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ μεριμνῶν ἀεὶ τὴν ἑαυτοῦ ἔξοδον.

74. Εἶπε Γέρων· Ταῦτα τῷ μετανοοῦντι πρέπουσιν, ἰδιάσαι, μεριμνῆσαι, πενθῆσαι, ἀμεριμνῆσαι τοῦ κόσμου, μηδένα βαρῆσαι, ἑαυτὸν θλῖψαι, ἑαυτὸν ἐλέγξαι, μετὰ στενώσεως ζῆσαι, ἑαυτὸν κρῖναι, διὰ παντὸς ἀγρυπνῆσαι καὶ μετὰ πόνου καρδίας τὸν Θεὸν αἰτῆσαι τὸ ἔλεος αὐτοῦ.

75. Εἶπε Γέρων ὅτι· Ὥσπερ πᾶσα ἁμαρτία ἣν ποιήσει ἄνθρωπος ἐκτὸς τοῦ σώματός ἐστιν, ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει, διότι ἐξ αὐτοῦ ἔρχεται ὁ μιασμός, οὕτως πᾶσα ἐργασία ἣν ποιήσει ἄνθρωπος ἐκτὸς τοῦ σώματός ἐστιν, ὁ δὲ δακρύων τὴν ἰδίαν ψυχὴν καὶ τὸ σῶμα καθαρίζει· ἄνωθεν γὰρ καταβαῖνον τὸ δάκρυον ὅλον τὸ σῶμα ἀποπλύνει καὶ ἁγιάζει.

76. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Πῶς ἔρχεται, πάτερ, ἀνθρώπῳ τὸ κλαίειν; Καὶ εἶπεν ὁ Γέρων· Τὸ κλαίειν συνήθειά ἐστι· καὶ ἀδολεσχεῖν θέλει πολὺν χρόνον ὁ ζητῶν αὐτό, ἵνα ὁ νοῦς αὐτοῦ πάντοτε μεριμνᾷ τὰς ἁμαρτίας αὐτοῦ, ἃς ἔπραξεν, ἢ τὴν κόλασιν ἢ μνήμην τοῦ θανάτου καὶ ἁπλῶς ὅλων τῶν ἐλεεινῶν ἐνθυμήσεων ἢ τῶν πατέρων αὐτοῦ τὸ πῶς παρῆλθον καὶ ποῦ εἰσιν ἄρτι. Λέγει ὁ ἀδελφός· Καὶ

ἔλεγε μέ στεναγμούς: «Ἄραγε τί γίνεται;» Καί ἀφοῦ γιά κάποια ὥρα σώπαινε καί ἔπλεκε φοινικοβλαστούς, ὕστερα πάλι τό κεφάλι κουνώντας ἀκατάπαυστα ἔλεγε: «Ἄραγε τί γίνεται;» Ἔτσι πέρασε ὅλες τίς μέρες τῆς ζωῆς του, φροντίζοντας πάντα γιά τήν ἀναχώρησή του ἀπ' τόν κόσμο αὐτό.

74. Ἕνας Γέροντας εἶπε: «Σέ κεῖνον πού μετανοεῖ ἁρμόζει νά κάνει αὐτά: νά ζήσει μόνος, νά ἔχει φροντίδα γιά τήν ψυχή του, νά πενθεῖ γιά τίς ἁμαρτίες του, νά μήν ἔχει μέριμνα γιά τά πράγματα αὐτοῦ τοῦ κόσμου, κανένα νά μή στενοχωρήσει, τόν ἑαυτό του νά θλίβει, τόν ἑαυτό του νά ἐλέγχει, νά ζεῖ στερημένα, νά κρίνει τόν ἑαυτό του, πάντοτε νά ἀγρυπνεῖ καί μέ πόνο καρδιᾶς νά ζητάει ἀπό τόν Θεό τό ἔλεός του».

75. Ἕνας Γέροντας εἶπε: «Ὅπως κάθε ἁμαρτία, πού θά κάνει ὁ ἄνθρωπος, εἶναι ἔξω ἀπό τό σῶμα, ἐνῶ αὐτός πού πορνεύει ἁμαρτάνει στό σῶμα του, γιατί ἀπ' αὐτό ἔρχεται τό μόλυσμα, ἔτσι κάθε ἐργασία πού θά κάνει ὁ ἄνθρωπος εἶναι ἔξω ἀπό τό σῶμα, ἐνῶ ἐκεῖνος πού χύνει δάκρυα καθαρίζει τήν ψυχή καί τό σῶμα. Γιατί τό δάκρυ καθώς κατεβαίνει ἀπό πάνω, ξεπλένει καί ἁγιάζει ὅλο τό σῶμα».

76. Ἕνας ἀδελφός ρώτησε ἕναν Γέροντα: «Πάτερ, πῶς ἔρχονται στόν ἄνθρωπο τά δάκρυα;» Ὁ Γέροντας εἶπε: «Μέ τό κλάμα ἐξοικειώνεται κανείς· ἀλλ' ἐκεῖνος πού τό ζητάει αὐτό χρειάζεται πολύ καιρό νά ἀδολεσχεῖ, δηλαδή ὁ νοῦς του πάντοτε νά νοιάζεται γιά τίς ἁμαρτίες πού ἔκανε ἤ γιά τήν κόλαση ἤ νά φέρει στή μνήμη του τόν θάνατο καί γενικά ὅλους τούς ἄθλιους λογισμούς του· νά θυμᾶται ἀκόμη τούς προγόνους του, τό πῶς ἦρθαν καί ἔφυγαν καί ποῦ βρίσκονται τώρα».

ὀφείλει, πάτερ, ὁ μοναχὸς ἐνθυμεῖσθαι τῶν γονέων αὐτοῦ; Λέγει αὐτῷ ὁ Γέρων· Οἵαν ἐνθύμησιν οἶδας ὅτι φέρει δάκρυα τῇ ψυχῇ σου, ἀδολέσχησον εἰς αὐτήν· καὶ ὅταν ἔλθῃ τὸ δάκρυον, σὺ λοιπὸν ὅπου θέλεις μετεγκεντρίζεις αὐτὸ εἴτε εἰς τὰς ἁμαρτίας σου εἴτε εἰς ἄλλην ἀγαθὴν ἐνθύμησιν. Οἶδα γὰρ ἐγὼ ἀδελφὸν ἐργάτην ὅτι σκληρᾶς οὔσης τῆς καρδίας αὐτοῦ, πολλάκις ἔτυπτεν ἑαυτὸν καὶ ἐκ τοῦ πόνου ἔκλαιεν καὶ τότε λοιπὸν ἐνεθυμεῖτο τὰς ἁμαρτίας αὐτοῦ.

77. Εἶπε πάλιν· Τὸ λαλεῖν περὶ πίστεως καὶ ἀναγινώσκειν δόγματα ξηραίνουσι τὴν κατάνυξιν τοῦ ἀνθρώπου καὶ ἀφανίζουσιν αὐτήν, οἱ δὲ βίοι καὶ οἱ λόγοι τῶν Γερόντων φωτίζουσι τὴν ψυχήν.

78. Εἶπε πάλιν· Οὐδὲν χαλεπώτερον συνηθείας κακῆς· πόνου γὰρ πολλοῦ καὶ χρόνου χρῄζει ὁ τοιοῦτος πρὸς τὸ ἐκκόψαι αὐτήν· ἐκτὸς γὰρ χρόνου καὶ πόνου οὐ δύναται ἐκκόψαι συνήθειαν. Τὸν μὲν οὖν πόνον πολλοὶ ἔσχον, τὸν δὲ χρόνον ὀλίγοι ἔλαβον. Ἄλλοι δὲ ταχέως ἐκόπησαν ὑπὸ τοῦ θανάτου καὶ ὁ Θεὸς μόνος οἶδε τί θέλει ποιεῖν μετ᾽ αὐτῶν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

79. Ἀδελφὸς οἰκῶν ἐν κελλίῳ πολλάκις ἤρχετο καθ᾽ ἑαυτὸν εἰς ῥαθυμίαν· ἦν γὰρ πεσὼν εἰς μέγα ἁμάρτημα. Λοιπὸν πενθῶν καὶ μὴ γινώσκων τί ποιήσει ἔλεγε· Τὸ γενόμενον ἐγένετο. Καὶ ἀπεκρίνατο αὐτῷ ἡ συνείδησις αὐτοῦ· Ἀλλὰ κακῶς ἐγένετο· καὶ οὕτως ἐπένθει, ἕως θανάτου.

Τοῦ λέει ὁ ἀδελφός: «Πάτερ, ἄραγε ὀφείλει ὁ μοναχός νά σκέφτεται τούς γονεῖς του;» Τοῦ ἀπαντᾶ ὁ Γέροντας: «Ὅποια σκέψη ξέρεις ὅτι φέρνει δάκρυα στήν ψυχή σου, μεῖνε σ᾽ αὐτήν· κι ὅταν ἔρθουν τά δάκρυα, ἐσύ στή συνέχεια τά μπολιάζεις αὐτά ὅπου θέλεις, εἴτε στίς ἁμαρτίες σου εἴτε σέ ἄλλο καλό λογισμό. Γνωρίζω ἐγώ γιά κάποιον ἀδελφό φιλόπονο στήν ἄσκηση, ὅτι, ἐπειδή ἦταν σκληρή ἡ καρδιά του, πολλές φορές χτυποῦσε μόνος του τόν ἑαυτό του καί ἔκλαιγε ἀπό τόν πόνο καί τότε στή συνέχεια θυμόταν τίς ἁμαρτίες του».

77. Εἶπε πάλι: «Τό νά μιλάει κανείς γιά τήν πίστη καί νά διαβάζει τά δόγματα εἶναι πράγματα πού ξηραίνουν τήν κατάνυξη τοῦ ἀνθρώπου καί τήν ἐξαφανίζουν· ἐνῶ οἱ βίοι καί οἱ λόγοι τῶν Γερόντων δίνουν φῶς στήν ψυχή».

78. Εἶπε πάλι: «Τίποτε δέν εἶναι πιό δύσκολο ἀπό τήν κακή συνήθεια. Αὐτός πού τήν ἔχει χρειάζεται πολύ κόπο καί χρόνο γιά νά τήν κόψει σύρριζα· γιατί χωρίς χρόνο καί κόπο δέν μπορεῖ κανείς νά ξεριζώσει μία συνήθεια. Τόν κόπο βέβαια πολλοί τόν εἶχαν στή διάθεσή τους, τόν χρόνο ὅμως λίγοι τόν βρῆκαν. Καί ἄλλους σύντομα τούς ἔπληξε ὁ θάνατος καί μόνον ὁ Θεός ξέρει τί θά κάνει μ᾽ αὐτούς τήν ἡμέρα τῆς κρίσεως»[59].

79. Ἕνας ἀδελφός πού ἔμενε σέ κελί, πολλές φορές χωρίς ἀφορμή ἔπεφτε σέ ραθυμία· ὁ λόγος ἦταν ὅτι εἶχε πέσει σέ βαρύ ἁμάρτημα. Καθώς λοιπόν πενθοῦσε καί δέν ἤξερε τί νά κάνει, ἔλεγε: «Ὅ,τι ἔγινε, ἔγινε» καί ἡ συνείδησή του τοῦ ἀποκρινόταν: «Ἀλλά κακῶς ἔγινε»· καί μέ τόν τρόπο αὐτό πενθοῦσε μέχρι τόν θάνατό του.

---

59. Ἄς μή λησμονοῦμε τό τοῦ Ἀπ. Παύλου: «Ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας» (Β΄ Κορ. 6, 2).

80. Παρθένος τις ἦν εὐλαβὴς οἰκοῦσα ἐν πόλει, γείτονα ἔχουσα στρατιώτην. Κατελθούσης δέ ποτε τῆς μητρὸς αὐτῆς, εἰσπηδήσας ὁ στρατιώτης βιάζεται τὴν παρθένον. Μετὰ ταῦτα ἀποδυσαμένη τὸ σχῆμα τῆς παρθενίας ἐπὶ ψιαθίου ἐκάθισε θρηνοῦσα, διαρρήξασα καὶ τὴν ἐσθῆτα ἣν ἐφόρει. Ἀνελθούσης δὲ τῆς μητρὸς αὐτῆς διηγεῖται τὸ συμβάν. Καὶ ἔμεινεν ἐπὶ πολλὰς ἡμέρας οὕτω πενθήρης ἡ κόρη καθημένη.

Μετὰ δὲ ταῦτα παρθενεύουσαι καὶ κληρικοὶ μαθόντες συντυγχάνουσιν αὐτῇ καὶ ἄρχονται λέγειν· Ἔνδυσαι τὸ σχῆμα, οὐ παρά σοι γέγονε τὸ ἁμάρτημα. Ἡ δὲ οὐκ ἐπείσθη λέγουσα· Ἀπεβάλετό με ὁ Θεὸς καὶ πῶς ἔχω τοῦ Θεοῦ μὴ θελήσαντός με τὸ σχῆμα ἀναλαβεῖν; Οὐκ ἠδύνατο ὁ Θεὸς κωλῦσαι τὸ τόλμημα; Εἰ δὲ ἀναξίαν με εἶδεν τοῦ σχήματος, οὕτω μένω. Ἔμεινεν οὖν μέχρι τελευτῆς ὀδυρομένη καὶ κλαίουσα ἐν σωτηριώδει πένθει μεθ' ὑπερβαλλούσης κατανύξεως.

81. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Πῶς ἡ ψυχή μου ἀγαπᾷ τὴν ἀκαθαρσίαν; Λέγει αὐτῷ ὁ Γέρων· Ἡ μὲν ψυχὴ θέλει τὰ πάθη, ἀλλὰ τὸ Πνεῦμα τοῦ Θεοῦ ἐστι τὸ κρατοῦν αὐτήν. Κλαίειν ὀφείλομεν ἐπὶ ταῖς ἑαυτῶν ἁμαρτίαις καὶ ἀκαθαρσίαις. Εἶδες τὴν Μαρίαν ὅτε ἔκυψεν εἰς τὸ μνημεῖον καὶ ἔκλαιεν, πῶς ἐφώνει αὐτὴν ὁ Κύριος; Οὕτως ἔσται καὶ ἡ ψυχή.

82. Εἶπε Γέρων ὅτι· Ἄνθρωπος καθήμενος εἰς τὸ κελλίον αὐτοῦ καὶ μελετῶν ἐν τοῖς ψαλμοῖς, ὅμοιός ἐστιν ἀν-

80. Κάποια κόρη εὐλαβής, κατοικοῦσε μέσα σέ μιά πόλη καί εἶχε γείτονα ἕνα στρατιώτη. Κάποια μέρα πού ἡ μητέρα της κατέβηκε στήν ἀγορά, πήδησε μέσα στό σπίτι της ὁ στρατιώτης καί τήν ἐβίασε. Μετά ἀπό τό γεγονός αὐτό, ἐπειδή ἀπογυμνώθηκε ἀπό τήν περιβολή τῆς παρθενίας, κάθισε πάνω σέ ψαθί θρηνώντας, ἀφοῦ ἔσχισε καί τό ροῦχο ἀκόμη πού φοροῦσε. Ὅταν ἐπέστρεψε ἡ μητέρα της, τῆς διηγήθηκε αὐτό πού συνέβη. Καί ἔμεινε γιά πολλές μέρες ἡ κόρη πενθώντας κατά τόν ἴδιο τρόπο.

Κάποτε πού τά πληροφορήθηκαν αὐτά ἄλλες νέες τῆς τάξεως τῶν παρθένων καί κληρικοί, τή συνάντησαν καί ἄρχισαν νά τῆς λένε: «Τό φορᾶς τό ἔνδυμα τῆς παρθενίας, δέν ἔγινε ἀπό σένα τό ἁμάρτημα». Αὐτή ὅμως δέν πείσθηκε καί ἔλεγε: «Μοῦ τό ἀφήρεσε ὁ Θεός· καί πῶς μπορῶ νά τό ξαναπάρω τό ἔνδυμα, ἀφοῦ ὁ Θεός δέν θέλει; Δέν μποροῦσε ὁ Θεός νά ἐμποδίσει τήν τολμηρή αὐτή πράξη; Καί ἐφόσον μέ βρῆκε ἀνάξια γιά τό σχῆμα, ἄς παραμένω ἔτσι». Καί ἔμεινε μέχρι τόν θάνατό της θρηνώντας καί χύνοντας δάκρυα μέσα σέ πένθος σωτήριο μέ μιά ξεχωριστή κατάνυξη.

81. Ἕνας ἀδελφός ρώτησε κάποιον Γέροντα: «Γιά ποιόν λόγο ἡ ψυχή μου ἀγαπᾶ τήν ἀκαθαρσία;» Καί ὁ Γέροντας τοῦ εἶπε: «Ἡ ψυχή θέλει τά πάθη, ἀλλά τό Πνεῦμα τοῦ Θεοῦ εἶναι πού τή συγκρατεῖ. Πρέπει νά χύνουμε δάκρυα γιά τίς ἁμαρτίες μας καί τίς ἀκάθαρτες διαθέσεις μας. Εἶδες τή Μαρία, ὅταν ἔσκυψε στό μνῆμα καί ἔκλαιε, πῶς τῆς μίλησε ὁ Κύριος[60]; Τό ἴδιο θά συμβεῖ καί μέ τήν ψυχή».

82. Ἕνας Γέροντας εἶπε: «Ἕνας ἄνθρωπος πού κάθεται στό κελί του καί μελετάει τούς ψαλμούς, μοιάζει μέ ἄνθρω-

60. Ἰω. 20, 11-16.

θρώπῳ ζητοῦντι τὸν βασιλέα· ὁ δὲ μετὰ κλαυθμοῦ αἰτῶν τοὺς πόδας κρατεῖ τοῦ βασιλέως ζητῶν τὸ ἔλεος παρ᾽ αὐτοῦ, ὥσπερ ἡ πόρνη πεποίηκεν.

83. Εἶπε Γέρων· Συνήθισον κατὰ μικρὸν τὴν καρδίαν σου περὶ ἑνὸς ἑκάστου τῶν ἀδελφῶν λέγειν· Ἐν ἀληθείᾳ οὗτος προάγει μου κατὰ Θεόν. Καὶ πάλιν· Οὗτος σπουδαιότερός μού ἐστι. Καὶ οὕτως λοιπὸν ἔρχῃ εἰς τὸ ἔχειν ἑαυτὸν ὑποκάτω πάντων καὶ οἰκεῖ τὸ Πνεῦμα τοῦ Θεοῦ ἐν σοί. Ἐὰν δὲ ἐξουδενώσῃς ἄνθρωπον, ἀναχωρεῖ ἡ χάρις τοῦ Θεοῦ ἀπὸ σοῦ καὶ παραδίδως σεαυτὸν εἰς μολυσμοὺς σαρκὸς καὶ σκληρύνεταί σου ἡ καρδία καὶ οὐδεμία κατάνυξις εὑρίσκεται ἐν σοί.

84. Εἶπε Γέρων· Φύσει ἐάν ἐστιν ἄνθρωπος ἀγωνιστής, ἀπαιτεῖ ὁ Θεὸς παρ᾽ αὐτοῦ πᾶσαν ἀπροσπάθειαν, ἕως μικροῦ ῥαφιδίου· δύναται γὰρ καὶ τοῦτο ἐμποδίσαι αὐτοῦ τὸν λογισμὸν ἐκ τῆς ἀδολεσχίας τοῦ Ἰησοῦ καὶ τοῦ πένθους.

85. Εἶπε πάλιν· Οὐαί σοι, ψυχή, ὅτι ἐσυνήθισας ἐρωτᾶν μόνον τὸν λόγον τοῦ Θεοῦ καὶ ἀκούειν, μηδὲν δὲ ποιεῖν ἐξ ὧν ἀκούεις· οὐαί σοι, σῶμα, ὅτι ἔγνως τὰ μολύνοντά σε καὶ πάντοτε αὐτὰ ζητεῖς, τὴν χορτασίαν καὶ τὴν τρυφήν· οὐαὶ τῷ νεωτέρῳ πληροῦντι γαστέρα αὐτοῦ καὶ πιστεύοντι τῷ θελήματι αὐτοῦ, ὅτι εἰς μάτην ἡ ἀποταγὴ αὐτοῦ.

πο πού ζητάει τόν βασιλιά. Ἐνῶ ἐκεῖνος πού θρηνώντας ζητάει κάτι, κρατάει τά πόδια τοῦ βασιλιά, παρακαλώντας νά βρεῖ ἔλεος ἀπό μέρους του, ὅπως εἶχε κάνει ἡ πόρνη[61]».

83. Εἶπε ἕνας Γέροντας: «Λίγο-λίγο συνήθισε τήν καρδιά σου νά λέει γιά τόν καθέναν ἀπό τούς ἀδελφούς: "Στ᾽ ἀλήθεια, αὐτός εἶναι πιό προχωρημένος ἀπό μένα στόν δρόμο τοῦ Θεοῦ". Καί πάλι: "Αὐτός εἶναι καλύτερος ἀπό μένα"[62]. Καί ἔτσι σιγά-σιγά θά φθάσεις στό σημεῖο νά βάζεις τόν ἑαυτό σου κάτω ἀπό ὅλους, καί θά κατοικήσει μέσα σου τό Πνεῦμα τοῦ Θεοῦ. Ἐνῶ, ἄν περιφρονήσεις ἕναν ἄνθρωπο, φεύγει ἡ χάρη τοῦ Θεοῦ ἀπό σένα καί παραδίνεις τόν ἑαυτό σου σέ σαρκικούς μολυσμούς καί σοῦ σκληρύνεται ἡ καρδιά καί δέν θά ὑπάρχει καμιά κατάνυξη μέσα σου».

84. Εἶπε ἕνας Γέροντας: «Ἐάν ἀπό τή φύση του ἕνας ἄνθρωπος εἶναι ἀγωνιστής, ὁ Θεός ζητάει ἀπό αὐτόν νά μήν ἔχει καμιά προσκόλληση οὔτε καί σέ μιά μικρή βελόνα· γιατί μπορεῖ καί μόνον αὐτή νά ἐμποδίσει τόν λογισμό του ἀπό τήν ἀδολεσχία[63] τοῦ Ἰησοῦ καί ἀπό τό πένθος».

85. Εἶπε πάλι: «Ἀλίμονό σου, ψυχή, γιατί συνήθισες μόνο νά ζητᾶς τόν λόγο τοῦ Θεοῦ καί νά τόν ἀκοῦς καί τίποτε νά μήν κάνεις ἀπό ὅσα ἀκοῦς. Ἀλίμονό σου, σῶμα, γιατί ξέρεις αὐτά πού σέ μολύνουν καί πάντοτε αὐτά ζητᾶς, τόν χορτασμό καί τήν ἀπόλαυση. Ἀλίμονο στόν νεώτερο πού γεμίζει τήν κοιλιά του καί δίνει ἐμπιστοσύνη στό θέλημά του, γιατί ἔτσι εἶναι μάταιη ἡ ἀπάρνηση τοῦ κόσμου πού ἔκανε».

61. Λουκ. 7, 44-49. 62. Φιλ. 2, 3. 63. Βλ. ὑποσημ. 82 σελ. 92

86. Ἀδελφὸς οἰκῶν εἰς τὰ Μονίδια, πολλάκις ἐξ ἐνεργείας τοῦ διαβόλου ἔπιπτεν εἰς πορνείαν καὶ ἔμενε βιαζόμενος ἑαυτὸν μὴ καταλεῖψαι τὸ σχῆμα, ἀλλὰ βάλλων τὴν μικρὰν αὐτοῦ λειτουργίαν παρεκάλει τὸν Θεὸν μετὰ στεναγμοῦ λέγων· Κύριε, κἂν θέλω, κἂν μὴ θέλω, σῶσόν με, ὅτι ἐγὼ ὡς πηλὸς τὴν ἁμαρτίαν ποθῶ, ἀλλὰ σὺ ὡς Θεὸς δυνατὸς κώλυσόν με. Ἐὰν γὰρ τὸν δίκαιον ἐλεήσῃς, οὐδὲν μέγα· καὶ ἐὰν τὸν καθαρὸν σώσῃς, οὐδὲν θαυμαστόν· ἄξιοι γὰρ τοῦ ἐλεηθῆναί εἰσι. Εἰς ἐμέ, Δέσποτα, θαυμάστωσον τὰ ἐλέη σου καὶ εἰς τοῦτο δεῖξον τὴν φιλανθρωπίαν σου, ὅτι σοὶ ἐγκαταλέλειπται ὁ πτωχός.

Ταῦτα οὖν καθ' ἡμέραν εἴτε ἔπιπτεν εἴτε οὐκ ἔπιπτεν ἔλεγεν. Ἐν μιᾷ οὖν πεσὼν εἰς τὴν κατὰ συνήθειαν ἁμαρτίαν, νυκτὸς ἀνέστη εὐθέως καὶ ἤρξατο τοῦ κανόνος. Ὁ δὲ δαίμων θαυμάσας τὴν ἐλπίδα αὐτοῦ καὶ τὴν ἀναίδειαν αὐτοῦ τὴν ἀγαθὴν πρὸς τὸν Θεόν, φαίνεται αὐτῷ ὀφθαλμοφανῶς καὶ λέγει αὐτῷ· Ἐν ὅσῳ ψάλλεις, πῶς οὐκ ἐρυθριᾷς ἢ ὅλως στῆναι ἐνώπιον τοῦ Θεοῦ ἢ ὀνομάσαι τὸ ὄνομα αὐτοῦ; Λέγει αὐτῷ ὁ ἀδελφός· Τὸ κελλίον τοῦτο χαλκεῖόν ἐστι, μίαν σφύραν δίδως καὶ μίαν λαμβάνεις· ὑπομένω οὖν ἕως θανάτου πρὸς σὲ παλαίων καὶ ὅπου λοιπὸν φθασθῶ τῇ ἐσχάτῃ ἡμέρᾳ. Καὶ ὅρκοις σε πληροφορῶ, μὰ τὸν ἐλθόντα καλέσαι ἁμαρτωλοὺς εἰς μετάνοιαν, οὐ μὴ παύσομαι κατὰ σοῦ προσευχόμενος τῷ Θεῷ, ἕως οὗ παύσει καὶ σὺ πολεμεῖν με καὶ ἴδωμεν τίς νικᾷ, σὺ ἢ ὁ Θεός.

Ταῦτα ἀκούσας ὁ δαίμων λέγει αὐτῷ· Καὶ ὄντως λοιπὸν οὐκέτι πολεμῶ σε, ἵνα μὴ διὰ τῆς ὑπομονῆς σου στέ-

---

64. Πρβλ. Ψαλμ. 9, 35. 65. Πρβλ. Ψαλμ. 39, 1-2 καί Ματθ. 7, 7-8.

86. Κάποιος ἀδελφός πού κατοικοῦσε στά Μονίδια, συχνά ἀπό διαβολική ἐνέργεια ἔπεφτε στό ἁμάρτημα τῆς πορνείας· ἀλλά ἔμενε σταθερός ἀσκώντας βία στόν ἑαυτό του, γιά νά μήν ἀποβάλει τό μοναχικό σχῆμα· καί ἀρχίζοντας τή σύντομη ἀκολουθία του, παρακαλοῦσε μέ στεναγμούς τόν Θεό λέγοντας: «Κύριε, εἴτε τό θέλω εἴτε ὄχι, σῶσε με, γιατί ἐγώ καθώς εἶμαι χωματένιος ποθῶ τήν ἁμαρτία, ἀλλά ἐσύ ὡς δυνατός Θεός ἐμπόδισέ με. Ἄν ἐλεήσεις τόν δίκαιο, δέν εἶναι αὐτό κάτι σπουδαῖο. Ἄν σώσεις τόν καθαρό, τίποτε τό θαυμαστό, γιατί αὐτοί ἀξίζουν νά ἐλεηθοῦν ἀπό σένα. Κάνε, Δέσποτα, σέ μένα νά φανεῖ τό θαῦμα τοῦ ἐλέους σου καί δεῖξε τή φιλανθρωπία σου, γιά τόν λόγο ὅτι ἐγώ ὁ πτωχός ἔχω ἐγκαταλειφθεῖ στά δικά σου χέρια[64]».

Κάθε μέρα λοιπόν ἐπαναλάμβανε αὐτά τά λόγια εἴτε ἔπεφτε στό ἁμάρτημα εἴτε ὄχι. Κάποια φορά λοιπόν πού κατά τή συνήθειά του ἔπεσε πάλι στήν ἁμαρτία, τή νύχτα σηκώθηκε ἀμέσως καί ἄρχισε τόν κανόνα του. Τότε ὁ δαίμονας θαυμάζοντας τήν ἐλπίδα του καί τήν παρρησία του στόν Θεό, φάνηκε ὁλόσωμος στά μάτια του καί τοῦ λέει: «Πῶς δέν κοκκινίζεις ἀπό ντροπή, καθώς ψάλλεις, ἤ καί μόνο νά στέκεσαι ἐνώπιον τοῦ Θεοῦ καί νά ἐπικαλεῖσαι τό ὄνομά του;». Τοῦ ἀπαντᾶ ὁ ἀδελφός: «Τό κελί μου τοῦτο εἶναι σιδηρουργεῖο, δίνεις μιά σφυριά καί μιά παίρνεις. Μέ ὑπομονή θά παραμείνω σταθερός παλεύοντας ἐναντίον σου μέχρι τοῦ θανάτου μου καί ὅπου μέ βρεῖ ἡ τελευταία μου μέρα. Καί σοῦ ὁρκίζομαι στό ὄνομα Ἐκείνου, πού ἦρθε νά καλέσει ἁμαρτωλούς σέ μετάνοια, δέν θά σταματήσω ποτέ νά προσεύχομαι στόν Θεό κατά σοῦ, μέχρις ὅτου παύσεις καί σύ νά μέ πολεμᾶς κι ἄς δοῦμε ποιός τελικά θά' ναι ὁ νικητής, ἐσύ ἤ ὁ Θεός[65]».

Ὅταν τ' ἄκουσε αὐτά ὁ διάβολος τοῦ λέει: «Στ' ἀλήθεια δέν πρόκειται νά σέ πολεμήσω στό ἑξῆς, γιά νά μή

φανόν σοι προξενήσω. Καὶ ἀνεχώρησεν ἀπ᾿ αὐτοῦ ὁ δαίμων ἀπὸ τῆς ἡμέρας ἐκείνης.

Ἴδε ποῖον ἀγαθόν ἐστιν ἡ ὑπομονὴ καὶ τὸ μὴ ἀπογινώσκειν ἑαυτόν, κἂν συμβῇ πολλάκις πεσεῖν ἡμᾶς εἰς πολέμους καὶ ἁμαρτίας καὶ πειρασμούς. Ἐλθόντος οὖν τοῦ ἀδελφοῦ εἰς κατάνυξιν, ἐκάθητο κλαίων τὰς ἁμαρτίας αὐτοῦ· ὅτε οὖν ἔλεγεν αὐτῷ ὁ λογισμός· Καλῶς κλαίεις, ἔλεγε καὶ αὐτὸς τῷ λογισμῷ· Ἀνάθεμα τὸ καλὸν τοῦτο· τί γὰρ χρῄζει ὁ Θεός, ἵνα ἀπολέσῃ τις τὴν ψυχὴν αὐτοῦ καὶ κάθηται θρηνῶν αὐτὴν καὶ ἢ σῴζει αὐτὴν ἢ οὔ.

87. Ἀδελφὸς ἐκάθητο κατὰ μόνας ἐν τῇ μονῇ τῶν Μονιδίων καὶ αὕτη ἦν ἡ εὐχὴ αὐτοῦ πάντοτε· Κύριε, οὐ φοβοῦμαί σε, ἀλλὰ πέμψον μοι κεραυνὸν ἢ ἄλλην περίστασιν ἢ ἀσθένειαν ἢ δαίμονα, ἵνα κἂν οὕτως ἔλθῃ εἰς φόβον ἡ πεπωρωμένη μου ψυχή. Ταῦτα ἔλεγε καὶ παρεκάλει τὸν Θεὸν λέγων· Οἶδα ὅτι ἀδύνατόν ἐστιν, ἵνα συγχωρήσῃς μοι. Πολλὰ γὰρ ἥμαρτον εἰς σέ, Δέσποτα· ἀλλ᾿ ἐὰν ἐνδέχηται, διὰ τοὺς οἰκτιρμούς σου συγχώρησόν μοι· εἰ δὲ τοῦτο οὐκ ἐνδέχεται, παίδευσόν με ὧδε, Δέσποτα, καὶ ἐκεῖ μὴ παιδεύσῃς με· εἰ δὲ καὶ τοῦτο ἀδύνατον, ἀπόδος μοι ὧδε μέρος καὶ ἐκεῖ κούφισόν με κἂν μικρὸν τῆς κολάσεως μόνον. Ἄρξαι ἀπὸ τοῦ νῦν παιδεύειν με, ἀλλὰ μὴ τῷ θυμῷ σου, Δέσποτα.

Οὕτως ἐπιμείνας ἐπὶ ἐνιαυτὸν ὅλον μετὰ δακρύων ἀπαύστως δυσωπῶν τὸν Θεὸν ἐν πολλῇ ταπεινώσει τῶν λογισμῶν καὶ ἐν νηστείᾳ λέγων ἐν ἑαυτῷ· Ἄρα τί ἐστιν ὁ λόγος ὃν εἶπεν ὁ Χριστός· Μακάριοι οἱ πενθοῦντες ὅτι αὐτοὶ παρακληθήσονται;

66. Ματθ. 5, 4.

γίνω ἐγώ ὁ αἴτιος νά στεφανωθεῖς γιά τήν ὑπομονή σου». Ἀπ᾿ ἐκείνη τήν ἡμέρα ἔφυγε ὁ δαίμονας ἀπ᾿ αὐτόν.

Δές πόσο μεγάλο καλό εἶναι ἡ ὑπομονή καί πόσο σπουδαῖο νά μήν ἀπελπίζεται κανείς κι ἄν ἀκόμη συμβεῖ νά πέσουμε ἐπανειλημμένα σέ πόλεμο, σέ ἁμαρτίες καί πειρασμούς. Ἦρθε λοιπόν σέ κατάνυξη ὁ ἀδελφός καί καθόταν κι ἔκλαιε τίς ἁμαρτίες του· καί ὅταν ὁ λογισμός τοῦ ἔλεγε: «Καλά κάνεις καί κλαῖς», ἀπαντοῦσε ἐκεῖνος στόν λογισμό του: «Ἀνάθεμα σέ τοῦτο τό καλό· τί ἀνάγκη ἔχει ὁ Θεός νά χάσει κάποιος τήν ψυχή του καί νά κάθεται νά κλαίει καί νά εἶναι ἀμφίβολο ἄν τή σώσει ἤ ὄχι;»

87. Κάποιος Γέροντας ζοῦσε μόνος στή μονή τῶν Μονιδίων καί ἡ παντοτινή του προσευχή ἦταν ἡ ἑξῆς: «Κύριε, δέν ἔχω τόν φόβο σου μέσα μου, γι᾿ αὐτό στεῖλε μου κάποιον κεραυνό ἤ κάποια ἄλλη δύσκολη περίσταση, ἤ ἀρρώστια ἤ δαίμονα, μήπως ἔστω καί μ᾿ αὐτόν τόν τρόπο φοβηθεῖ ἡ πωρωμένη μου ψυχή». Αὐτά ἔλεγε καί συνέχιζε νά παρακαλεῖ τόν Θεό. «Ξέρω ὅτι εἶναι ἀδύνατο νά μέ συγχωρήσεις. Γιατί ἁμάρτησα πολύ σέ σένα, Δέσποτα· ἀλλ᾿ ἄν εἶναι δυνατόν λόγω τῆς εὐσπλαχνίας σου, συγχώρεσέ με. Ἄν ὅμως αὐτό δέν μπορεῖ νά γίνει, τιμώρησέ με ἐδῶ στή γῆ, Δέσποτα, καί ἐκεῖ μή μέ παιδεύσεις· ἀλλ᾿ ἐάν καί αὐτό εἶναι ἀδύνατο, τιμώρησέ με ἐδῶ κατά ἕνα μέρος καί ἐκεῖ ανακούφισέ με, ἔστω καί λίγο, ἀπό τήν τιμωρία τῆς κόλασης. Ἄρχισε ἀπό τώρα νά μέ παιδεύεις, ἀλλά ἄς μήν περιπέσω στήν ὀργή σου, Δέσποτα».

Μ᾿ αὐτή τήν ἐπιμονή ἕναν ὁλόκληρο χρόνο μέ ἀσταμάτητα δάκρυα, μέ πολλή ταπείνωση στούς λογισμούς του καί μέ νηστεῖες παρακαλοῦσε τόν Θεό καί σκεπτόταν· «Ἄραγε τί νά σημαίνει ὁ λόγος πού εἶπε ὁ Χριστός: Μακάριοι οἱ πενθοῦντες ὅτι αὐτοί παρακληθήσονται[66];»

Ἐν μιᾷ καθημένου αὐτοῦ χαμαὶ καὶ θρηνοῦντος κατὰ συνήθειαν ἀπὸ ἀθυμίας, ἐνύσταξε· καὶ ἰδοὺ παρίσταται αὐτῷ ὁ Χριστὸς λέγων αὐτῷ ἱλαρᾷ τῇ φωνῇ καὶ τῷ προσώπῳ· Τί ἔχεις, ἄνθρωπε, τί οὕτω κλαίεις; Λέγει αὐτῷ· Ὅτι ἔπεσον, Κύριε. Λέγει αὐτῷ ὁ φανείς· Καὶ ἐγείρου. Ἀπεκρίθη ὁ κείμενος· Οὐ δύναμαι, ἐὰν μὴ δώσῃς μοι χεῖρα. Καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἀνέστησεν αὐτὸν καὶ λέγει αὐτῷ πάλιν ἱλαρῶς· Τί κλαίεις, ἄνθρωπε, τί λυπῇ; Ἀπεκρίθη ὁ ἀδελφός· Οὐ θέλεις, Κύριε, ἵνα κλαύσω καὶ λυπηθῶ, ὅτι τοσαῦτά σε ἐλύπησα; Τότε ἐκτείνας τὴν χεῖρα αὐτοῦ ὁ φανεὶς ἔθηκεν αὐτὴν εἰς τὴν κεφαλὴν αὐτοῦ καὶ εἴληφεν αὐτὴν καὶ λέγει αὐτῷ· Μὴ θλιβῇς, βοηθεῖ ὁ Θεὸς λοιπόν· ὅτι σὺ ἐλυπήθης, οὐκέτι ἐγὼ λυποῦμαι κατὰ σοῦ· εἰ γὰρ διὰ σὲ τὸ αἷμά μου δέδωκα, πόσον μᾶλλον καὶ τὴν φιλανθρωπίαν μου δώσω ἑκάστῃ μετανοούσῃ ψυχῇ; Καὶ ἐλθὼν εἰς ἑαυτὸν ὁ ἀδελφὸς ἐκ τῆς ὀπτασίας, εὗρε τὴν καρδίαν αὐτοῦ πάσης χαρᾶς πεπληρωμένην καὶ ἐπληροφορήθη ὅτι ἐποίησεν ὁ Θεὸς μετ᾽ αὐτοῦ ἔλεος καὶ ἔμενε διὰ παντὸς ἐν πολλῇ ταπεινοφροσύνῃ εὐχαριστῶν τῷ Θεῷ.

88. Ἀδελφὸς ἀποταξάμενος ᾤκησεν εἰς τὸ ὄρος τῆς Νιτρίας. Ἦν δὲ τὸ κελλίον αὐτοῦ πλησίον ἄλλου ἀδελφοῦ καὶ ἤκουεν αὐτοῦ καθ᾽ ἡμέραν πάντοτε κλαίοντος τὰς ἁμαρτίας αὐτοῦ. Ὅτε οὖν διὰ χρόνου οὐκ ἤρχετο αὐτῷ δάκρυα, ἔλεγε τῇ ἑαυτοῦ ψυχῇ· Οὐ κλαίεις, ταλαίπωρε, οὐδὲ θρηνεῖς· πίστευσον, ἐὰν μὴ θέλῃς κλαῦσαι, ἐγὼ ποιῶ σε κλαῦσαι· καὶ ἀνιστάμενος εἶχε μάστιγα ἀπὸ σχοινίου στερεοῦ καὶ λαμβάνων αὐτὸ ἔτυπτεν ἑαυτὸν ἱκανῶς, ἕως οὗ πονῶν ἔκλαιε.

Καί κάποια ἡμέρα ἐνῶ καθόταν κατά γῆς θλιμμένος καί θρηνοῦσε κατά τή συνήθειά του, νύσταξε· καί νά, τοῦ παρουσιάσθηκε ὁ Χριστός μέ ἱλαρό πρόσωπο καί μέ γλυκιά φωνή τοῦ εἶπε: «Τί ἔχεις, ἄνθρωπε, γιατί τόσο κλαῖς;» Τοῦ ἀπάντησε ἐκεῖνος: «Ἐπειδή ἔπεσα, Κύριε». Καί ὁ Ἰησοῦς πού τοῦ ἐμφανίσθηκε τοῦ λέει: «Σήκω ἐπάνω». Ἀποκρίθηκε τότε ὁ πεσμένος στή γῆ: «Δέν μπορῶ, ἄν δέν μοῦ δώσεις τό χέρι σου». Καί ἅπλωσε Ἐκεῖνος τό χέρι του καί τόν σήκωσε καί τοῦ λέει πάλι μέ καλοσύνη: «Γιατί κλαῖς, ἄνθρωπέ μου, γιατί τόσο λυπᾶσαι;» «Καί δέν θέλεις, Κύριε, –ρωτᾶ ὁ ἀδελφός– νά κλάψω καί νά λυπηθῶ πού τόσο σέ πίκρανα;» Τότε ὁ Κύριος ἅπλωσε τό χέρι του πάνω στό κεφάλι τοῦ ἀδελφοῦ, τό ἀγκάλιασε καί τοῦ λέει: «Μή θλίβεσαι, ὁ Θεός θά εἶναι βοηθός σου ἀπό δῶ καί πέρα. Ἐπειδή ἐσύ πόνεσες, δέν θά στρέφεται πιά ἡ λύπη μου ἐναντίον σου. Ἐφόσον γιά σένα ἔχω χύσει τό αἷμα μου, δέν θά δείξω πολύ περισσότερο τή φιλανθρωπία μου καί σέ σένα καί σέ κάθε ψυχή πού μετανοεῖ;»

Ὁ ἀδελφός συνῆλθε κατόπιν ἀπό τήν ὀπτασία καί ἔνιωσε τήν καρδιά του πλημμυρισμένη ἀπό χαρά, γιατί βεβαιώθηκε ὅτι ὁ Θεός τόν ἐλέησε καί ἔζησε σ᾽ ὅλη του τή ζωή μέ πολλή ταπείνωση εὐχαριστώντας τόν Θεό.

88. Κάποιος ἀδελφός ἀποτάχθηκε τόν κόσμο καί κατοίκησε στό ὄρος τῆς Νιτρίας. Τό κελί του βρισκόταν κοντά στό κελί κάποιου ἄλλου ἀδελφοῦ καί τόν ἄκουε καθημερινά νά κλαίει ὅλη τήν ὥρα γιά τίς ἁμαρτίες του. Ὅταν γιά ἕνα χρονικό διάστημα σταματοῦσαν τά δάκρυα, μονολογοῦσε κι ἔλεγε: «Δέν κλαῖς, ταλαίπωρε, κι οὔτε θρηνεῖς; Πίστεψέ με, ἄν δέν θέλεις νά κλάψεις, ἐγώ θά σέ ἀναγκάσω νά τό κάνεις». Σηκωνόταν λοιπόν, ἔπαιρνε ἕνα μαστίγιο πού εἶχε ἀπό σχοινί σκληρό καί κτυποῦσε τόν ἑαυτό του τόσο πολύ, πού ἀπό τούς πόνους ἔκλαιε.

Θαυμάσας οὖν ὁ μένων πλησίον αὐτοῦ ηὔχετο τῷ Θεῷ ἀποκαλύψαι αὐτῷ εἰ ἄρα καλῶς ποιεῖ βασανίζων ἑαυτόν. Καὶ ἐν μιᾷ νυκτὶ θεωρεῖ τὸν ἀδελφὸν φοροῦντα στέφανον καὶ στήκοντα εἰς τὸν χορὸν τῶν μαρτύρων καί τινα λέγοντα αὐτῷ θεωροῦντι· Ἴδε, ὁ καλὸς ἀθλητής, ἑαυτὸν διὰ τὸν Χριστὸν βασανίσας πῶς μετὰ τῶν μαρτύρων ἐστεφανώθη.

89. Γέρων τις ἐκάθητο ἐπὶ τὸν κόλπον τοῦ μακαρίου Ἀντωνίου ἐκεῖθεν τοῦ Κλύσματος. Καὶ ἐν μιᾷ ἀπῆλθεν εἰς Αἴγυπτον διὰ χρείαν αὐτοῦ λαβὼν καὶ τὸν μαθητὴν αὐτοῦ. Κατελθὼν οὖν εἰς πόλιν λεγομένην Κυνῶ ἔμειναν ἐκεῖ μίαν ἑβδομάδα καὶ ἐθεώρουν εὐθὺς ἀπὸ ὄρθρου ἄνδρας καὶ γυναῖκας ἐξερχομένους εἰς τὰ μνήματα καὶ θρηνοῦντας ἕκαστον τὸν νεκρὸν αὐτοῦ ἕως ὥρας τρίτης. Λέγει οὖν ὁ Γέρων τῷ μαθητῇ αὐτοῦ· Βλέπεις, ἀδελφέ, εἰς τί νυκτερεύουσιν οὗτοι; Πίστευέ μοι ὅτι εἰ μὴ καὶ ἡμεῖς οὕτως ποιήσομεν, εἰς ἀπώλειαν ὑπάγομεν.

Καὶ ὑποστρέψαντες εἰς τὸ κελλίον ἔκτισαν καὶ αὐτοὶ εὐθέως τὰ μνήματα ἑαυτῶν ἀπόμηκα ἀλλήλων· καὶ καθ᾽ ἡμέραν καθήμενοι ἀπὸ πρωὶ ἔκλαιεν ἕκαστος τὴν ἰδίαν ψυχὴν ὡς νεκρόν. Εἴ ποτε οὖν περὶ τὴν πρωίαν ἀπεκοιμήθη ὁ μαθητὴς αὐτοῦ ἀπὸ τοῦ κανόνος, ἔκραζεν αὐτῷ ὁ Γέρων λέγων· Ἀδελφέ, ἐγείρου· ἐκεῖνοι λοιπὸν ἔχουσιν ὥραν εἰς τὰ μνήματα καὶ εἰς τὸ ἔργον αὐτῶν.

Λέγει οὖν ἐν μιᾷ ὁ ἀδελφὸς τῷ Γέροντι· Ἀββᾶ, σκληρά ἐστιν ἡ ψυχή μου καὶ οὐ δύναμαι κλαῦσαι. Ἀπεκρίθη ὁ Γέ-

67. Μερικοί ἀσκητές μετέρχονταν καί τέτοια μέσα στήν ἄσκηση, τά ὁποῖα ὅμως δέν συνιστοῦν τήν καθιερωμένη ἀσκητική τοῦ ὀρθοδόξου μοναχισμοῦ.
68. Πόλη στόν μυχό τοῦ κόλπου Σουέζ.

Ὁ διπλανός ἀδελφός ἀποροῦσε καί παρακαλοῦσε τόν Θεό νά τοῦ ἀποκαλύψει ἐάν ἐνεργεῖ ὀρθά βασανίζοντας ἔτσι τόν ἑαυτό του. Καί κάποια νύχτα βλέπει τόν ἀδελφό στεφανωμένο νά στέκει στόν χορό τῶν μαρτύρων καί κάποιον νά τοῦ λέει, καθώς τόν κοίταζε: «Δές τόν καλό ἀθλητή πῶς στεφανώθηκε καί συγκαταλέχθηκε μεταξύ τῶν μαρτύρων, ἐπειδή βασάνισε τόν ἑαυτό του χάριν τοῦ Χριστοῦ»[67].

89. Κάποιος Γέροντας καθόταν στόν κόλπο, ὅπου βρισκόνταν καί τό κελί τοῦ μακαρίου Ἀντωνίου, πέρα ἀπό τό Κλύσμα[68]. Καί κάποια μέρα πῆγε στήν Αἴγυπτο γιά δουλειές του παίρνοντας μαζί καί τόν μαθητή του. Κατέβηκαν λοιπόν στήν πόλη Κυνώ[69] καί ἔμειναν ἐκεῖ μιά ἑβδομάδα· καί ἔβλεπαν τούς κατοίκους τῆς πόλης, ἄνδρες καί γυναῖκες, πρίν χαράξει ἀκόμη νά πηγαίνουν στά μνήματα καί νά θρηνοῦν καθένας τόν δικό του νεκρό, ὥς τήν τρίτη ὥρα. Λέγει τότε ὁ Γέροντας στόν μαθητή του: «Βλέπεις, ἀδελφέ, γιά ποιόν λόγο ἀγρυπνοῦν αὐτοί ἐδῶ; Πίστεψέ με πώς ἄν καί ἐμεῖς δέν κάνουμε τό ἴδιο, εἴμαστε χαμένοι».

Ὅταν γύρισαν στό κελί τους, ἔκτισαν καί αὐτοί ἀμέσως τά μνήματά τους σέ ἀπόσταση ὁ ἕνας ἀπό τόν ἄλλο· καί κάθε μέρα καθισμένοι πάνω τους ἀπό τό πρωί ἔκλαιγε ὁ καθένας τήν ψυχή του σάν νά ᾽ταν νεκρή. Κι ἄν καμιά φορά κατά τίς πρωινές ὧρες ἀποκοιμόταν ὁ μαθητής του τήν ὥρα τοῦ κανόνος, ὁ Γέροντας τοῦ ἔλεγε μέ δυνατή φωνή: «Ἀδελφέ, σήκω, ἐκεῖνοι ἀπό ὥρα εἶναι στά μνήματα καί στό ἔργο τους».

Κάποια μέρα εἶπε ὁ ἀδελφός στόν Γέροντα: «Ἀββᾶ, δέν μπορῶ νά κλάψω, ἡ ψυχή μου εἶναι σκληρή». Καί ὁ Γέ-

69. Κυνῶ-Κυνόπολις: Πόλη τῆς Αἰγύπτου ὅπου ὑπῆρχαν ὀργανωμένες μοναστικές ἀδελφότητες.

ρων· Πύκτευσον, τέκνον, ὀλίγον χρόνον καὶ πόνεσον· καὶ θεωρῶν ὁ Θεὸς τὸν πόνον σου δίδωσι καὶ αὐτὸς τὸ πένθος εἰς σὲ καὶ οὐκέτι κοπιᾷς. Λέγω γάρ σοι, τέκνον, ὅτι, ὥσπερ, ἐὰν λάβῃ σαγίταν ἡ καρδία, οὐκέτι ἔχει ἴασιν, οὕτως καὶ ὁ Θεὸς ἐὰν πλήξῃ αὐτὴν εἰς τὸ πένθος, οὐκέτι ὑπάγει ἐξ αὐτῆς ὁ πόνος, ἀλλὰ μένει πεπληγμένη ἕως θανάτου. Καὶ ὅπου δ' ἂν ὑπάγῃ ὁ τοιοῦτος, μετ' αὐτοῦ ἐστιν, ἤτοι ἔσωθεν αὐτοῦ τὸ πένθος.

Ἐν μιᾷ τῶν ἡμερῶν θεωρήσας ὁ Γέρων τὸν ἀδελφὸν βαρυνθέντα ἀπὸ βρωμάτων —ἦσαν γάρ τινες τῇ ἑσπέρᾳ παραβαλόντες αὐτοῖς— λέγει αὐτῷ κατ' ἰδίαν· Οὐκ οἶδας ὅτι τὸ πένθος λυχνάριόν ἐστι ἅπτον καί, ἐὰν μὴ ἀσφαλῶς σκεπάσῃς αὐτό, εὐθέως σβέννυται καὶ ὑπάγει; Οὕτως καὶ τὰ πολλὰ βρώματα σβεννύουσιν αὐτὸ καὶ ὁ πολὺς ὕπνος ἐμποδίζει αὐτὸ καὶ ἡ καταλαλιὰ σβεννύει αὐτὸ καὶ ἡ πολυλογία ἀπόλλυσιν αὐτό· καὶ ἁπλῶς πᾶσα ἀνάπαυσις σαρκὸς καταλύει αὐτό. Χρὴ οὖν τὸν ἀγαπῶντα τὸν Θεὸν εἰς ἕκαστον πρᾶγμα αὐτοῦ ποιεῖν μέρος τοῦ Χριστοῦ. Λέγει ὁ ἀδελφός· Πῶς ἐστιν ὁ λόγος, πάτερ; Λέγει ὁ Γέρων· Ὅταν ἐμπέσῃ ἄρτος καθαρός, ἄφες αὐτὸν λόγῳ ἄλλου καὶ φάγε σὺ τὸν ῥυπαρὸν διὰ τὸν Χριστόν· ἐὰν ἐμπέσῃ οἶνος καλός, μίξον εἰς αὐτὸν μικρὸν ὄξος καὶ πίε διὰ τὸν Χριστὸν τὸν πιόντα ὄξος καὶ μὴ χορτασθῇς ἀλλ' ἄφες μικρὸν λέγων· Ἰδοὺ καὶ τὸ μέρος τοῦ Χριστοῦ. Ἐὰν εὕρῃς προσκεφάλαιον ἁπαλόν, ἄφες αὐτὸ καὶ βάλε λίθον διὰ τὸν Χριστόν· ἐὰν κοιμώμενος ῥιγώσῃς, ὑπόμεινον λέγων ὅτι· Ἄλλοι οὐδὲ ὅλως κοιμῶνται. Ἐὰν ὑβρισθῇς, σιώπησον λέγων διὰ τὸν Χριστόν, ὅτι καὶ αὐτὸς ὑβρίσθη δι' ἡμᾶς· ἐὰν ποιήσῃς ἑαυτῷ ἕψημα, ἀφάνι-

70. Ἤ: νά βγάζει μερίδιο γιά τόν Χριστό.

ροντας τοῦ ἀποκρίθηκε: «Πάλαιψε, παιδί μου, λίγο χρόνο καί πόνεσε· καί ὁ Θεός βλέποντας τόν πόνο σου, θά σοῦ χαρίσει ὁ ἴδιος τό πένθος καί δέν θά κοπιάζεις πιά. Σοῦ λέω, ἀκόμη, παιδί μου, ὅτι ὅπως, ὅταν πληγωθεῖ μέ βέλος ἡ καρδιά, δέν ἔχει γιατριά πιά, ἔτσι καί ἐάν ὁ Θεός πλήξει τήν καρδιά μέ τό πένθος, δέν φεύγει πιά ἀπ' αὐτήν ὁ πόνος, ἀλλά μένει πληγωμένη μέχρι τήν ὥρα τοῦ θανάτου της. Καί ὅπου κι ἄν πάει αὐτός ὁ ἄνθρωπος, μαζί του εἶναι καί αὐτό, δηλαδή τό ἐσωτερικό πένθος».

Κάποια ἡμέρα πού ὁ Γέροντας εἶδε τόν ἀδελφό βαρυστομαχιασμένο —ἐκεῖνο τό ἀπόγευμα εἶχαν φιλοξενουμένους στό κελί τους— τόν παίρνει παράμερα καί τοῦ λέει: «Δέν ξέρεις ὅτι τό πένθος εἶναι ἕνα λυχνάρι ἀναμμένο καί ἄν δέν τό προφυλάξεις καλά, ἀμέσως σβήνει καί χάνεται; Ἔτσι καί ἡ πολυφαγία τό σβήνει αὐτό καί ὁ πολύς ὕπνος τό ἐμποδίζει· ἡ καταλαλιά ἐπίσης τό σβήνει· καί ἡ πολυλογία τό καταστρέφει καί γενικά κάθε σαρκική ἀνάπαυση τό διαλύει. Πρέπει λοιπόν ἐκεῖνος πού ἀγαπᾶ τόν Θεό, σέ κάθε πράγμα νά κάνει τόπο γιά τόν Χριστό[70]».

Τοῦ λέει τότε ὁ ἀδελφός: «Τί σημαίνει αὐτός ὁ λόγος, πάτερ;» Καί ὁ Γέροντας ἀπαντᾶ: «Ὅταν στό τραπέζι σοῦ τύχει καθαρό ψωμί, ἄφησέ το αὐτό γιά κάποιον ἄλλον καί φάγε σύ τό μουχλιασμένο χάριν τοῦ Χριστοῦ. Ἄν σοῦ τύχει καλό κρασί, ἀνάμιξέ το μέ λίγο ξύδι καί πιές το γιά τόν Χριστό, πού ἤπιε τό ὄξος· καί μή χορτάσεις, ἀλλά ἄφησε λίγο λέγοντας, "εἶναι τό μερίδιο τοῦ Χριστοῦ". Ἄν βρεῖς προσκέφαλο μαλακό, ἄφησέ το κατά μέρος καί βάλε ἕνα λιθάρι γιά χάρη τοῦ Χριστοῦ. Ἐάν τήν ὥρα πού κοιμᾶσαι, κρυώσεις, κάνε ὑπομονή λέγοντας· "ἄλλοι δέν κοιμοῦνται καθόλου". Ἐάν σέ βρίσουν, μεῖνε σιωπηλός λέγοντας "τό κάνω γιά τόν Χριστό μου, γιατί καί Ἐκεῖνος ὑβρίσθηκε γιά μᾶς". Ἐάν μαγειρέψεις κάτι γιά τόν ἑαυτό σου, χάλασέ το

σον αὐτὸ μικρὸν λέγων ὅτι ἄλλοι ἄξιοι ἄρτον οὐ τρώγουσι, πόσῳ μᾶλλον ἐγὼ ὁ ἀνάξιος ἕψημα ἐσθίω ὀφείλων ἐσθίειν σποδὸν καὶ τέφραν.

Καὶ ἁπλῶς εἰς ἕκαστον πρᾶγμά σου μῖξον μικρὰν θλῖψιν· καὶ εἰς τὸ φαγεῖν καὶ εἰς τὸ ὑπνῶσαι καὶ εἰς τὸ ἐργάζεσθαι· μετὰ ταπεινώσεως ζῆσον πάντοτε ἐνθυμούμενος πῶς ἔζησαν οἱ ἅγιοι καὶ ἵνα ἔλθῃ ἡ ὥρα καὶ εὕρῃ ἡμᾶς εἰς θλῖψιν καὶ στένωσιν καὶ εὑρίσκωμεν ἐκεῖ τὴν ἄνεσιν.

90. Γέρων τις ἐν νυκτὶ μὴ εἰδὼς ὅτι ὁ μαθητὴς αὐτοῦ ἀκροᾶται ὠλόλυζε πικρῶς, βρύχων καὶ κλαίων. Καὶ παρακληθεὶς ὑπὸ τοῦ μαθητοῦ αὐτοῦ ἔλεγε· Κατενύχθην καὶ εἶδον τῶν ἁμαρτωλῶν τὰς ψυχὰς εἰς τὸν Ἅδην ἐν ποίᾳ θλίψει εἰσίν, καὶ οὐ δύναμαι τοῦ λοιποῦ παρακληθῆναι.

91. Εἶπε Γέρων ἄλλος ὅτι· Καταρράπτω καὶ κατὰ σακκοράφον βάλλω τὸν θάνατον πρὸ ὀφθαλμῶν μου πρὸ τοῦ με δευτερῶσαι αὐτόν.

92. Εἶπε Γέρων· Εἰς τὴν σωτηρίαν τῆς ψυχῆς σπουδάσατε, ἀδελφοί, ἐπειδὴ φοβερὰ καὶ πικρὰ ἡ ἡμέρα τῆς κρίσεως. Δότε τὴν ψυχὴν καὶ λάβετε πνεῦμα, τουτέστι τὸ ἅγιον.

93. Εἶδέ τις νεώτερόν τινα μοναχὸν γελῶντα καὶ λέγει αὐτῷ· Μὴ γέλα, ἀδελφέ, ἐπεὶ διώκεις τὸν φόβον τοῦ Θεοῦ ἀπὸ σοῦ.

71. Πρβλ. Λουκ. 16, 25.

72. Πρβλ. Φιλιπ. 2, 12.

κάπως λέγοντας "ἄλλοι, πού εἶναι ἄξιοι, δέν τρῶνε οὔτε ψωμί, πόσο μᾶλλον ἐγώ ὁ ἀνάξιος, ἐνῶ πρέπει νά τρώγω στάχτη καί τέφρα, τρώγω μαγειρεμένο φαγητό".

Καί γενικά κάθε ἐνέργειά σου σμίξε την μέ μιά μικρή θλίψη· καί στό φαγητό καί στόν ὕπνο καί στήν ἐργασία. Νά ζεῖς μέ ταπείνωση καί νά σκέπτεσαι πάντα πῶς ἔζησαν οἱ ἅγιοι, ἔτσι ὥστε, ὅταν ἔλθει ἡ μεγάλη ὥρα, νά μᾶς βρεῖ μέσα στή θλίψη καί στό στένεμα, καί θά μᾶς δοθεῖ ἐκεῖ ἡ ἄνεση[71]».

90. Κάποιος Γέροντας, κατά τή διάρκεια τῆς νύχτας, μή γνωρίζοντας ὅτι ὁ μαθητής του ἄκουε, θρηνοῦσε πικρά μέ ὀλολυγμούς· Τά δόντια του ἔτριζαν κι ἔπεφταν ἄφθονα τά δάκρυά του. Καί ὅταν τόν παρακάλεσε ὁ μαθητής του νά τοῦ πεῖ τί τοῦ συμβαίνει, εἶπε: «Ἦρθα σέ κατάνυξη καί εἶδα τίς ψυχές τῶν ἁμαρτωλῶν στόν Ἅδη σέ ποιά θλίψη εἶναι καί δέν μπορῶ ἀπό τήν ὥρα ἐκείνη νά παρηγορηθῶ».

91. Εἶπε ἕνας ἄλλος Γέροντας: «Κάθομαι νά ράψω καί σέ κάθε βελονιά πρίν τή δευτερώσω, φέρνω μπρός στά μάτια μου τόν θάνατο».

92. Εἶπε ἕνας Γέροντας: «Ἐργασθεῖτε μέ ζῆλο, ἀδελφοί μου, γιά τή σωτηρία τῆς ψυχῆς[72], γιατί φοβερή καί πικρή θά εἶναι ἡ ἡμέρα τῆς κρίσεως. Προσφέρτε τήν ψυχή καί πάρτε πνεῦμα, δηλαδή Πνεῦμα ἅγιο[73]».

93. Κάποιος εἶδε ἕνα νέο μοναχό νά γελάει καί τοῦ εἶπε: «Μή γελᾶς, ἀδελφέ, γιατί διώχνεις τόν φόβο τοῦ Θεοῦ ἀπ᾽ τήν ψυχή σου».

73. Πρβλ.: «Δὸς αἷμα καὶ λάβε Πνεῦμα» (Ἀββᾶ Λογγίνου).

94. Εἶπέ τις τῶν ἁγίων περὶ τῆς παρρησίας· Ἡ παρρησία ὡς ἀνεμοκαύσων ἐστὶ διαφθείρουσα τοὺς καρποὺς τοῦ μοναχοῦ. Περὶ δὲ τοῦ γέλωτος νῦν ἄκουε· ὁ γέλως τὸν μακαρισμὸν τοῦ πένθους ἔξω βάλλει· ὁ γέλως οὐκ οἰκοδομεῖ, οὐ φυλάσσει, ἀλλὰ καὶ ἀπόλλυσι καὶ τὰ οἰκοδομηθέντα καταλύει· ὁ γέλως τὸ Πνεῦμα τὸ ἅγιον λυπεῖ, ψυχὴν οὐκ ὠφελεῖ, σῶμα δὲ διαφθείρει· ὁ γέλως τὰς ἀρετὰς ἐκδιώκει, οὐκ ἔχει μνήμην θανάτου οὐδὲ μελέτην τῶν κολάσεων.

95. Ἔλεγέ τις τῶν Γερόντων· Ἀρχὴ καταστροφῆς μοναχοῦ ὑπάρχει γέλως καὶ παρρησία. Ὅταν ἐν τούτοις ἴδῃς ἑαυτόν, μοναχέ, γίνωσκε σαυτὸν εἰς βάθη κακῶν καταστήσαντα καὶ μὴ παύσῃ δεόμενος τοῦ Θεοῦ, ὅπως ῥύσηταί σε τοῦ θανάτου τούτου. Ὁ γέλως καὶ ἡ παρρησία εἰς πάθη αἰσχρὰ παραπέμπει τὸν μοναχόν, οὐ μόνον νεωτέρους, ἀλλὰ καὶ Γέροντας. Ὁ γέλως καὶ ἡ παρρησία κάτω φέρει τὸν μοναχόν.

96. Εἶπε Γέρων· Ἐὰν εἴπῃ σοι ὁ λογισμὸς εἰς ἑορτὴν ποιῆσαι διάφορα βρώματα, μὴ ἀκούσῃ αὐτοῦ, ἐπεὶ ἰουδαϊκῶς ἑορτάζεις· ἐκεῖνοι γὰρ ἑορτάζουσι ταῦτα. Μοναχοῦ δὲ τροφὴ ἀγαθὴ τὸ πένθος καὶ τὰ δάκρυα.

97. Εἶπε πάλιν· Ἐὰν ἐξέλθῃς ἐκ τοῦ κελλίου σου καὶ πα-

74. Παρρησία: Μέ τήν κακή της ἔννοια σημαίνει τό ἀγενές καί ὑπερήφανο θάρρος, ἐλευθεροστομία καί προπέτεια.

Μέ τήν καλή της ἔννοια, πού τή συναντοῦμε στίς ἅγιες ψυχές, εἶναι τό ἱερό θάρρος πού ἔχουν οἱ ἅγιοι πρός τόν Θεό.

75. Ἡ ἔκφραση προέρχεται ἀπό λειτουργικό ὕμνο τῆς ἀκολουθίας τῆς Σταύρωσης: «Μὴ ὡς Ἰουδαῖοι ἑορτάσωμεν...». Γι᾽ αὐτό καί ἡ σημασία της ἀ-

94. Εἶπε κάποιος ἀπό τούς ἁγίους γιά τήν παρρησία[74]: «Ἡ παρρησία μοιάζει μέ λίβα πού καταστρέφει τούς καρπούς τοῦ μοναχοῦ. Ἄκουσε τώρα καί σχετικά μέ τό γέλιο. Τό γέλιο διώχνει τόν μακαρισμό τοῦ πένθους. Τό γέλιο δέν οἰκοδομεῖ, δέν προστατεύει, ἀντίθετα, καταστρέφει καί γκρεμίζει ὅ,τι ἔχει οἰκοδομηθεῖ. Τό γέλιο λυπεῖ τό Πνεῦμα τό ἅγιο· τήν ψυχή δέν τήν ὠφελεῖ ἀλλά καί τό σῶμα καταστρέφει. Τό γέλιο διώχνει μακριά τίς ἀρετές, δέν κρατάει τή μνήμη τοῦ θανάτου οὔτε μελετάει τήν τιμωρία».

95. Ἔλεγε κάποιος ἀπό τούς Γέροντες: «Ἡ καταστροφή ἑνός μοναχοῦ ἀρχίζει ἀπό τό γέλιο καί τήν παρρησία. Ὅταν δεῖς τόν ἑαυτό σου, μοναχέ, νά πέφτει σ᾽ αὐτά, γνώριζε ὅτι ἤδη βρίσκεσαι σέ βάθος κακῶν καί μήν παύσεις νά παρακαλεῖς τόν Θεό νά σέ σώσει ἀπ᾽ τόν θάνατο αὐτό. Τό γέλιο καί ἡ παρρησία κατευθύνουν τόν μοναχό σέ αἰσχρά πάθη· ὄχι μόνο τούς νέους ἀλλά καί τούς Γέροντες. Τό γέλιο καί ἡ παρρησία ὁδηγοῦν τόν μοναχό στόν γκρεμό».

96. Εἶπε κάποιος Γέροντας: «Ἐάν σοῦ πεῖ ὁ λογισμός σου μιά γιορτινή ἡμέρα νά κάνεις διάφορα φαγητά, μήν τόν ἀκούσεις, γιατί μέ τόν τρόπο αὐτό θά γιορτάσεις ἰουδαϊκά[75]. Ἐκεῖνοι ἔτσι γιορτάζουν. Τροφή ἄξια τοῦ μοναχοῦ εἶναι τό πένθος καί τά δάκρυα».

97. Εἶπε πάλι: «Ἐάν βγεῖς ἀπ᾽ τό κελί σου κάποτε καί

ναφέρεται στό τυπικό τῆς ἑορτῆς τοῦ Πάσχα τῶν Ἰουδαίων, σύμφωνα μέ τό ὁποῖο κανονίζονταν τά ἄζυμα, ἡ θυσία τοῦ ἀμνοῦ καί τά πικρά χόρτα (Ἐξ. 12, Λευϊτ. 23, 5-8, Ἀρ. 28, 16-25 κ.ἄ.). Μεταφορική ἡ ἔκφραση στό σημεῖο αὐτό, δηλώνει τήν ἀποτροπή ἀπό τόν ὑλικό καί τυπικό τρόπο ἑορτασμοῦ τῶν χριστιανικῶν ἑορτῶν.

ραθάλῃς ποῦ ποτε καὶ μικρὸν χαυνωθῇ τὸ πένθος σου, ὑπόστρεψον ταχὺ καὶ ἀναλαβοῦ εὐθὺς τὴν πρώτην σου τάξιν.

98. Εἶπε πάλιν· Ἐὰν πένθος κτήσασθαι θέλῃς, ἀγώνισαι ἵνα ὅλα τὰ σκεύη σου καὶ τὰ πράγματά σου πτωχὰ ὦσιν, οἷα τῶν καθημένων ἐν τῇ ἀγορᾷ συναδέλφων.

99. Εἶπε πάλιν· Ἐὰν μὴ ἔχῃς κατάνυξιν, γίνωσκε ὅτι κενοδοξίαν ἔχεις· αὕτη γὰρ οὐκ ἀφίησι τὴν ψυχὴν κατανυγῆναι.

100. Εἶπε πάλιν· Ἐὰν χαρίσηταί σοι ὁ Θεὸς τὸ πένθος, μὴ νομίσῃς ὅτι μέγα ποιεῖς· μακάριος γάρ ἐστιν ὁ μὴ χρῄζων τὸ πένθος. Πλήν, ἐὰν ἴδῃ ὁ Θεὸς ἄνθρωπον ὅτι καυχᾶται ἡ καρδία αὐτοῦ ἐπὶ τῶν δακρύων, αἴρει αὐτὰ ἀπ' αὐτοῦ καὶ λοιπὸν μένει ἡ καρδία αὐτοῦ σκληρὰ καὶ ἀπόλλυται.

101. Εἶπε πάλιν· Ἐὰν ἴδῃς ὅτι ὁ Θεὸς πρὸς χρόνον ἐχαρίσατό σοι τὴν κατάνυξιν, τῷ καιρῷ ἐκείνῳ καταφρόνησον καὶ τοῦ ἐργοχείρου σου, ἐὰν οἶδας ὅτι συμφέρει σοι· καὶ σχόλασον εἰς τὸ πένθος, μήπως ἐγγύς ἐστιν ἡ ἡμέρα τῆς ἐξόδου σου καὶ διὰ τοῦτο ἐχαρίσατό σοι ὁ Θεὸς τὸ κλαίειν, ἵνα δι' αὐτοῦ εὕρῃς μικρὸν ἔλεος· ὥσπερ γὰρ ὁ Σατανᾶς εἰς τὰ τέλη τοῦ ἀνθρώπου σπεύδει ἀπολέσαι αὐτόν, οὕτως καὶ ὁ Θεὸς

76. Ἡ πτωχεία, ἡ στέρηση, ἡ άπουσία τῆς ἄνεσης εἶναι άπό τά βασικά στοιχεῖα τοῦ μοναχικοῦ ἤθους, πού συνηγοροῦν ὑπέρ τῆς ἀνεστιότητας τοῦ μοναχοῦ καί τῆς ἀποταγῆς. Ἐδῶ σάν παράδειγμα χρησιμοποιεῖται ἡ πρόχειρη παραμονή τῶν μοναχῶν στήν ἀγορά, ἕως ὅτου πουλήσουν τό ἐργόχειρό τους περιορίζοντας κατά φυσικό λόγο τίς ἀνάγκες τους στά ἐντελῶς ἁπλά καί ἀπαραίτητα μέσα. Καί συνιστᾶται ἀπό τόν ἀββᾶ ἡ στερημένη ζωή ὡς συντελεστής γιά τή βαθιά βίωση τῆς μετανοίας.

πᾶς κάπου καί χαλαρώσει τό πένθος σου, γύρισε γρήγορα καί ξανάρχισε ἀμέσως τήν πρώτη σου τακτική».

98. Εἶπε πάλι: «Ἐάν θέλεις νά ἀποκτήσεις πένθος, προσπάθησε ὅλα σου τά σκεύη καί τά πράγματα νά εἶναι πτωχά, σάν ἐκεῖνα τῶν συναδέλφων σου πού κάθονται στήν ἀγορά»[76].

99. Εἶπε πάλι: «Ἐάν δέν ἔχεις κατάνυξη, νά ξέρεις πώς ἔχεις κενοδοξία, γιατί αὐτή δέν ἀφήνει τήν ψυχή νά κατανυχθεῖ»[77].

100. Εἶπε πάλι: «Ἐάν ὁ Θεός σοῦ χαρίσει τό πένθος, μή νομίζεις ὅτι κατόρθωσες κάτι μεγάλο. Εἶναι μακάριος ἐκεῖνος πού δέν ἔχει ἀνάγκη ἀπ' τό πένθος. Πάντως ἄν δεῖ ὁ Θεός κάποιον ἄνθρωπο νά καυχᾶται, ἐπειδή ἔχει δάκρυα, τοῦ τά παίρνει καί στό ἑξῆς ἡ καρδιά του μένει σκληρή καί δέν σώζεται».

101. Εἶπε πάλι: «Ἐάν δεῖς ὅτι ὁ Θεός γιά κάποιο χρονικό διάστημα σοῦ χάρισε κατάνυξη, παράτησε ἀκόμη καί τό ἐργόχειρό σου τό διάστημα αὐτό, ἐφόσον γνωρίζεις ὅτι αὐτό σέ συμφέρει· καί μεῖνε στό πένθος τῆς κατάνυξης, μήπως καί πλησιάζει ἡ ἡμέρα τῆς ἀναχώρησής σου ἀπό τόν κόσμο, καί γι' αὐτό ὁ Θεός σοῦ ἔδωσε τή χάρη τῶν δακρύων, ὥστε μέσα ἀπ' αὐτά νά βρεῖς λίγο ἔλεος.

Ὅπως ὁ Σατανᾶς, ὅταν ὁ ἄνθρωπος βρίσκεται στά τελευταῖα του, σπεύδει νά τόν καταστρέψει, ἔτσι καί ὁ Θεός

77. Ὁ ἅγιος Ἰω. τῆς Κλίμακος «ὀλοθρευτή τῆς κατανύξεως» χαρακτηρίζει τήν κενοδοξία.

πολλάκις ἐπὶ τὰ τέλη τοῦ ἀνθρώπου διὰ προφάσεως σῴζει αὐτόν.

102. Εἶπε πάλιν· Ἐάν εἰσιν, ἐν τῷ τόπῳ ὅπου οἰκεῖς, μνήματα, ἀνέρχου συνεχῶς καὶ κατανόει τοὺς κειμένους ἐκεῖ, μάλιστα ἐν τῷ καιρῷ τοῦ πολέμου τῆς σαρκός, καὶ ὅπου μάθεις ὅτι ἀδελφὸς ὑπάγει πρὸς Κύριον, πορεύου καὶ παράμεινον ἐκεῖ, ὅπως θεάσῃ πῶς ἡ ψυχὴ τοῦ σώματος χωρίζεται.

103. Εἶπε πάλιν· Ἐὰν πέσῃς εἰς ἁμαρτίαν καὶ ἐπιστρέψῃς ἐξ αὐτῆς καὶ ἄρξῃ εἰς λύπην καὶ εἰς μετάνοιαν, βλέπε μὴ παύσῃ λυπούμενος καὶ στενάζων πρὸς Κύριον, ἕως ἡμέρας θανάτου σου· ἐπεὶ ταχὺ πάλιν εἰς αὐτὸν τὸν βόθρον ἐμπέσεις· ἡ γὰρ κατὰ Θεὸν λύπη χαλινός ἐστι τῆς ψυχῆς μὴ ἐῶν αὐτὴν πεσεῖν.

104. Εἶπε πάλιν· Ὅταν ἴδῃ ὁ Σατανᾶς τὸν Θεὸν ἐλεοῦντά σε καὶ διδόντα κατάνυξιν τῇ ψυχῇ σου, τότε ὑποβάλλει σοι ἔργον εἰς τὸ κελλίον σου ἀναγκαῖον λέγων· Κάμε τοῦτο σήμερον, ὅτι χρεία αὐτοῦ ἐστιν, ἢ ὅτι ὕπαγε παράβαλε πρὸς τὸν δεῖνα, ὅτι ἀσθενεῖ. Πάντα δὲ ταῦτα ποιεῖ, ἵνα μὴ ἀφήσῃ σε σχολάσαι καὶ ἀπολαῦσαι τῆς γλυκύτητος τοῦ πένθους. Ἐὰν δὲ νοήσῃς τὸν δόλον τοῦ Σατανᾶ καὶ φυλάξῃς σαυτὸν καὶ σχολάσῃς τῇ εὐχῇ μετὰ κατανύξεως, εὐθέως προσδόκησον πειρασμὸν ἢ ἐξ ἀνθρώπων ἢ ἐκ δαιμόνων. Ὁ γὰρ Σατανᾶς τότε πολεμεῖ τὸν ἄνθρωπον κακῶς, ὅταν πολεμεῖ ὁ ἄνθρωπος καλῶς. Ὁ θυμὸς δὲ πλείω πάντων ἀφανίζει τὴν κατάνυξιν καὶ τὴν ταπείνωσιν τῆς ψυχῆς. Ἔστι δὲ καὶ ὅτε

πολλές φορές στά τελευταῖα τοῦ ἀνθρώπου χρησιμοποιεῖ διάφορες ἀφορμές καί τόν σώζει».

102. Εἶπε πάλι: «Ἐάν στόν τόπο πού κατοικεῖς ὑπάρχουν μνήματα, νά πηγαίνεις ἐκεῖ συχνά καί ὁ στοχασμός σου νά γυροφέρνει στούς νεκρούς, προπάντων ὅταν ἔχεις σαρκικό πόλεμο. Καί ὅταν πληροφορεῖσαι ὅτι κάποιος ἀδελφός πρόκειται νά ἐκδημήσει πρός Κύριον, πήγαινε καί μεῖνε ἐκεῖ, γιά νά δεῖς πῶς ἡ ψυχή ἀποχωρίζεται ἀπό τό σῶμα».

103. Εἶπε πάλι: «Ἐάν περιπέσεις σέ ἁμάρτημα καί μετά ἀποκαταστήσεις τίς σχέσεις σου μέ τόν Θεό καί ἀρχίσεις τή ζωή τοῦ πένθους καί τῆς μετάνοιας, πρόσεξε μήν παύσεις νά πονᾶς καί νά στενάζεις ἐνώπιον τοῦ Κυρίου ὥς τήν ἡμέρα τοῦ θανάτου σου· γιατί ὑπάρχει κίνδυνος νά ξαναπέσεις γρήγορα στόν ἴδιο βόθρο. Ἡ κατά Θεόν λύπη εἶναι χαλινάρι τῆς ψυχῆς, πού τή συγκρατεῖ γιά νά μήν ξαναπέσει».

104. Εἶπε πάλι: «Ὅταν ὁ Σατανᾶς δεῖ ὅτι ὁ Θεός σέ ἐλεεῖ καί σοῦ χαρίζει κατάνυξη, τότε σοῦ παρουσιάζει μιά ἀναγκαία ἀπασχόληση λέγοντάς σου: «Κάμε σήμερα αὐτήν τή δουλειά, γιατί πρέπει ὁπωσδήποτε νά γίνει, ἤ σήκω καί πήγαινε στόν τάδε, γιατί εἶναι ἄρρωστος». Καί ὅλα αὐτά τά κάμνει γιά νά μή σ' ἀφήσει νά ἐντρυφήσεις καί νά ἀπολαύσεις τή γλυκύτητα τοῦ πένθους. Ἄν ὅμως ἐσύ καταλάβεις τόν δόλο τοῦ Σατανᾶ καί προφυλαχθεῖς καί μείνεις ἐντρυφώντας στήν προσευχή μέ κατάνυξη, ἀμέσως περίμενε κάποιον ἄλλον πειρασμό, προερχόμενο ἤ ἀπό ἀνθρώπους ἤ ἀπό δαίμονες. Γιατί ὁ Σατανᾶς τότε ἐπιτίθεται στόν ἄνθρωπο μέ κακία, ὅταν αὐτός πολεμάει σωστά. Ἐκεῖνο πού πάνω ἀπ' ὅλα ἐξαφανίζει τήν κατάνυξη καί τήν ταπείνωση τῆς ψυχῆς, εἶναι ὁ θυμός.

καθεζομένου σου κυκλοῦσί σε οἱ λογισμοὶ καὶ οἱ δαίμονες, εὐθὺς ἀνάστα, εὖξαι καὶ περιπάτησον ἐπὶ τὰ ἔξω κἀκεῖνοι σκορπίζονται ἀπὸ σοῦ.

105. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Ἀββᾶ, εἰπέ μοι ῥῆμα. Λέγει αὐτῷ ὁ Γέρων· Ὅτε ὁ Θεὸς ἐπάταξεν Αἴγυπτον, οὐκ ἦν οἶκος μὴ ἔχων πένθος.

106. Εἶπε Γέρων· Καθημένου σου ἐν τῷ κελλίῳ σου ἔχε τὴν μνήμην τοῦ Θεοῦ πᾶσαν ὥραν καὶ κυκλώσει σε ὁ φόβος τοῦ Θεοῦ. Ἔκβαλε οὖν ἀπὸ τῆς ψυχῆς σου πᾶν ἁμάρτημα καὶ πᾶν κακόν, ἵνα εὕρῃς ἀνάπαυσιν.

107. Εἶπε πάλιν· Ὁ κτησάμενος τὸν φόβον τοῦ Θεοῦ ἔχει θησαυρὸν μεστὸν ἀγαθῶν, ὅτι ὁ φόβος τοῦ Θεοῦ σῴζει τὸν ἄνθρωπον ἀπὸ ἁμαρτίας.

108. Γέρων τις καθήμενος κατὰ μόνας ἐν τῷ κελλίῳ αὐτοῦ ἐποίησεν ἑξήκοντα χρόνους ἐν τῷ μοναχικῷ, μηδέποτε διαλιπὼν τοῦ κλαίειν· ἔλεγε δὲ ἀεὶ ὅτι τὸν χρόνον τοῦτον δέδωκεν ἡμῖν εἰς μετάνοιαν ὁ Θεὸς καὶ πάνυ ἔχομεν αὐτὸν ζητῆσαι.

109. Γέρων τις ἐκάθητο ἐν τῷ ὄρει κατ᾽ ἰδίαν ἡσυχάζων, τῷ γένει Ῥωμαῖος· οὗτος ὅτε ἦν νεώτερος, γέγονε βορδονάριος. Ἐν μιᾷ οὖν ἀπῆλθε μετὰ τῶν βορδονίων εἰς Ἰεριχώ· καὶ ἐν τῷ ξενοδοχείῳ εὑρέθη παιδίον μικρὸν καὶ ἐκ τοῦ διαβό-

Συμβαίνει ἐπίσης κι ἐκεῖ πού κάθεσαι νά σέ κυκλώνουν οἱ λογισμοί καί οἱ δαίμονες· ἀμέσως σήκω ὀρθός, προσευχήσου, βγές ἔξω καί περπάτησε καί ἐκεῖνοι θά διασκορπισθοῦν».

105. Κάποιος ἀδελφός παρακάλεσε ἕναν Γέροντα: «Ἀββᾶ, πές μου κάποιον οἰκοδομητικό λόγο». Καί ὁ Γέροντας τοῦ εἶπε: «Ὅταν ὁ Θεός κτύπησε μέ τίς πληγές τήν Αἴγυπτο, δέν ὑπῆρχε σπίτι πού δέν πενθοῦσε[78]».

106. Εἶπε ἕνας Γέροντας: «Ἔχε τή μνήμη τοῦ Θεοῦ ὅλη τήν ὥρα, καθώς βρίσκεσαι μέσα στό κελί σου, καί θά σέ κυκλώσει ὁ φόβος τοῦ Θεοῦ. Βγάλε ἐπίσης ἀπ᾽ τήν ψυχή σου κάθε ἁμαρτωλή διάθεση καί καθετί τό κακό καί θά βρεῖς ἀνάπαυση».

107. Εἶπε ἀκόμη: «Ὅποιος ἔχει ἀποκτήσει τόν φόβο τοῦ Θεοῦ, κατέχει θησαυρό γεμάτο ἀγαθά, γιατί ὁ φόβος τοῦ Θεοῦ λυτρώνει τόν ἄνθρωπο ἀπό τήν ἁμαρτία».

108. Κάποιος Γέροντας πού ἔμενε στό κελί του ὁλομόναχος, ἔκανε ἑξήντα χρόνια μοναχός χωρίς νά σταματήσει ποτέ νά κλαίει. Καί ἔλεγε πάντα: «Τόν χρόνο τῆς ζωῆς μας μᾶς τόν ἔχει δώσει ὁ Θεός γιά μετάνοια καί πολύ θά τόν ἀναζητήσουμε κάποτε».

109. Κάποιος Γέροντας ἀσκήτευε μόνος στό βουνό· ἦταν Ρωμαῖος στήν καταγωγή. Στά νιάτα του ἦταν ἀγωγιάτης. Κάποια μέρα λοιπόν πῆγε στήν Ἰεριχώ μέ τά μουλάρια του καί στό ξενοδοχεῖο, ὅπου ἔμεινε, ἔτυχε νά εἶναι

78. Ἐξ. 12, 30.

λου ἀγνοοῦντος τοῦ Γέροντος ἐπάτησεν ὁ βόρδων τὸ παιδίον καὶ ἀπέκτεινεν αὐτό. Θλιβεὶς οὖν ἐπὶ τούτῳ ὁ Γέρων ἀνεχώρησε καὶ ἀπῆλθεν εἰς τὸν Ἀρωνᾶν κἀκεῖ γέγονεν ἀναχωρητὴς θρηνῶν καὶ πάντοτε λέγων ὅτι· Ἐγὼ πεποίηκα τὸν φόνον τοῦ παιδίου καὶ ὡς φονεὺς ἔχω κατακριθῆναι ἐν τῇ κρίσει. Ἦν δὲ ἐκεῖ πλησίον εἰς τὸν Χείμαρρον λέων καὶ καθ' ἑκάστην ὑπῆγεν εἰς τὴν κοίτην τοῦ λέοντος νύσσων καὶ ἐγγρίζων αὐτόν, ἵνα ἀναστῇ καὶ φάγῃ αὐτόν. Ὁ δὲ λέων οὐδ' ὅλως ἔβλαψεν αὐτόν. Τότε ὁ Γέρων ὡς εἶδεν ὅτι οὐδὲν ὠφελεῖ, λέγει ἐν ἑαυτῷ· Κοιμηθῶ εἰς τὴν ὁδὸν τοῦ λέοντος καὶ ἐν τῷ διαβαίνειν αὐτὸν καὶ ὑπάγειν ἐπὶ τὸν ποταμὸν πιεῖν, τρώγει με. Ὡς οὖν ἀνέπεσεν, ἰδοὺ μετὰ μικρὸν καὶ ὁ λέων· καὶ ὡς ἐπὶ ἀνθρώπου μετὰ πάσης ἡσυχίας ὑπερεπήδησε τὸν Γέροντα καὶ οὐδ' ὅλως ἥψατο αὐτοῦ. Τότε ὁ Γέρων ἐπληροφορήθη ὅτι ὁ Θεὸς συνεχώρησεν αὐτῷ τὴν ἁμαρτίαν καὶ ἐλθὼν ἐν τῇ μονῇ αὐτοῦ διῆγε πάντα τὸν χρόνον τῆς ζωῆς αὐτοῦ πάντας ὠφελῶν καὶ οἰκοδομῶν ἕως τῆς τελευτῆς αὐτοῦ.

110. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Τί ποιήσω, ἀββᾶ, ὅτι ὅταν ἴδω τινὰ ἁμαρτάνοντα κατακρίνω αὐτόν, καὶ ἐὰν ἀκούσω περὶ ἀδελφοῦ ἀμελοῦς, μισῶ αὐτὸν καὶ ἀπολῶ μου τὴν ψυχήν; Καὶ εἶπεν ὁ Γέρων· Ὅταν ἀκούσῃς τι τοιοῦτον, ἀποπήδησον ταχέως ἀπὸ τοῦ λογισμοῦ τούτου καὶ τρέχε ἐπὶ τὴν ἔννοιαν τῆς φοβερᾶς ἡμέρας τῆς κρίσεως καὶ ἀναλογίζου παρὰ σεαυτῷ τὸ βῆμα τὸ φρικῶδες, τὸν δικαστὴν τὸν ἀδέκαστον· τοὺς ποταμοὺς τοῦ πυρός, τοὺς πρὸ τοῦ βήματος ἐκείνου συρομένους καὶ σφοδροτάτῃ καχλάζοντας τῇ φλογί, τὰς ἠκονημένας ῥομφαίας, τὰς ἀποτόμους τι-

καί ἕνα μικρό παιδί· καί ἀπό ἐνέργεια διαβολική, χωρίς ὁ Γέροντας νά τό ἀντιληφθεῖ, τό μουλάρι πάτησε τό παιδί καί τό σκότωσε.

Ἐπειδή λοιπόν στενοχωρήθηκε πολύ ὁ Γέροντας γιά τό γεγονός αὐτό ἔφυγε ἀπ' ἐκεῖ, πῆγε στόν Ἀρωνᾶ καί ἔγινε ἀναχωρητής. Ἔκλαιε λοιπόν συνέχεια κι ἔλεγε: «Ἐγώ τό σκότωσα τό παιδί καί ὡς φονιάς πού εἶμαι, θά κατακριθῶ κατά τή Δευτέρα Παρουσία τοῦ Κυρίου».

Ἐκεῖ κοντά στόν Χείμαρρο ὑπῆρχε ἕνα λιοντάρι· καί αὐτός πήγαινε κάθε μέρα στή φωλιά του καί τό τσιμποῦσε καί τό παρόξυνε, γιά νά σηκωθεῖ καί νά τόν φάγει. Ἀλλά τό λιοντάρι καθόλου δέν τόν πείραζε. Ὁ Γέροντας ὅταν εἶδε ὅτι ἀστόχησε στόν σκοπό του, σκέφθηκε: «Θά πάω νά πέσω στό μονοπάτι, πού περνάει τό λιοντάρι πηγαίνοντας στό ποτάμι νά πιεῖ νερό· ἐκεῖ θά μέ φάγει». Μόλις λοιπόν ἔπεσε κάτω, νά, σέ λίγο καί τό λιοντάρι. Σάν νά' ταν ἄνθρωπος πήδησε πάνω ἀπό τόν Γέροντα ἤρεμο καί δέν τόν ἄγγιξε καθόλου. Ἀπ' αὐτό τό περιστατικό ὁ Γέροντας βεβαιώθηκε ὅτι ὁ Θεός τοῦ εἶχε συγχωρήσει τήν ἁμαρτία· ἔτσι ἐπέστρεψε στό μοναστήρι του καί πέρασε τό ὑπόλοιπο τῆς ζωῆς του ὠφελώντας καί οἰκοδομώντας ὅλους μέχρι τόν θάνατό του.

110. Κάποιος ἀδελφός ρώτησε ἕναν Γέροντα: «Τί νά κάνω, ἀββᾶ, πού, ὅταν δῶ κάποιον νά ἁμαρτάνει, τόν κατακρίνω, καί ὅταν ἀκούσω γιά ἕναν ἀδελφό πώς εἶναι ἀμελής, τόν μισῶ καί θά χάσω ἔτσι τήν ψυχή μου;». Καί εἶπε ὁ Γέροντας: «Ὅταν ἀκούσεις κάτι τέτοιο, ἀπομακρύνσου ἀμέσως ἀπ' τόν λογισμό αὐτό κάνοντας ἕνα ἅλμα καί σπεῦσε νά θυμηθεῖς τή φοβερή ἡμέρα τῆς Κρίσεως· ἀναλογίσου δίπλα σου τό φρικτό βῆμα, τόν ἀδέκαστο δικαστή, τούς πύρινους ποταμούς, πού ρέουν μπροστά σ' ἐκεῖνο τό βῆμα κοχλάζοντας μέσα στή φοβερή φλόγα, τίς ἀκονισμέ-

μωρίας, τὴν κόλασιν τὴν οὐκ ἔχουσαν τέλος, τὸν ζόφον τὸν ἀφεγγῆ, τὸ σκότος τὸ ἐξώτερον, τὸν σκώληκα τὸν ἰοϐόλον, τὰ δεσμὰ τὰ ἄλυτα, τὸν ϐρυγμὸν τῶν ὀδόντων καὶ τὸν κλαυθμὸν τὸν ἀπαραμύθητον· ταῦτα τοίνυν ἐννόει, τοὺς ἀφύκτους ὀλέθρους.

Οὐδὲ κατηγόρων δεῖται ὁ δικαστὴς ἐκεῖνος οὐδὲ μαρτύρων οὐδὲ ἀποδείξεων οὐδὲ ἐλέγχων, ἀλλ' ὡς ἐπράχθη, οὕτως ἐλεύσεται εἰς μέσον πρὸ τῶν ὀφθαλμῶν τῶν πεπλημμεληκότων. Τότε οὐδεὶς ὁ ἐκπορευόμενος καὶ ἐξαρπάζων τῆς τιμωρίας· οὐ πατήρ, οὐχ υἱός, οὐ μήτηρ, οὐ θυγάτηρ, οὐκ ἄλλος τις συγγενής, οὐ γείτων, οὐ φίλος, οὐ συνήγορος, οὐ χρημάτων δόσις, οὐ πλούτου περιουσία, οὐ δυναστεία, ἀλλὰ ταῦτα πάντα ὥσπερ κόνις ἐκποδὼν ἐλαύνεται· μόνος ὁ κρινόμενος ἀποίσεται τῶν αὐτῷ πεπραγμένων ἢ τὴν ἐλευθεροῦσαν ἢ τὴν καταδικάζουσαν ψῆφον. Τότε οὐδεὶς ὑπὲρ ἄλλου κρίνεται, ἀλλ' ὑπὲρ ὧν ἕκαστος ἐπλημμέλησεν.

Ταῦτα εἰδὼς μηδένα κατάκρινε καὶ ἔσῃ ἀτάραχος.

Τέλος τῆς περὶ κατανύξεως πραγματείας.




νες ρομφαῖες, τίς σκληρές τιμωρίες, τήν κόλαση πού δέν ἔχει τέλος, τή νύχτα τήν ἄφεγγη, τό σκοτάδι τό ἐξώτερο, τό φαρμακερό φίδι, τά ἄλυτα δεσμά, τό τρίξιμο τῶν δοντιῶν καί τόν ὀδυρμό πού δέν ἔχει παρηγοριά. Αὐτά λοιπόν νά σκέπτεσαι, τήν ἀναπόφευκτη δηλαδή πανωλεθρία[79].

Κι ἐκεῖνος ὁ δικαστής δέν ἔχει ἀνάγκη ἀπό κατηγόρους οὔτε ἀπό μάρτυρες οὔτε ἀπό ἀποδείξεις οὔτε ἀπό ἔλεγχο. Ἀλλά ἀνάλογα μέ τά πεπραγμένα θά παρουσιασθεῖ μπροστά στά μάτια τοῦ κάθε ἔνοχου. Τότε κανείς δέν θά βρεθεῖ νά βγεῖ καί νά μᾶς γλυτώσει ἀπό τήν τιμωρία, οὔτε πατέρας οὔτε γιός οὔτε μητέρα μήτε θυγατέρα μήτε κανείς ἄλλος συγγενής· οὔτε γείτονας οὔτε φίλος οὔτε συνήγορος. Μήτε μπορεῖ τήν ἐνοχή νά τήν ἐξαγοράσει τό χρῆμα, ὁ περίσσιος πλοῦτος ἤ ἡ δύναμη. Ὅλα αὐτά σάν νά 'ταν σκόνη θά ἐξαφανισθοῦν ἀπ' τή μέση· καί μόνος ὁ κρινόμενος θά πάρει τίς ἀπολαβές του γιά ὅσα ἔπραξε, ἤ τήν ἀθωωτική ἀπόφαση ἤ τήν καταδικαστική. Τότε κανείς ἄλλος δέν θά μπορεῖ νά κριθεῖ γιά χάρη ἄλλου. Ὁ καθένας θά κριθεῖ χωριστά γιά ὅσα διέπραξε.

Γνωρίζοντας αὐτές τίς ἀλήθειες μήν κατακρίνεις κανένα καί θά εἶσαι πάντα εἰρηνικός».

Τέλος τῆς πραγματείας γιά τήν κατάνυξη


79. Μάρκ. 9, 48· Ματθ. 8, 12.



ΠΑΡΑΡΤΗΜΑ



Πρόλογος περὶ βίου καὶ ἀσκήσεως τῶν μακαρίων ἁγίων πατέρων



ὢν ἐν ἀρχῇ πρὸς τὸν Θεὸν Θεὸς Λόγος, διὰ πολλὴν ἀγαθότητα πάντα κόσμον ἐκ μὴ ὄντων ἐν σοφίᾳ δημιουργήσας, τὸν οὐρανὸν ὑπερκεῖσθαι πάντων τῶν ὁρωμένων ἐποίησε καὶ ἐν αὐτῷ τοὺς φωστῆρας ἐναπέθετο τοῦ φωτίζειν πᾶσαν τὴν κτίσιν καὶ τοῖς ἀνθρώποις συνεργεῖν εἰς τὰ δέοντα.

Αὐτὸς δὲ ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Πατρός, ἐπ' ἐσχάτων τῶν χρόνων διὰ τὴν ἡμετέραν σωτηρίαν ἐνανθρωπήσας καὶ γεννηθεὶς ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς Παρθένου, κατὰ πάντα ὁμοιοπαθὴς ἡμῖν πλὴν ἁμαρτίας γενόμενος ἄνθρωπος, ἕτερον οὐρανὸν ἡμῖν εἰργάσατο ἀσυγκρίτως τοῦ ὁρωμένου αἰδεσιμώτερον.

Ὁ μὲν γὰρ αἰσθητὸς ὢν αἰσθητοῖς ἐπαμύνει, ὁ δὲ νοητός ἐστι καὶ τὸν νοῦν πρὸς Θεὸν ἐπανάγει, αὐτὸς ὢν καθηγεμὼν καὶ διδάσκαλος καὶ τοὺς ἐσομένους αὐτῷ λογικοὺς θείους ἀστέρας ἐν φωτὶ ἀκηράτῳ υἱοὺς Θεοῦ ἀπεργαζόμενος· τοῖς γὰρ νοητοῖς αὐτός ἐστι φῶς καὶ οὐκ ἄλλο. Καὶ ὁ μὲν ἔχει καὶ πλανήτας καὶ ἀπλανεῖς ἀστέρας, ὥς φασιν οἱ περὶ ταῦτα ἐσχολακότες· ὁ δὲ ὅλους ἀπλανεῖς καὶ ἀειλαμ-

1. Ἰω. 1, 1-2.
2. Εὐχὴ Θ. Λειτουργίας ἁγ. Ἰω. Χρυσοστόμου.
3. Γεν. 1, 14-16.
4. Ὕμνος Θ. Λειτουργίας ἁγ. Ἰω. Χρυσοστόμου.
5. Α' Πέτρ. 1, 20.
6. Σύμβολον τῆς Πίστεως.
7. Ἑβρ. 4, 15.



Πρόλογος γιά τόν βίο καί τήν ἄσκηση τῶν μακαριστῶν ἁγίων πατέρων



Θεός Λόγος πού ὑπῆρχε ἀπ' τήν ἀρχή μέ τόν Θεό[1], ὅταν δημιούργησε μέ σοφία ἀπό τήν πολλή του ἀγαθότητα ὁλόκληρο τόν κόσμο ἀπό τήν ἀνυπαρξία[2], ἔφτιαξε τόν οὐρανό νά κεῖται πάνω ἀπ' ὅλα τά ὁρατά καί σ' αὐτόν τοποθέτησε τ' ἀστέρια[3], γιά νά φωτίζουν ὅλη τήν κτίση καί γιά νά βοηθοῦν τούς ἀνθρώπους ὅπου χρειάζεται.

Αὐτός ὁ μονογενής Υἱός καί Λόγος τοῦ Πατρός[4], ὁ ὁποῖος τούς τελευταίους καιρούς[5] γιά τή δική μας σωτηρία ἔλαβε ἀνθρώπινη μορφή καί γεννήθηκε «ἐκ Πνεύματος Ἁγίου καί Μαρίας τῆς Παρθένου»[6] καί ἔγινε ἄνθρωπος σέ ὅλα ὅμοιος μ' ἐμᾶς ἐκτός ἀπό τήν ἁμαρτία[7], αὐτός δημιούργησε γιά μᾶς ἄλλον οὐρανό, ἀσύγκριτα πιό σεβαστό ἀπ' τόν οὐρανό πού βλέπουμε.

Ὁ ἕνας οὐρανός εἶναι αἰσθητός καί τά αἰσθητά ὑπερασπίζεται, ὁ ἄλλος εἶναι νοητός καί ἐπαναφέρει τόν νοῦ πρός τόν Θεό· αὐτός ὁ ἴδιος εἶναι καθηγεμόνας καί διδάσκαλος καί τούς λογικούς θείους ἀστέρες πού βρίσκονται σ' αὐτόν τούς μεταμορφώνει σέ υἱούς Θεοῦ μέσα σέ καθαρό φῶς. Γιά τά νοητά αὐτός εἶναι τό Φῶς κι ὄχι κάτι ἄλλο. Ὁ αἰσθητός οὐρανός ἔχει καί πλανῆτες καί ἀπλανεῖς ἀστέρες, ὅπως λένε ὅσοι ἀσχολοῦνται μ' αὐτά· ἐνῶ ὁ νοητός ἔχει ὅλους τούς

πεῖς καὶ ἀπήμονας· καὶ ὁ μὲν ὡς βιβλίον εἱλιγήσεται κατὰ τὴν θείαν ἀπόφασιν καὶ οἱ ἐν αὐτῷ ἀστέρες πεσοῦνται ὡς φύλλα κατὰ τὴν τελευταίαν ἡμέραν· ὁ δέ, τότε τοὺς οἰκείους ἀστέρας προσλαβὼν ἐν ἑαυτῷ, ἀναδείξει λαμπροτέρους ὑπὲρ τὸν ἥλιον.

Τούτου τοῦ ἀκραιφνοῦς καὶ φερεσβίου στερεώματος τῷ θείῳ τρωθὲν ἔρωτι τὸ τῶν ἀσκητῶν θεῖον τάγμα, τὸ προκείμενον ἡμῖν εἰς ἐξήγησιν, πᾶσαν ἀρετῶν ἰδέαν εὐψύχως καὶ ὑπερφυῶς μετελθόν, καὶ νῦν ἐν οὐρανοῖς ἀνεσπέρῳ φωτὶ καταλάμπεται καὶ τοὺς ἐπὶ γῆς ἀνθρώπους φωταγωγεῖν οὐ διαλιμπάνει ταῖς μυσταγωγίαις. Τούτων τὰς πράξεις καὶ τὰς διδαχὰς καὶ τὰ θεῖα ἐπιτηδεύματα, πρὸς ὠφέλειαν ἡμῶν οἱ τῆς Ἐκκλησίας φωστῆρες καὶ διδάσκαλοι ἀναγραψάμενοι, παράδεισον θεῖον εἰργάσαντο παντοίαις ἀρετῶν καλλοναῖς τῶν πιστῶν ἐντυγχανόντων τὰς ψυχὰς διατρέφοντα.

Τί γὰρ ἐν τούτῳ τῷ θείῳ παραδείσῳ καλὸν ὑπὸ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν οὐ πεφύτευται; Ἡσυχίας κανὼν τοῖς βουλομένοις, ἐγκρατείας παντοίας ἀκρίβεια, σωφροσύνης ἐπιμέλεια, ἀκτημοσύνης πτέρυγες, ὑπομονῆς καὶ ἀνδρείας ὑποδείγματα, κρυπτὴ ἐργασία Θεῷ μόνῳ φανερουμένη, ἡ ἐκ τοῦ μὴ κρίνειν σωτηρία προσγινομένη, διακρίσεως λύχνος, νηφάλιος καὶ ἀδιάλειπτος προσευχή, τῆς φιλοξενίας τὸ μέγεθος, τῆς ὑπομονῆς τὸ χριστομίμητον, τὸ ὕψος τῆς ταπεινοφροσύνης, τῶν σημειοφόρων ἁγίων ἀνδρῶν τὸ ἀνεξίκακον καὶ τῆς ἐναρέτου πολιτείας τὸ διάφορον.

ἀστέρες ἀπλανεῖς καί πάντα φωτεινούς καί ἀκέραιους. Ὁ πρῶτος θά περιτυλιχθεῖ σάν βιβλίο πού ἔχει τή μορφή κυλίνδρου κατά τή θεία ἀπόφαση καί οἱ ἀστέρες πού βρίσκονται σ' αὐτόν θά πέσουν σάν φύλλα τήν τελευταία ἡμέρα[8]· ἐνῶ ὁ ἄλλος τότε θά προσλάβει μέσα του τούς δικούς του ἀστέρες καί θά τούς ἀναδείξει πιό λαμπρούς κι ἀπό τόν ἥλιο.

Τό θεῖο τάγμα τῶν ἀσκητῶν, μέ τό ὁποῖο θά ἀσχοληθοῦμε, πληγωμένο ἀπ' τόν θεϊκό ἔρωτα γι' αὐτό τό καθαρότατο καί ζωογόνο στερέωμα, ἐπιδίωξε μέ γενναιότητα καί μέ ὑπεράνθρωπους ἀγῶνες κάθε μορφή ἀρετῆς καί τώρα στούς οὐρανούς φωτίζεται ἀπό τό ἀνέσπερο φῶς καί δέν παραλείπει νά φωτίζει καί τούς ἀνθρώπους πάνω στή γῆ μυώντας τους στό θεϊκό μυστήριο.

Αὐτῶν τίς πράξεις καί τίς διδαχές καί τήν ὅλη θεϊκή τους ἐργασία οἱ φωστῆρες τῆς ἐκκλησίας καί διδάσκαλοι κατέγραψαν γιά δική μας ὠφέλεια καί ἔτσι δημιούργησαν ἕνα παράδεισο θεῖο, ὁ ὁποῖος μέ τίς ποικίλες ὀμορφιές τῶν ἀρετῶν τρέφει τίς ψυχές τῶν πιστῶν πού τόν ἀνακαλύπτουν.

Τί καλό ὑπάρχει σ' αὐτόν τόν θεῖο παράδεισο, πού δέν φυτεύθηκε ἀπό τόν Χριστό, τόν ἀληθινό Θεό μας; Κανόνας ἡσυχίας γιά ὅσους τόν ἐπιθυμοῦν· ἀκρίβεια κάθε εἴδους ἐγκράτειας· ἐπιμέλεια σωφροσύνης· πτέρυγες ἀκτημοσύνης· παραδείγματα ὑπομονῆς καί ἀνδρείας, κρυμμένη ἐργασία πού φανερώνεται μόνο στόν Θεό· ἡ σωτηρία πού ἔρχεται ἀπό τήν ἀπουσία κατακρίσεως· λυχνάρι διακρίσεως· νηφάλια καί ἀδιάλειπτη προσευχή· ἡ μεγαλόψυχη φιλοξενία, ἡ χριστομίμητη ὑπομονή, τό ὕψος τῆς ταπεινοφροσύνης· ἡ ἀνεξικακία τῶν θαυματουργῶν ἁγίων ἀνδρῶν καί ἡ ὑπεροχή τῆς ἐναρέτου πολιτείας.

---

8. Πρβλ. Ἀποκ. 6, 13-14.

2. Τούτων πασῶν τῶν ἀρετῶν Χριστός ἐστιν, ὁ ἀληθινὸς Θεὸς ἡμῶν, καὶ τύπος καὶ κανὼν καὶ ὁδηγὸς καὶ δοτὴρ καὶ διδάσκαλος.

Τῆς μὲν ἡσυχίας*, ὅτε μετὰ τὸ βαπτισθῆναι ἦν ἐν τῇ ἐρήμῳ ἡμέρας τεσσαράκοντα πειραζόμενος ὑπὸ τοῦ διαβόλου μηδὲν φαγὼν ἀλλ' ὢν μετὰ τῶν θηρίων. Καὶ πάλιν ἰδὼν τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος καὶ καθίσαντος αὐτοῦ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐδίδασκεν αὐτοὺς λέγων· Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ Βασιλεία τῶν Οὐρανῶν, καὶ τὰ ἑξῆς. Καὶ πάλιν ἀπολύσας τοὺς ὄχλους καὶ τοὺς μαθητὰς ἐν τῷ πλοίῳ, ἀνέβη εἰς τὸ ὄρος κατ' ἰδίαν προσεύξασθαι. Ὀψίας δὲ γενομένης μόνος ἦν ἐκεῖ. Καὶ αὐτὸς δὲ πάλιν ὁ Κύριος ἦν ἐν ταῖς ἐρήμοις ὑποχωρῶν καὶ προσευχόμενος. Καὶ τὸ παιδίον Ἰωάννης ὁ Βαπτιστὴς ἦν ἐν ταῖς ἐρήμοις, ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ.*

Καὶ ὁ Ἀπόστολος λέγει· Παρακαλῶ πρῶτον πάντων ποιεῖσθαι δεήσεις, προσευχάς, ἐντεύξεις ὑπὲρ βασιλέων καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων, ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. Καὶ πάλιν· Παρακαλοῦμεν ὑμᾶς, ἀδελφοί, περισσεύειν μᾶλλον καὶ φιλοτιμεῖσθαι ἡσυχάζειν καὶ πράσσειν τὰ ἴδια καὶ ἐργάζεσθαι ταῖς χερσίν· καὶ τοῖς τοιούτοις παραγγέλλομεν, ἵνα μετὰ ἡσυχίας ἐργαζόμενοι τὸν ἑαυτῶν ἄρτον ἐσθίωσιν. Καί· Ἐξέλθετε ἐκ

9. Μάρκ. 1, 12-13. 10. Ματθ. 5, 1-3. 11. Ματθ. 14, 22-23.
12. Λουκ. 5, 16. 13. Λουκ. 1, 80. 14. Α' Τιμ. 2, 1-3.

2. Ὅλων αὐτῶν τῶν ἀρετῶν καί τύπος καί κανόνας καί ὁδηγός καί χορηγός καί διδάσκαλος εἶναι ὁ Χριστός, ὁ ἀληθινός Θεός μας.

Τῆς ἡσυχίας, ὅταν μετά τή βάπτισή του ἔμεινε στήν ἔρημο σαράντα μέρες πειραζόμενος ἀπό τόν διάβολο, νηστικός καί μέ τή συντροφιά τῶν θηρίων[9].

Ἐπίσης ὅταν εἶδε τά πλήθη τῶν ἀνθρώπων, ἀνέβηκε στό ὄρος, κάθισε καί τόν πλησίασαν οἱ μαθητές του. Τότε Ἐκεῖνος ἄρχισε νά τούς διδάσκει μ' αὐτά τά λόγια: «Μακάριοι ὅσοι νιώθουν τόν ἑαυτό τους φτωχό μπροστά στόν Θεό, γιατί δική τους εἶναι ἡ Βασιλεία τῶν Οὐρανῶν»[10] καί ὅσα ἄλλα εἶπε στή συνέχεια. Ὅμως πάλι, ἀφοῦ διέλυσε τά πλήθη καί ἔστειλε τούς μαθητές στό πλοῖο, «ἀνέβηκε στό βουνό νά προσευχηθεῖ μόνος. Κι ὅταν βράδιασε, ἦταν μόνος ἐκεῖ»[11]. Ὁ ἴδιος πάλι ὁ Κύριος «ἀποσυρόταν σέ ἐρημικά μέρη καί προσευχόταν»[12].

Καί ὁ Ἰωάννης ὁ Βαπτιστής, ὅταν ἦταν παιδί, ζοῦσε στίς ἐρημιές ὥς τήν ἡμέρα που ἐμφανίστηκε στόν λαό τοῦ Ἰσραήλ[13].

Καί ὁ Ἀπόστολος λέει: «Σᾶς παρακαλῶ πρῶτα ἀπ' ὅλα νά κάνετε δεήσεις, προσευχές, παρακλήσεις, εὐχαριστίες γιά ὅλους τούς ἀνθρώπους, γιά τούς κυβερνῆτες καί ὅλους ἐκείνους πού ἀσκοῦν τήν ἐξουσία, ὥστε νά ζοῦμε ἤρεμα καί εἰρηνικά μέ εὐσέβεια καί εὐπρέπεια ἀπό κάθε ἄποψη»[14].

Καί πάλι: «Σᾶς προτρέπουμε, ἀδελφοί, νά θεωρεῖτε τιμητικό τό νά ζεῖτε χωρίς ἀναταραχές καί νά τό ἀναπτύξετε αὐτό ἀκόμη περισσότερο· νά ἀσχολεῖστε μόνο μέ τίς δικές σας ὑποθέσεις καί νά ἐργάζεστε, γιά νά βγάζετε τό ψωμί σας μέ τά χέρια σας»[15]. Ἐπίσης: «Σ' αὐτούς παραγγέλλουμε νά ἡσυχάζουν καί νά ἐργάζονται κανονικά γιά νά κερδί-

15. Α' Θεσ. 4, 10-11.

μέσου αὐτῶν καὶ ἀφορίσθητε· καί· Τὰ ἄνω ζητεῖτε, τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ γῆς.

*3. **Περὶ δὲ ἐγκρατείας** εἶπεν ὁ Κύριος·*

Εἰσέλθετε διὰ τῆς στενῆς πύλης. Καὶ τί στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν. Καὶ οὐκ εἶχον οἱ δώδεκα Ἀπόστολοι ἐν τῇ ἐρήμῳ, εἰ μὴ πέντε ἄρτους καὶ δύο ἰχθύας. Καὶ πάλιν οὐκ εἶχον οἱ Ἀπόστολοι, εἰ μὴ ἕνα ἄρτον ἐν τῷ πλοίῳ, καὶ τίλλοντες οἱ Ἀπόστολοι τοὺς στάχυας ἤσθιον ψώχοντες ταῖς χερσὶν αὐτῶν.

Καὶ ὁ Ἀπόστολος· Πᾶς δὲ ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται, καί· Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν καὶ γυμνητεύομεν· καί· βρῶμα ὑμᾶς οὐ παρίστησιν τῷ Θεῷ· καί· Πάντα μοι ἔξεστιν ἀλλ' οὐ πάντα συμφέρει, πάντα μοι ἔξεστιν, ἀλλ' οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος· τὰ βρώματα τῇ κοιλίᾳ καὶ ἡ κοιλία τοῖς βρώμασιν· ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει τὴν ἄκαιρον ἐπιθυμίαν δηλονότι· καί· Εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω· καί· Οἶδα καὶ περισσεύειν, οἶδα καὶ ταπεινοῦσθαι· καὶ χορτάζεσθαι καὶ πεινᾶν καὶ ὑστερεῖσθαι. Καί· πάντα

16. Β' Θεσ. 3, 12. 17. Β' Κορ. 6, 17. 18. Κολ. 3, 1-2.
19. Ματθ. 7, 13-14. 20. Ματθ. 14, 17. 21. Μάρκ. 8, 14.
22. Λουκ. 6, 1. 23. Α' Κορ. 9, 25. 24. Α' Κορ. 4, 11.
25. Α' Κορ. 8, 8. 26. Α' Κορ. 6, 12-13. 27. Α' Κορ. 8, 13.

ζουν τό ψωμί τους»[16]. Ἀκόμη: «Φύγετε μακριά ἀπ' αὐτούς καί ξεχωρίστε»[17]. Τέλος: «Νά ἐπιδιώκετε τά ἀγαθά πού βρίσκονται στόν οὐρανό, οἱ σκέψεις σας νά εἶναι στραμμένες πρός αὐτά καί ὄχι πρός τά γήινα πράγματα»[18].

3. **Γιά τήν ἐγκράτεια** εἶπε ὁ Κύριος:

«Μπεῖτε ἀπό τή στενή πύλη. Γιατί εἶναι στενή ἡ πύλη καί γεμάτη δυσκολίες ἡ ὁδός πού ὁδηγεῖ στή ζωή»[19]. Δέν εἶχαν οἱ δώδεκα Ἀπόστολοι στήν ἔρημο, παρά «πέντε ψωμιά καί δύο ψάρια»[20]. Καί ἀλλοῦ· «δέν εἶχαν οἱ Ἀπόστολοι παρά ἕνα ψωμί στό πλοῖο»[21]. Καί οἱ Ἀπόστολοι «ἔκοβαν τά στάχυα, τά ἔτριβαν μέ τά χέρια καί ἔτρωγαν τούς σπόρους»[22].

Ὁ Ἀπόστολος ἐπίσης λέει: «Οἱ ἀθλητές πού ἑτοιμάζονται γιά τόν ἀγώνα, ὑποβάλλονται σέ κάθε εἴδους ἀποχή»[23], καί «ὥς αὐτή τήν ὥρα πεινᾶμε, διψᾶμε, γυρνᾶμε μέ κουρέλια»[24]. «Δέν εἶναι οἱ τροφές πού θά καθορίσουν τή θέση μας ἀπέναντι στόν Θεό»[25].

«Μερικοί λένε: Ὅλα μοῦ ἐπιτρέπονται. Σωστό, ὅλα ὅμως δέν εἶναι πρός τό συμφέρον. Ὅλα μοῦ ἐπιτρέπονται, ἐγώ ὅμως δέν θά ἀφήσω τίποτε νά μέ κυριέψει». «Λένε ἀκόμη: Οἱ τροφές προορίζονται γιά τήν κοιλιά καί ἡ κοιλιά εἶναι καμωμένη γιά τίς τροφές. Ὁ Θεός ὅμως θά τά ἀχρηστέψει καί τό ἕνα καί τό ἄλλο»[26], δηλαδή τήν ἄκαιρη ἐπιθυμία, καί «ἄν κάποια τροφή μπορεῖ νά γίνεται αἰτία νά σκοντάφτει καί νά πέφτει ὁ ἀδελφός μου, δέν θά βάλω ποτέ κρέας στό στόμα μου, γιά νά μή γίνω αἰτία νά πέσει ὁ ἀδελφός μου»[27].

«Μπορῶ νά ζήσω καί μέ ἀφθονία καί μέ στερήσεις. Ἔχω μάθει ν' ἀντιμετωπίζω κάθε φορά ὁποιαδήποτε κατάσταση· καί νά εἶμαι χορτάτος καί νά πεινῶ καί νά στεροῦμαι»[28]. «Ὑπομένουμε τά πάντα γιά νά μή δημιουργή-

28. Φιλιπ. 4, 12. 29. Α' Κορ. 9, 12.

στέγομεν, ἵνα μὴ ἐγκοπήν τινα δῶμεν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ, καί· Μηκέτι ὑδροπότει, ἀλλ᾿ οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχον καὶ τὰς πυκνάς σου ἀσθενείας.

4. ***Περὶ δὲ σωφροσύνης*** *ὁ Κύριος ἔφη·*

Εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν Βασιλείαν τῶν Οὐρανῶν καί· Ἐγὼ δὲ λέγω ὑμῖν· πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτήν, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ· τὴν δὲ πόρνην καὶ τὸν λῃστὴν καὶ τὸν τελώνην τῆς σωφροσύνης ἐκπεσόντας, μετανοήσαντας πάλιν προσεδέξατο. Καὶ πάλιν φησί· Δεῦτε πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, ταῖς ἡδοναῖς δηλονότι καὶ ταῖς ἁμαρτίαις, κἀγὼ ἀναπαύσω ὑμᾶς· ἄρατε τὸν ζυγόν μου, καὶ τὰ ἑξῆς.

Καὶ ὁ Ἀπόστολος· Φεύγετε τὴν πορνείαν, καί· Εἰρήνην διώκετε μετὰ πάντων καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον, καί· Νεκρώσατε τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν· καί· Οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν; Οὔτε πόρνοι οὔτε μοιχοὶ οὔτε μαλακοὶ Βασιλείαν Θεοῦ κληρονομήσουσι. Καί· Τὰς νεωτερικὰς ἐπιθυμίας φεῦγε, καί· Τοὺς νεωτέρους παρακάλει σωφρονεῖν. Καί· Ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν, καί· Πορνείαν δὲ καὶ πᾶσαν ἄλλην ἀκαθαρσίαν μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν.

---

30. Α΄ Τιμ. 5, 23.
31. Ματθ. 19, 12.
32. Ματθ. 5, 28.
33. Ματθ. 11, 28-29.
34. Α΄ Κορ. 6, 18.
35. Ἑβρ. 12, 14.
36. Κολ. 3, 5.
37. Α΄ Κορ. 3, 16.
38. Α΄ Κορ. 6, 9-10.
39. Β΄ Τιμ. 2, 22.
40. Τιτ. 2, 6.
41. Τιτ. 2, 11-12.
42. Ἐφ. 5, 3.

σουμε κανένα ἐμπόδιο στή διάδοση τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ»[29]. (Καί στόν Τιμόθεο:) «Σταμάτα πιά νά πίνεις μόνο νερό· νά χρησιμοποιεῖς καί λίγο κρασί γιά τό στομάχι σου καί γιά τίς συχνές σου ἀσθένειες»[30].

4. **Σχετικά μέ τή σωφροσύνη** ὁ Κύριος λέει:

«Ὑπάρχουν εὐνοῦχοι πού μόνοι τους εὐνουχίστηκαν γιά χάρη τῆς Βασιλείας τῶν Οὐρανῶν»[31]. «Ἐγώ ὅμως σᾶς λέω πώς ὅποιος βλέπει μιά γυναίκα μέ πονηρή ἐπιθυμία, ἔχει κιόλας διαπράξει μέσα του μοιχεία μ᾿ αὐτήν»[32]. Ἀλλά τήν πόρνη καί τόν ληστή καί τόν τελώνη πού ἔχασαν τή σωφροσύνη, ὅταν μετανόησαν, πάλι τούς δέχθηκε. Καί λέει: «Ἐλᾶτε σ᾿ ἐμένα ὅλοι ὅσοι κοπιάζετε καί εἶστε φορτωμένοι, μέ ἡδονές δηλαδή καί ἁμαρτίες, κι ἐγώ θά σᾶς ξεκουράσω. Σηκῶστε πάνω σας τόν ζυγό μου»[33] καί ὅσα συνεχίζονται.

Ἐπίσης ὁ Ἀπόστολος λέει: «Μακριά ἀπό τήν πορνεία»[34], «ἐπιδιώκετε τήν εἰρήνη μέ ὅλους, ἐπιδιώκετε καί τήν ἁγιότητα, χωρίς τήν ὁποία κανείς δέν θ᾿ ἀντικρύσει τόν Κύριο»[35]. «Ἀπονεκρῶστε, λοιπόν, ὅ,τι σᾶς συνδέει μέ τό ἁμαρτωλό παρελθόν· τήν πορνεία, τήν ἠθική ἀκαθαρσία, τό πάθος, τήν κακή ἐπιθυμία»[36]. «Δέν ξέρετε πώς εἶστε ναός τοῦ Θεοῦ κι ὅτι τό Πνεῦμα του κατοικεῖ μέσα σας;»[37] «Οὔτε πόρνοι οὔτε μοιχοί οὔτε θηλυπρεπεῖς ἔχουν θέση στή Βασιλεία τοῦ Θεοῦ»[38]. «Ἀπόφευγε τίς ἐπιθυμίες τῆς νεότητας»[39] καί «τούς νέους νά τούς προτρέπεις νά εἶναι ἐγκρατεῖς»[40].

Ἀκόμη: «Ὁ Θεός φανέρωσε τή χάρη του γιά νά σώσει ὅλους τούς ἀνθρώπους. Αὐτή μᾶς καθοδηγεῖ νά ἀρνηθοῦμε τήν ἀσέβεια καί τίς ἁμαρτωλές ἐπιθυμίες καί νά ζήσουμε μέ σωφροσύνη, μέ δικαιοσύνη καί μέ εὐσέβεια»[41]. «Δέν πρέπει οὔτε κἄν λόγος νά γίνεται μεταξύ σας γιά ἀκολασία καί κάθε εἴδους ἠθική ἀκαθαρσία»[42]. Ἀλλά καί αὐτόν πού

Ἀλλὰ καὶ τὸν ἐν Κορίνθῳ πεπορνευκότα, μετανοήσαντα πάλιν, μετὰ τὸ παραδοῦναι αὐτὸν τῷ σατανᾷ, προσήκατο γράψας· Παρακαλῶ ὑμᾶς κυρῶσαι εἰς αὐτὸν ἀγάπην· μήποτε τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος.

Καὶ πάλιν· Φοβοῦμαι μήπως ἐλθὼν οὐχ οἵους θέλω εὕρω ὑμᾶς καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀκαθαρσίᾳ καὶ πορνείᾳ καὶ ἀσελγείᾳ ᾗ ἔπραξαν· καὶ πάλιν· Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν· καὶ πάλιν· Εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ Υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλλαγέντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ, καί· Διὸ τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε· καὶ τροχιὰς ὀρθὰς ποιήσατε τοῖς ποσὶν ὑμῶν, ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον.

*5. **Περὶ δὲ ἀκτημοσύνης** εἶπεν ὁ Κύριος·*

Μὴ μεριμνᾶτε τῇ ψυχῇ ἡμῶν τί φάγητε μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε. Αἰτεῖτε δὲ πρῶτον τὴν Βασιλείαν τοῦ Θεοῦ καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν· καί· Μὴ κτήσησθε χρυσὸν ἢ ἄργυρον μηδὲ δύο χιτῶνας· καί· Εἰ θέλεις, φησί, τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς καὶ δεῦρο ἀκολούθει μοι ἄρας τὸν σταυρόν. Καὶ πάλιν· Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις, ὁ δὲ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλῖναι.

43. Β΄ Κορ. 2, 7-8. 44. Β΄ Κορ. 12, 20-21. 45. Γαλ. 4, 19.
46. Ρωμ. 5, 10. 47. Ἑβρ. 12, 12-13. 48. Ματθ. 6, 25 καὶ 33.

ἔπεσε σέ πορνεία στήν Κόρινθο, ἀφοῦ πρῶτα τόν παρέδωσε στόν Σατανᾶ, τόν ἀποδέχθηκε πάλι, ὅταν μετανόησε, καί ἔγραψε στούς Κορίνθιους: «Σᾶς παρακαλῶ ἀποφασίστε νά τόν δεχθεῖτε μέ ἀγάπη, μή τυχόν καταρρεύσει ἀπό τή μεγάλη του στενοχώρια»[43].

«Φοβᾶμαι ἀκόμη μήπως, ὅταν ἔλθω, δέν σᾶς βρῶ ὅπως σᾶς θέλω καί πενθήσω γιά πολλούς ἀπ᾽ αὐτούς πού ἁμάρτησαν προηγουμένως καί δέν μετάνιωσαν γιά τήν ἀκαθαρσία, τήν πορνεία καί τήν ἀσέλγεια πού διέπραξαν»[44].

Καί ἀλλοῦ: «Παιδιά μου, γιά σᾶς πάλι περνῶ τούς πόνους τῆς γέννας, ὥσπου νά διαμορφωθεῖ μέσα σας ὁ Χριστός»[45] καί «παρ᾽ ὅτι ἤμασταν ἐχθροί μέ τόν Θεό, μᾶς συμφιλίωσε μαζί του ὁ σταυρικός θάνατος τοῦ Υἱοῦ του· πολύ περισσότερο τώρα πού συμφιλιωθήκαμε, ἡ ζωή του θά μᾶς χαρίσει τή σωτηρία»[46]. «Γι᾽ αὐτό λοιπόν σηκῶστε ψηλά τά κουρασμένα χέρια σας καί στεριῶστε τά παραλυμένα σας γόνατα. Ἄς βαδίσουν ἴσιους δρόμους τά πόδια σας γιά νά μήν ἐξαρθρωθοῦν τά χωλά μέλη σας, ἀλλά νά γιατρευτοῦν»[47].

5. **Σχετικά μέ τήν ἀκτημοσύνη** εἶπε ὁ Κύριος:

«Μή μεριμνᾶτε γιά τή ζωή σας τί θά φᾶτε οὔτε γιά τό σῶμα σας τί θά ντυθεῖτε». «Πρῶτα ἀπ᾽ ὅλα νά ἐπιζητεῖτε τή Βασιλεία τοῦ Θεοῦ κι ὅλα αὐτά θά ἀκολουθήσουν»[48].

«Μήν πάρετε στό ζωνάρι σας χρυσό ἤ ἀσημένιο ἤ χάλκινο νόμισμα, οὔτε διπλά ροῦχα»[49], καί «ἄν θέλεις –λέει– νά γίνεις τέλειος, πήγαινε, πούλησε τά ὑπάρχοντά σου καί δῶσε τά χρήματα στούς φτωχούς κι ἔλα νά μέ ἀκολουθήσεις, σηκώνοντας τόν σταυρό σου»[50].

Καί ἀλλοῦ: «Οἱ ἀλεποῦδες ἔχουν καταφύγιο καί τά πουλιά ἔχουν φωλιές· ὁ Υἱός ὅμως τοῦ ἀνθρώπου δέν ἔχει ποῦ νά γείρει τό κεφάλι»[51].

49. Ματθ. 10, 9. 50. Μάρκ. 10, 21. 51. Ματθ. 8, 20.

Καὶ Ἰωάννης ὁ Βαπτιστὴς εἶχε τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ.

Καὶ ὁ Ἀπόστολος· Οὐδὲν εἰσηνέγκαμεν εἰς τὸν κόσμον οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα. Οἱ δὲ βουλόμενοι πλουτεῖν ἐμπίπτουσιν εἰς παγίδας· καὶ πάλιν· Ὡς πτωχοί, πολλοὺς δὲ πλουτίζοντες, ὡς μηδὲν ἔχοντες καὶ πάντα κατέχοντες.

6. ***Περὶ δὲ ὑπομονῆς καὶ ἀνδρείας*** *λέγει ὁ Κύριος·*

Ἔστωσαν αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι καὶ οἱ λύχνοι καιόμενοι· καί· Ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον ἑαυτῶν πότε ἀναλύσει· καί· Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν· καί· Ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται· καί· Οὐδεὶς βαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν· καί· Ὑμεῖς ἐστε οἱ διαμεμενηκότες μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου· κἀγὼ διατίθεμαι ὑμῖν διαθήκην, καθὼς διέθετό μοι ὁ Πατήρ μου Βασιλείαν, ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου.

Καὶ ὁ Ἀπόστολος· Στῆτε οὖν περιεζωσμένοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ· καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου· καί· Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας· διὰ τοῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ Πνεύματος καὶ ἑδραῖοι γίνεσθε, ἀμετακίνητοι· ἰδοὺ γὰρ καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας. Καί· Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν

---

52. Ματθ. 3, 4. 53. Α' Τιμ. 6, 7 καὶ 9. 54. Β' Κορ. 6, 10.
55. Λουκ. 12, 35-36. 56. Λουκ. 21, 19. 57. Ματθ. 10, 22.
58. Λουκ. 9, 62. 59. Λουκ. 22, 28-30. 60. Ἐφ. 6, 12-15.
61. Α' Κορ. 15, 58. 62. Β' Κορ. 6, 2.

Ὁ Ἰωάννης ὁ Βαπτιστής «φοροῦσε ροῦχο ἀπό τρίχες καμήλας καί ζώνη δερμάτινη στή μέση του»[52].

Καί ὁ Ἀπόστολος λέει: «Τίποτα δέν φέραμε μαζί μας, ὅταν ἤρθαμε στόν κόσμο, καί οὔτε μποροῦμε νά βγάλουμε τίποτε φεύγοντας. Ὅσοι θέλουν νά πλουτίσουν, πέφτουν σέ παγίδες τοῦ διαβόλου»[53]. Καί ἀλλοῦ: «Εἴμαστε φτωχοί, κάνουμε ὅμως πολλούς νά πλουτίσουν· σάν νά μήν ἔχουμε τίποτε καί κατέχουμε τά πάντα»[54].

6. **Σχετικά μέ τήν ὑπομονή καί τήν ἀνδρεία** λέει ὁ Κύριος:

«Νά εἶστε συνεχῶς ἕτοιμοι μέ δεμένο τό ζωνάρι στή μέση σας καί ἀναμμένα τά λυχνάρια καί νά συμπεριφέρεστε σάν τούς ἀνθρώπους πού περιμένουν τόν κύριό τους πότε θά γυρίσει»[55].

«Μέ τήν ὑπομονή σας θά σώσετε τή ζωή σας»[56]. «Ὅποιος μείνει σταθερός ὥς τό τέλος, αὐτός θά σωθεῖ»[57]. «Ὅποιος βάζει τό χέρι του στό ἀλέτρι καί κοιτάζει πρός τά πίσω, δέν εἶναι κατάλληλος γιά τή Βασιλεία τῶν Οὐρανῶν»[58].

Καί ἀλλοῦ: «Ἐσεῖς εἶστε αὐτοί πού μείνατε κοντά μου στίς δοκιμασίες μου. Κι ὅπως ὁ Πατέρας μου μοῦ ἔδωσε τή Βασιλεία, θά σᾶς δώσω κι ἐγώ τό δικαίωμα νά τρῶτε καί νά πίνετε στό τραπέζι μου στή Βασιλεία μου»[59].

Καί ὁ Ἀπόστολος λέει: «Σταθεῖτε λοιπόν σέ θέση μάχης ζωσμένοι τήν ἀλήθεια σάν ζώνη στή μέση σας. Γιά ὑποδήματα στά πόδια σας βάλτε τήν ἑτοιμασία τοῦ Εὐαγγελίου», γιατί «δέν ἔχουμε νά παλέψουμε μέ ἀνθρώπους ἀλλά μέ ἀρχές καί ἐξουσίες» «γι'αὐτό φορέστε τήν πανοπλία τοῦ Θεοῦ»[60] καί «νά γίνεστε ὅλο καί πιό σταθεροί καί ἀμετακίνητοι στήν πίστη»[61]. «Νά, τώρα εἶναι καιρός τῆς Χάριτος, τώρα εἶναι ἡ ἡμέρα τῆς σωτηρίας»[62].

Καί: «Ὅσα ὑποφέρουμε τώρα, δέν ἰσοσταθμίζουν τή

καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι· καί· Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ· θλῖψις ἢ στενοχωρία καὶ τὰ ἑξῆς. Καί· Ὅσα προεγράφη, εἰς τὴν ἡμετέραν διδασκαλίαν προεγράφη· ἵνα διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν γραφῶν τὴν ἐλπίδα ἔχομεν.

Καί· Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ· καί· Οὐδεὶς στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ· καί· Ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει· καί· Ἐν παντὶ συνιστῶντες ἑαυτοὺς ὡς Θεοῦ διάκονοι, ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις· καί· Διὸ εὐδοκῶ ἐν ἀσθενείαις, ἐν θλίψεσι.

7. ***Περὶ δὲ τοῦ μὴ πρὸς ἐπίδειξίν τι ποιεῖν***, *ὁ Κύριος ἔφη·*

Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων, πρὸς τὸ θεαθῆναι αὐτοῖς, ἀλλὰ σοῦ ποιοῦντος ἐλεημοσύνην μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου· καί· Ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμεῖόν σου καὶ κλείσας τὴν θύραν σου πρόσευξαι τῷ Πατρί σου ἐν τῷ κρυπτῷ· καὶ ὁ Πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ.

63. Ρωμ. 8, 18 καί 35. 64. Ρωμ. 15, 4. 65. Β΄ Τιμ. 2, 4-5.
66. Ρωμ. 5, 3-5. 67. Β΄ Κορ. 6, 4. 68. Β΄ Κορ. 12, 10.

δόξα πού μᾶς ἐπιφυλάσσει ὁ Θεός στό μέλλον». «Τί λοιπόν μπορεῖ νά μᾶς χωρίσει ἀπό τήν ἀγάπη τοῦ Χριστοῦ γιά μᾶς; Μήπως τά παθήματα ἤ οἱ στενοχώριες;»[63] Ἀκόμη: «Νά ξέρετε ὅτι ὅσα γράφτηκαν στίς Γραφές, ἔχουν γραφτεῖ γιά νά μᾶς διδάσκουν. Ἔτσι μέ τήν ὑπομονή καί τήν ἐνθάρρυνση πού δίνει ἡ Γραφή, θά στηριχτεῖ ἡ ἐλπίδα μας»[64].

«Κανείς στρατευμένος δέν μπλέκεται στίς ὑποθέσεις τῆς καθημερινῆς ζωῆς, ἄν θέλει νά εἶναι συνεπής ἀπέναντι σ᾽ ἐκεῖνον πού τόν στρατολόγησε. Κι ὅταν κάποιος μετέχει σέ ἀθλητικούς ἀγῶνες, δέν παίρνει τό στεφάνι τῆς νίκης, ἄν δέν ἀγωνιστεῖ σύμφωνα μέ τούς κανόνες»[65]. «Οἱ δοκιμασίες ὁδηγοῦν στήν ὑπομονή, ἡ ὑπομονή στόν δοκιμασμένο χαρακτήρα κι ὁ δοκιμασμένος χαρακτήρας στήν ἐλπίδα. Κι ἡ ἐλπίδα τελικά δέν ἀπογοητεύει»[66].

Καί: «Μέ κάθε τρόπο συστήνουμε τόν ἑαυτό μας σάν ὑπηρέτες τοῦ Θεοῦ, μέ τή μεγάλη ὑπομονή μας, μέ τίς θλίψεις, μέ τίς δυσχέρειες»[67] καί «γι᾽ αὐτό χαίρομαι γιά τά παθήματά μου καί τίς θλίψεις»[68].

7. **Σχετικά μέ τό νά μήν κάνουμε κάτι γιά ἐπίδειξη** ὁ Κύριος λέει:

«Νά προσέχετε τήν ἐλεημοσύνη σας νά μή γίνεται μπροστά στούς ἀνθρώπους, γιά νά σᾶς ἐπιδοκιμάσουν», «σύ, ἀντίθετα, ὅταν δίνεις ἐλεημοσύνη, ἄς μήν ξέρει οὔτε τό ἀριστερό σου χέρι τί κάνει τό δεξί σου». Καί: «Ὅταν προσεύχεσαι, πήγαινε στό πιό ἀπόμερο δωμάτιο τοῦ σπιτιοῦ σου, κλεῖσε τήν πόρτα σου καί προσευχήσου ἐκεῖ κρυφά στόν Πατέρα σου κι ὁ Πατέρας σου, πού βλέπει τίς κρυφές πράξεις, θά σέ ἀνταμείψει φανερά»[69].

69. Ματθ. 6, 1· 3 καί 6.

Καὶ ὁ Κύριος, φησί, μετὰ τὸ ἰάσασθαι τὸν παράλυτον ἐξένευσεν ὄχλου ὄντος ἐν τῷ τόπῳ· καὶ πάλιν πρὸς τὸν λεπρὸν εἶπεν· Ὅρα μηδενὶ μηδὲν εἴπῃς· καὶ πρὸς τοὺς Ἀποστόλους· Μηδενὶ εἴπητε τὸ ὅραμα, ἕως οὗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ. Καί· Πῶς δύνασθε πιστεύειν εἰς Θεόν, δόξαν παρ᾽ ἀνθρώπων λαμβάνοντες;

Καὶ ὁ Ἀπόστολος· Μηδὲν ποιοῦντες, φησί, κατὰ ἐριθείαν μηδὲ κατὰ κενοδοξίαν· καί· Εἰ ζῶμεν πνεύματι, πνεύματι καὶ στοιχῶμεν. Μὴ γενώμεθα κενόδοξοι, ἀλλήλους προκαλούμενοι, εἰς ἔριδας δηλονότι, ἀλλήλοις φθονοῦντες· ἀπὸ κενοδοξίας γὰρ ὁ φθόνος· καί· Οἱ πρὸς ἐπίδειξίν τι ποιοῦντες, ἐργάται εἰσὶ δόλιοι, ψευδαπόστολοι, μετασχηματιζόμενοι εἰς Ἀποστόλους Χριστοῦ· καὶ οὐ θαῦμα.

*8. **Περὶ δὲ τοῦ μὴ κρίνειν** ὁ Κύριος εἴρηκε·*

Μὴ κρίνετε καὶ οὐ μὴ κριθῆτε· ἐν ᾧ γὰρ κρίματι κρίνετε, κριθήσεσθε... καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν, καί· Μὴ καταδικάζητε καὶ οὐ μὴ καταδικασθῆτε.

Καί· Ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τὰ παραπτώματα ὑμῶν· καί· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς... ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν.

Καί· Τί βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελ-

70. Ἰω. 5, 13. 71. Ματθ. 8, 4. 72. Ματθ. 17, 9.
73. Ἰω. 5, 44. 74. Φιλιπ. 2, 3. 75. Γαλ. 5, 25-26.
76. Β΄ Κορ. 11, 13-14. 77. Λουκ. 6, 37-38. 78. Ματθ. 6, 14-15.
79. Ματθ. 6, 9 καί 12.

Ἐπίσης λέει ἡ ἁγία Γραφή ὅτι ὁ Κύριος, ἀφοῦ θεράπευσε τόν παράλυτο, «ἔφυγε ἀπαρατήρητος ἐξαιτίας τοῦ πλήθους πού ἦταν μαζεμένο ἐκεῖ»[70] καί ἀκόμη πρός τόν λεπρό εἶπε: «Πρόσεξε μήν τό πεῖς σέ κανέναν»[71]. Καί στούς Ἀποστόλους εἶπε: «Μήν πεῖτε σέ κανέναν αὐτό πού εἴδατε, ὥσπου ν᾽ ἀναστηθεῖ ὁ Υἱός τοῦ ἀνθρώπου ἀπό τούς νεκρούς»[72]. Καί ἀλλοῦ: «Πῶς μπορεῖτε ἐσεῖς νά πιστεύετε στόν Θεό, ἀφοῦ ἀποζητᾶτε τόν ἔπαινο ὁ ἕνας τοῦ ἄλλου;»[73]

Καί ὁ Ἀπόστολος λέει: «Μήν κάνετε τίποτε ἀπό ἀνταγωνισμό ἤ ἀπό ματαιοδοξία»[74]. «Ἀφοῦ λοιπόν ζοῦμε μέ τή δύναμη τοῦ Πνεύματος, πρέπει ν᾽ ἀκολουθοῦμε τό Πνεῦμα. Ἄς μή γινόμαστε ματαιόδοξοι, ἄς μήν προκαλοῦμε γιά φιλονικίες κι ἄς μή φθονοῦμε ὁ ἕνας τόν ἄλλο»[75], γιατί ἀπό τήν κενοδοξία προέρχεται ὁ φθόνος. Καί: «Αὐτοί πού κάνουν κάτι γιά ἐπίδειξη εἶναι ἀπατεῶνες, ψευτοαπόστολοι, ἄνθρωποι πού μεταμφιέζονται σέ Ἀποστόλους τοῦ Χριστοῦ, καί μή σᾶς φαίνεται παράξενο»[76].

8. **Σχετικά μέ τό νά μήν κρίνουμε** ὁ Κύριος εἶπε:

«Μήν κρίνετε τούς συνανθρώπους σας, γιά νά μή σᾶς κρίνει κι ἐσᾶς ὁ Θεός... Μέ τό κριτήριο πού κρίνετε θά κριθεῖτε, καί μέ τό μέτρο πού μετρᾶτε θά μετρηθεῖτε» καί «μήν καταδικάζετε τούς συνανθρώπους σας, γιά νά μή σᾶς καταδικάσει κι ἐσᾶς ὁ Θεός»[77].

«Ἄν συγχωρήσετε τούς ἀνθρώπους γιά τά παραπτώματά τους, θά σᾶς συγχωρήσει κι ἐσᾶς ὁ οὐράνιος Πατέρας σας»[78].

Καί μᾶς ὑπέδειξε νά προσευχόμαστε ἔτσι: «Πατέρα μας πού βρίσκεσαι στούς οὐρανούς... χάρισέ μας τά χρέη τῶν ἁμαρτιῶν μας, ὅπως κι ἐμεῖς τά χαρίζουμε στούς δικούς μας ὀφειλέτες»[79].

Ἀκόμη: «Πῶς μπορεῖς καί βλέπεις τό σκουπιδάκι στό

φοῦ σου, τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ δοκὸν οὐ κατανοεῖς;... Ὑποκριτά, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου.

Καὶ ὁ Ἀπόστολος· Σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου; Ἢ καὶ σὺ τί ἐξουθενεῖς τὸν ἀδελφόν σου; μηκέτι οὖν ἀλλήλους κρίνωμεν· καί· Ἕκαστος περὶ ἑαυτοῦ λόγον δώσει τῷ Θεῷ. Καί· Σειραῖς τῶν ἑαυτοῦ ἁμαρτιῶν ἕκαστος σφίγγεται. Καί· Ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας· ὁ δὲ ἀνακρίνων με Κύριός ἐστιν, ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος.

*9. **Περὶ διακρίσεως** δὲ ὁ Κύριος ἔφη·*

Προσέχετε ἀπὸ τῶν ψευδοπροφητῶν καὶ ψευδοδιδασκάλων, οἵτινες ἐν ἐνδύμασι προβάτων, καὶ τὰ ἑξῆς. Καί· Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου.

Καί· Γίνεσθε δόκιμοι τραπεζῖται, τὸ καλὸν καὶ τὸ κακὸν γινώσκοντες· καί· Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν, καὶ τὰ ἑξῆς· καί· Ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν βρῶσιν τὴν μένουσαν εἰς ζωὴν αἰώνιον.

Καὶ ὁ Ἀπόστολος· Ἐγὼ τοίνυν οὕτω τρέχω ὡς οὐκ ἀδήλως· οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων, ἀλλ' ὑποπιάζω μου

80. Ματθ. 7, 3 καὶ 5.
81. Ρωμ. 14, 10-13.
82. Παροιμ. 5, 22.
83. Α' Κορ. 4, 3-5.
84. Ματθ. 7, 15.
85. Ματθ. 7, 21.
86. Πρβλ. Γεν. 2, 17.
87. Ματθ. 6, 24.
88. Ἰω. 6, 27.

μάτι τοῦ ἀδελφοῦ σου καί δέν νοιώθεις ὁλόκληρο δοκάρι στό δικό σου μάτι;... Ὑποκριτή! Βγάλε πρῶτα ἀπό τό μάτι σου τό δοκάρι καί τότε θά δεῖς καθαρά καί θά μπορέσεις νά βγάλεις τό σκουπιδάκι ἀπό τό μάτι τοῦ ἀδελφοῦ σου»[80].

Καί ὁ Ἀπόστολος λέει: «Γιατί λοιπόν ἐσύ ὁ ἀσθενικός στήν πίστη κατακρίνεις τόν ἀδελφό σου; Καί ἐσύ ὁ ἰσχυρός στήν πίστη γιατί περιφρονεῖς τόν ἀδελφό σου;» Γι' αὐτό λοιπόν ἄς σταματήσουμε νά κατακρίνουμε τούς ἄλλους. «Καθένας μας θά λογοδοτήσει στόν Θεό γιά τόν ἑαυτό του»[81]. «Ὁ κάθε ἁμαρτωλός περισφίγγεται χειροπόδαρα ἀπό τίς ἴδιες του τίς ἁμαρτίες πού ἐπαναλαμβάνονται»[82].

«Ὅσο γιά μένα ἔχει μικρή σημασία ἄν μοῦ ζητηθεῖ νά ἀποδώσω λογαριασμό ὡς διαχειριστής σ' ἐσᾶς ἤ σ' ὁποιοδήποτε ἀνθρώπινο δικαστήριο. Αὐτός πού μπορεῖ νά μέ κρίνει εἶναι μόνον ὁ Κύριος. Γι' αὐτό μή βιάζεστε νά κρίνετε καί νά βγάζετε ἀποφάσεις ὥσπου νά ἔρθει ὁ Κύριος»[83].

9. **Σχετικά μέ τή διάκριση** ὁ Κύριος εἶπε:

«Φυλαχτεῖτε ἀπό τούς ψευτοπροφῆτες καί τούς ψευτοδασκάλους, πού ἔρχονται ντυμένοι σάν πρόβατα»[84] κ.τ.λ. Καί: «Στή βασιλεία τοῦ Θεοῦ δέν θά μπεῖ ὅποιος μοῦ λέει "Κύριε, Κύριε" ἀλλά ὅποιος κάνει τό θέλημα τοῦ οὐράνιου Πατέρα μου»[85].

«Νά εἶστε σάν τούς ἔμπειρους τραπεζίτες, πού διακρίνουν ποιό εἶναι τό γνήσιο καί ποιό τό ψεύτικο»[86]. «Κανείς δέν μπορεῖ νά εἶναι δοῦλος σέ δυό κυρίους...»[87] Ἐπίσης: «Μήν κοπιάζετε γιά τή φθαρτή τροφή πού προσωρινά συντηρεῖ, ἀλλά γιά τήν τροφή πού τρέφει μόνιμα γιά τήν αἰώνια ζωή»[88].

Καί ὁ Ἀπόστολος λέει: «Ἐγώ λοιπόν ἔτσι τρέχω πού ξέρω καλά τί ζητῶ καί πῶς θά τό ἐπιτύχω· ἔτσι πυγμαχῶ, ὄχι σάν κάποιον πού δέρνει ἀέρα, ἀλλά μέ σκληρές ἀσκήσεις

τὸ σῶμα καὶ δουλαγωγῶ· καί· Οὕτω τρέχετε, ἵνα καταλάβητε· καί· Βλέπετε ἀκριβῶς πῶς περιπατεῖτε· καί· Βλέπετε τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας.

Καί· Ὁ ἀναξίως ἐσθίων καὶ πίνων τὸ Σῶμα καὶ τὸ Αἷμα τοῦ Κυρίου, κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει μὴ διακρίνων· εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν.

Καί· Ἡ κατὰ Θεὸν λύπη μετάνοιαν κατεργάζεται· ἡ δὲ τοῦ κόσμου λύπη θάνατον κατεργάζεται· καί· Εἰς τὸ δοκιμάζειν ἡμᾶς τί τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον· καί· Κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως· καί· Ἐπίστηθι ἀκαίρως εὐκαίρως· καί· Προσέχετε αὐτοῖς καὶ παντὶ τῷ ποιμνίῳ· καί· Τὰ πάντα δοκιμάζοντες τὸ καλὸν κατέχετε.

*10. **Περὶ δὲ τοῦ νηφαλίως καὶ ἀδιαλείπτως προσεύχεσθαι** ὁ Κύριος ἔφη·*

Προσέχετε μήποτε βαρυνθῶσιν αἱ καρδίαι ὑμῶν ἐν κραιπάλῃ καὶ μέθῃ καὶ μερίμναις βιωτικαῖς· γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν· καί· Ὁ δὲ

89. Α' Κορ. 9, 26-27 καί 24. 90. Ἐφ. 5, 15.
91. Φιλιπ. 3, 2. 92. Α' Κορ. 11, 29 καί 31-32.
93. Β' Κορ. 7, 10. 94. Ρωμ. 12, 2. 95. Φιλιπ. 3, 14.

ταλαιπωρῶ τό σῶμα μου καί τό ὑποδουλώνω». «Τρέχετε λοιπόν κι ἐσεῖς ἔτσι, ὥστε νά κατακτήσετε τό βραβεῖο»[89].

«Προσέχετε καλά πῶς ζεῖτε»[90]. «Νά φυλάγεστε ἀπ' αὐτά τά σκυλιά· νά φυλάγεστε ἀπ' αὐτούς πού μέ τή δράση τους κάνουν κακό»[91].

Καί ἀλλοῦ: «Ὅποιος τρώει καί πίνει τό Σῶμα καί τό Αἷμα τοῦ Κυρίου μέ τρόπο ἀνάξιο, χωρίς νά τά ἀναγνωρίζει, τρώει καί πίνει τήν καταδίκη του... Ἄν ἀρχίζαμε μέ τήν ἐξέταση τοῦ ἑαυτοῦ μας, δέν θά ἐπισύραμε τήν τιμωρία τοῦ Θεοῦ. Ἀλλά, ὅταν ὁ Κύριος μᾶς τιμωρεῖ, μᾶς διαπαιδαγωγεῖ ἔτσι, ὥστε νά μήν ὑποστοῦμε τήν τελική καταδίκη μαζί μέ τόν κόσμο»[92].

«Ἡ λύπη πού ἀντιμετωπίζεται σύμφωνα μέ τό θέλημα τοῦ Θεοῦ, ὁδηγεῖ στή μετάνοια. Ἀντίθετα ἡ λύπη πού προέρχεται ἀπό ἀνθρώπινα προβλήματα ὁδηγεῖ στόν θάνατο»[93]. «Νά μπορεῖτε νά διακρίνετε ποιό εἶναι τό θέλημα τοῦ Θεοῦ, τό καλό καί ἀρεστό στόν Θεό καί τέλειο»[94].

«Ἀγωνίζομαι νά τερματίσω καί προσβλέπω στό βραβεῖο τῆς οὐράνιας πρόσκλησης τοῦ Θεοῦ»[95]. Ἀκόμη: «Νά ἐποπτεύεις ἄγρυπνα καί στόν κατάλληλο καί στόν ἀκατάλληλο καιρό»[96]. «Προσέχετε λοιπόν τόν ἑαυτό σας καί ὅλο τό ποίμνιο»[97]. Καί: «Νά ἐξετάζετε ὅλα καί νά κρατᾶτε ὅ,τι εἶναι χρήσιμο»[98].

10. **Σχετικά μέ τή νηφάλια καί ἀδιάλειπτη προσευχή** ὁ Κύριος εἶπε:

«Προσέξτε καλά μήν παραδοθεῖτε στήν κραιπάλη καί στή μέθη καί στίς βιοτικές φροντίδες»[99]. «Μείνετε ἄγρυπνοι καί προσεύχεστε, γιά νά μή σᾶς νικήσει ὁ πειρασμός»[100].

96. Β' Τιμ. 4, 2. 97. Πρ. 20, 28. 98. Α' Θεσ. 5, 21-22.
99. Λουκ. 21, 34. 100. Μάρκ. 14, 38.

λέγω ὑμῖν, πᾶσι λέγω· γρηγορεῖτε· καὶ ἀγρυπνεῖτε ἐν παντὶ καιρῷ, καί· Αἰτεῖτε καὶ δοθήσεται ὑμῖν· ζητεῖτε καὶ εὑρήσετε, κρούετε καὶ ἀνοιγήσεται ὑμῖν· πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει καὶ ὁ ζητῶν εὑρίσκει καὶ τῷ κρούοντι ἀνοιγήσεται. Εἶπε δὲ καὶ παραβολὴν ὁ Κύριος πρὸς τὸ δεῖν πάντοτε νήφειν καὶ μὴ ἐκκακεῖν· Κριτής τις ἦν τῆς ἀδικίας· καί· Γίνεσθε ἕτοιμοι, ὅτι ἐν ᾗ ὥρᾳ οὐ δοκεῖτε ὁ Κύριος ὑμῶν ἔρχεται.

Καὶ ὁ Ἀπόστολος· Πάντοτε χαίρετε, ἀδιαλείπτως προσεύχεσθε, ἐν παντὶ εὐχαριστεῖτε· καί· Μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε· καί· Ἀδιαλείπτως μνείαν ὑμῶν ποιοῦμαι πάντοτε ἐπὶ τῶν προσευχῶν μου· καί· Ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει μετὰ εὐχαριστίας γνωριζέσθω πρὸς τὸν Θεὸν τὰ αἰτήματα ὑμῶν· καὶ περὶ τὸ μεσονύκτιον Παῦλος, φησί, καὶ Σίλας ὕμνουν τὸν Θεὸν ἐν τῷ δεσμωτηρίῳ.

Καί· Νήψατε, γρηγορήσατε· ὁ ἀντίδικος ὑμῶν διάβολος ὡς λέων ὠρυόμενος ζητεῖ τίνα καταπίῃ.

*11. **Περὶ δὲ φιλοξενίας** ὁ Κύριος εἶπεν·*

Ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται· καί· Ὃς ἐὰν ποτίσῃ ἕνα τῶν μικρῶν τούτων ποτήριον ψυχροῦ ὕδατος, οὐ μὴ ἀπολέσει τὸν μισθὸν αὐτοῦ· καί· Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου.

101. Μάρκ. 13, 37. 102. Λουκ. 21, 36. 103. Ματθ. 7, 7-8.
104. Λουκ. 18, 1-2 καί 6. 105. Ματθ. 24, 44. 106. Α' Θεσ. 5, 16-18.
107. Φιλιπ. 2, 12. 108. Ρωμ. 1, 9-10. 109. Φιλιπ. 4, 6.

«Αὐτό πού σᾶς λέω, τό λέω σέ ὅλους: Νά εἶστε σέ ἐγρήγορση[101]· νά ἀγρυπνεῖτε συνεχῶς[102]». Καί: «Ζητᾶτε καί θά σᾶς δοθεῖ, ψάχνετε καί θά βρεῖτε, χτυπᾶτε τήν πόρτα καί θά σᾶς ἀνοιχτεῖ. Γιατί ὅποιος ζητάει λαμβάνει κι ὅποιος ψάχνει βρίσκει κι ὅποιος χτυπᾶ θά τοῦ ἀνοιχθεῖ»[103]. Τούς εἶπε μάλιστα καί μιά παραβολή ὁ Κύριος γιά τό ὅτι πρέπει πάντοτε νά εἶναι ἄγρυπνοι καί νά μήν ἀποκάμνουν στήν προσευχή. Τούς εἶπε: «Ἦταν κάποιος ἄδικος κριτής...»[104]

«Νά εἶστε ἕτοιμοι, γιατί ὁ Κύριός σας θά ἔλθει σέ ὥρα πού δέν τόν περιμένετε»[105].

Καί ὁ Ἀπόστολος λέει: «Νά εἶστε πάντοτε χαρούμενοι. Νά προσεύχεστε ἀδιάκοπα. Νά εὐχαριστεῖτε τόν Θεό γιά τό κάθε τι»[106]. «Ἐργαστεῖτε μέ φόβο Θεοῦ καί δέος γιά τή σωτηρία σας»[107]. «Σᾶς θυμᾶμαι ἀδιάκοπα, κάθε φορά πού προσεύχομαι»[108]. «Σέ κάθε περίσταση τά αἰτήματά σας νά τά ἀπευθύνετε στόν Θεό μέ προσευχή καί δέηση πού θά συνοδεύονται ἀπό εὐχαριστία»[109]. Ἀκόμη: «Γύρω στά μεσάνυχτα ὁ Παῦλος –λέει ἡ ἁγία Γραφή– καί ὁ Σίλας προσεύχονταν καί ἔψελναν ὕμνους στόν Θεό μέσα στή φυλακή»[110].

Λοιπόν: «Νά εἶστε νηφάλιοι καί ἄγρυπνοι. Ὁ ἀντίπαλός σας ὁ διάβολος περιφέρεται σάν τό λιοντάρι πού βρυχιέται, ἀναζητώντας ποιόν νά καταβροχθίσει»[111].

11. **Σχετικά μέ τή φιλοξενία** ὁ Κύριος εἶπε:

«Ὅποιος δέχεται ἐσᾶς, δέχεται ἐμένα. Κι ὅποιος δώσει σ' ἕναν ἀπ' αὐτούς τούς ἄσημους ἕνα ποτήρι κρύο νερό, θά λάβει τήν ἀμοιβή του»[112]. «Ἐλᾶτε οἱ εὐλογημένοι ἀπ' τόν Πατέρα μου, κληρονομῆστε τή βασιλεία πού σᾶς ἔχει ἑτοιμαστεῖ ἀπ' τήν ἀρχή τοῦ κόσμου»[113].

110. Πρ. 16, 25. 111. Α' Πέτρ. 5, 8. 112. Ματθ. 10, 40 καί 42.
113. Ματθ. 25, 34.

Καί· Ὅταν ποιῇς ἄριστον ἢ δεῖπνον, μὴ κάλει τοὺς φίλους μηδὲ τοὺς συγγενεῖς σου, ἀλλὰ κάλει πτωχούς, κυλλούς, ἀναπήρους καὶ μακάριος ἔσῃ· καί· Ὁ ἔχων δύο χιτῶνας, μεταδότω τῷ μὴ ἔχοντι καὶ ὁ ἔχων βρώματα ὁμοίως ποιείτω· καί· Μακάριόν ἐστι μᾶλλον διδόναι ἢ λαμβάνειν.

Καὶ ὁ Ἀπόστολος· Τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε· τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός· καί· Ὁ μεταδιδοὺς ἐν ἁπλότητι καὶ ὁ ἐλεῶν ἐν ἱλαρότητι, καὶ τὰ ἑξῆς· καί· Ὁ σπείρων φειδομένως, φειδομένως καὶ θερίσει καὶ ὁ σπείρων ἐπ᾽ εὐλογίαις, ἐπ᾽ εὐλογίαις καὶ θερίσει... μὴ ἐκ λύπης ἢ ἐξ ἀνάγκης· ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός· καί· Εἰ γὰρ ἡ προθυμία πρόκειται, καθ᾽ ὃ ἐάν τις ἔχῃ εὐπρόσδεκτος, οὐ καθ᾽ ὃ οὐκ ἔχει· καί· Ἵνα μὴ ὡς κατὰ ἀνάγκην τὸ ἀγαθόν σου ᾖ ἀλλὰ κατὰ ἑκούσιον.

*12. **Περὶ δὲ τῆς ὑπακοῆς** ἔφη ὁ Κύριος·*

Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός. Καί· Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος· καί· Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε· καί· Μενεῖτε ἐν τῇ ἀγάπῃ μου, καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ Πατρός μου τετήρηκα καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ· καί· Εἴ τις ἔρχεται πρός με καὶ οὐ μισεῖ τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, ἔτι δὲ καὶ

114. Λουκ. 14, 12-14. 115. Λουκ. 3, 11. 116. Πρ. 20, 35.
117. Ἑβρ. 13, 1 καί 16. 118. Ρωμ. 12, 8. 119. Β΄ Κορ. 9, 6-7.
120. Β΄ Κορ. 8, 12. 121. Φιλήμ. 14. 122. Ἰω. 6, 38.

Καί: «Ὅταν κάνεις γεῦμα ἢ δεῖπνο μήν καλεῖς τούς φίλους σου οὔτε τούς συγγενεῖς σου. Ἀντίθετα, κάλεσε φτωχούς, κουτσούς, ἀνάπηρους καί θά εἶσαι μακάριος»[114]. «Ὅποιος ἔχει δύο χιτῶνες, ἄς δώσει τόν ἕνα σ᾽ αὐτόν πού δέν ἔχει, κι ὅποιος ἔχει τρόφιμα, ἄς κάνει τό ἴδιο»[115]. «Καλύτερο εἶναι νά δίνεις, παρά νά παίρνεις»[116].

Καί ὁ Ἀπόστολος λέει: «Μήν ξεχνᾶτε τή φιλοξενία». «Μέ τέτοιες θυσίες εὐχαριστεῖται ὁ Θεός»[117].

«Ὅποιος μοιράζει τά ἀγαθά του μέ τούς ἄλλους, νά τό κάνει μέ ἁπλότητα· καί ὅποιος μοιράζει τίς ἐλεημοσύνες νά τό κάνει μέ καλοσύνη»[118] κ.ἑ. Ἐπίσης «ὅποιος σπέρνει μέ φειδώ, θά ἔχει λίγη σοδειά, κι ὅποιος σπέρνει ἁπλόχερα, ἡ σοδειά του θά εἶναι ἄφθονη. Ὁ καθένας ἄς δίνει χωρίς νά στενοχωριέται ἤ νά ἀναγκάζεται, γιατί ὁ Θεός ἀγαπάει αὐτόν πού δίνει μέ εὐχαρίστηση»[119]. «Γιατί, ὅταν ὑπάρχει ἡ προθυμία, ἡ προσφορά εἶναι εὐπρόσδεκτη μέ ὅσα ἔχει κανείς κι ὄχι μέ ὅσα δέν ἔχει»[120]. Καί: «Δέν θέλω νά σέ ἀναγκάσω νά μοῦ κάνεις αὐτό τό καλό· προτιμῶ νά τό κάνεις μέ τή θέλησή σου»[121].

12. **Σχετικά μέ τήν ὑπακοή** εἶπε ὁ Κύριος:

«Κατέβηκα ἀπό τόν οὐρανό γιά νά κάνω ὄχι ὅ,τι θέλω ἐγώ, ἀλλά αὐτό πού θέλει ὁ Πατέρας πού μ᾽ ἔστειλε»[122].

«Ὅποιος ἀγαπάει πατέρα ἤ μάνα παραπάνω ἀπό μένα, δέν εἶναι ἄξιος γιά μαθητής μου»[123]. «Ἄν μέ ἀγαπᾶτε, νά τηρήσετε τίς ἐντολές μου». Καί: «Θά μείνετε πιστοί στήν ἀγάπη μου, ὅπως ἐγώ τήρησα τίς ἐντολές τοῦ Πατέρα μου, γι᾽ αὐτό μένω πιστός στήν ἀγάπη του»[124]. «Ἄν κάποιος ἔρχεται κοντά μου καί δέν ἀπαρνιέται τόν πατέρα του καί

123. Ματθ. 10, 37. 124. Ἰω. 14, 15· 15, 10.

τὴν ἑαυτοῦ ψυχήν, οὐ δύναταί μου εἶναι μαθητής. Καὶ εἶπεν ὁ Κύριος πρὸς Πέτρον καὶ Ἀνδρέαν καὶ Ἰάκωβον καὶ Ἰωάννην, Ματθαῖον καὶ Φίλιππον· Δεῦτε ὀπίσω μου. Οἱ δὲ εὐθέως ἀφέντες ἅπαντα, ἠκολούθησαν αὐτῷ. Ἕτερος δὲ τῶν μαθητῶν αὐτοῦ εἶπεν αὐτῷ· Ἐπίτρεψόν μοι πρῶτον ἀπελθεῖν θάψαι τὸν πατέρα μου. Εἶπε δὲ αὐτῷ ὁ Κύριος· Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς· σὺ ἀκολούθει μοι.

Καὶ ὁ Ἀπόστολος· Ἐὰν γὰρ εὐαγγελίζωμαι, οὐκ ἔστι μοι καύχημα· οὐαὶ δέ μοί ἐστιν, ἐὰν μὴ εὐαγγελίζωμαι. Καί· Τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ᾽ ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών, καὶ τὰ ἑξῆς.

Καί· Σὺ δὲ παρηκολούθηκάς μου τῇ διδασκαλίᾳ, τῇ ἀγωγῇ, τῇ προθέσει. Καί· Αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ καὶ ἐν ἑτοίμῳ ἔχοντες ἐκδικῆσαι πᾶσαν παρακοήν, ὅταν πληρωθῇ ὑμῶν ἡ ὑπακοή.

*13. **Περὶ δὲ ταπεινοφροσύνης** εἶπεν ὁ Κύριος·*

Ὅταν πάντα τὰ διατεταγμένα ὑμῖν τελέσητε, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν. Ὅτι τὸ ἐν ἀνθρώποις ὑψηλόν, βδέλυγμά ἐστι παρὰ τῷ Θεῷ· καί· Πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται. Καί· Ἐγὼ εἰμὶ ἐν μέσῳ ὑμῶν ὡς διακονῶν· καί· Ὁ θέλων ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω διάκονος ὑμῶν καὶ πάντων δοῦλος.

125. Λουκ. 14, 26. 126. Μάρκ. 1, 17· Λουκ. 5, 11.
127. Ματθ. 8, 21-22. 128. Α' Κορ. 9, 16. 129. Φιλιπ. 2, 5-7.
130. Β' Τιμ. 3, 10. 131. Β' Κορ. 10, 5-6. 132. Λουκ. 17, 10.

τή μητέρα του, ἀκόμη καί τήν ἴδια του τή ζωή, δέν μπορεῖ νά εἶναι μαθητής μου»[125]. Καί εἶπε ὁ Κύριος στόν Πέτρο, στόν Ἀνδρέα, στόν Ἰάκωβο, στόν Ἰωάννη, στόν Ματθαῖο καί στόν Φίλιππο: «Ἀκολουθῆστε με» καί ἀμέσως αὐτοί «ἄφησαν τά πάντα καί τόν ἀκολούθησαν»[126]. Ἕνας ἄλλος πάλι ἀπό τούς μαθητές του τοῦ εἶπε: «Κύριε, ἄφησέ με νά πάω πρῶτα νά θάψω τόν πατέρα μου». Ὁ Ἰησοῦς ὅμως τοῦ εἶπε: «Ἄφησε τούς νεκρούς νά θάψουν τούς νεκρούς τους. Ἐσύ ἀκολούθησέ με»[127].

Καί ὁ Ἀπόστολος εἶπε: «Ἄν κηρύξω τό Εὐαγγέλιο, αὐτό δέν ἀποτελεῖ γιά μένα αἰτία γιά καύχηση. Ἀλίμονό μου, ἄν δέν κηρύττω τό Εὐαγγέλιο!»[128] Ἐπίσης: «Νά ὑπάρχει μεταξύ σας τό ἴδιο φρόνημα πού εἶχε κι ὁ Ἰησοῦς Χριστός, ὁ ὁποῖος ἄν καί ἦταν Θεός, δέν θεώρησε τήν ἰσότητά του μέ τόν Θεό ἀποτέλεσμα ἁρπαγῆς, ἀλλά τά ἀπαρνήθηκε ὅλα καί πῆρε μορφή δούλου»[129].

Καί ἀλλοῦ: «Ἐσύ συμπορεύθηκες μαζί μου στή διδασκαλία, στόν τρόπο ζωῆς, στούς σκοπούς»[130]. «Αἰχμαλωτίζουμε κάθε σκέψη καί τήν κάνουμε νά ὑπακούει στόν Χριστό καί εἴμαστε ἕτοιμοι νά τιμωρήσουμε κάθε παρακοή, ὅταν ὁλοκληρωθεῖ ἡ δική σας ὑπακοή»[131].

13. **Σχετικά μέ τήν ταπεινοφροσύνη** εἶπε ὁ Κύριος:

«Ὅταν κάνετε ὅλα ὅσα σᾶς προστάζει ὁ Θεός, νά λέτε ὅτι εἴμαστε ἀνάξιοι δοῦλοι»[132]. «Αὐτό πού ἐμφανίζεται μεταξύ τῶν ἀνθρώπων ὡς ἄξιο τιμῆς, ὁ Θεός τό σιχαίνεται». Καί: «Ὅποιος ὑψώσει τόν ἑαυτό του, θά ταπεινωθεῖ»[133]. «Ἐγώ εἶμαι σάν τόν ὑπηρέτη ἀνάμεσά σας»[134]. Καί: «Ὅποιος θέλει νά γίνει πρῶτος ἀνάμεσά σας, πρέπει νά γίνει ὑπηρέτης σας καί δοῦλος ὅλων»[135].

133. Λουκ. 16, 15· Ματθ. 23, 12. 134. Λουκ. 22, 27.
135. Μάρκ. 10, 43-44.

Καὶ ἰδὼν Σίμων Πέτρος προσέπεσε τοῖς γόνασι τοῦ Κυρίου λέγων· Ἔξελθε ἀπ' ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι, Κύριε. Καὶ εἶπεν Ἰωάννης πρὸς τοὺς Φαρισαίους· Ἐγὼ μὲν βαπτίζω ἐν ὕδατι, ἔρχεται δὲ ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἄξιος κύψας λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ· καὶ ὁ Κύριος, ὑπόδειγμα ταπεινοφροσύνης διδοὺς ἡμῖν, ἐγείρεται ἐκ τοῦ δείπνου καὶ τίθησι τὰ ἱμάτια αὐτοῦ καὶ λαβὼν λέντιον διέζωσεν ἑαυτόν· εἶτα βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα καὶ ἤρξατο νίπτειν τοὺς πόδας τῶν μαθητῶν καὶ ἐκμάσσειν τῷ λεντίῳ, ὃ ἦν διεζωσμένος.

Καὶ ὁ Ἀπόστολος· Ἐγὼ εἰμὶ ὁ ἐλάχιστος τῶν Ἀποστόλων, ὃς οὐκ εἰμὶ ἄξιος καὶ ἱκανὸς καλεῖσθαι Ἀπόστολος, διότι ἐδίωξα τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ· καί· Χριστὸς Ἰησοῦς ἦλθεν ἐν κόσμῳ ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτος εἰμὶ ἐγώ.

Καί· Παρακαλῶ ὑμᾶς ἐγώ, ὁ δέσμιος ἐν Κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε, μετὰ πάσης ταπεινοφροσύνης καὶ πραότητος καὶ μακροθυμίας· καί· Οὐχ ὁ ἑαυτὸν συνιστῶν, ἐκεῖνός ἐστι δόκιμος, ἀλλ' ὃν ὁ Κύριος συνίστησι· καί· Εἰ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην.

*14. **Περὶ δὲ ἀνεξικακίας** εἶπεν ὁ Κύριος·*

Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν· καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς· καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων

136. Λουκ. 5, 8. 137. Λουκ. 3, 16. 138. Ἰω. 13, 4-5.
139. Α' Κορ. 15, 9-10. 140. Α' Τιμ. 1, 15. 141. Ἐφ. 4, 1-2.

«Ὅταν ὁ Σίμων Πέτρος εἶδε τί ἔγινε, ἔπεσε στά γόνατα τοῦ Κυρίου καί τοῦ εἶπε: Βγές ἀπ' τό καΐκι μου, Κύριε, γιατί εἶμαι ἄνθρωπος ἁμαρτωλός»[136].

Ἐπίσης ὁ Ἰωάννης εἶπε στούς Φαρισαίους: «Ἐγώ σᾶς βαφτίζω μέ νερό, ἔρχεται ὅμως αὐτός πού εἶναι πιό ἰσχυρός ἀπό μένα καί πού ἐγώ δέν εἶμαι ἄξιος νά λύσω τό λουρί ἀπ' τά ὑποδήματά του»[137]. Καί ὁ Κύριος, δίνοντας σ' ἐμᾶς ὑπόδειγμα ταπεινοφροσύνης, «σηκώνεται ἀπ' τό τραπέζι πού δειπνοῦσαν, βγάζει τό ἱμάτιό του, παίρνει μιά πετσέτα καί τή ζώνεται. Ἔπειτα βάζει νερό στή λεκάνη κι ἀρχίζει νά πλένει τά πόδια τῶν μαθητῶν καί νά τά σκουπίζει μέ τήν πετσέτα πού εἶχε ζωστεῖ»[138].

Καί ὁ Ἀπόστολος λέει: «Ἐγώ πραγματικά εἶμαι ὁ τελευταῖος ἀνάμεσα σέ ὅλους τούς Ἀποστόλους. Ἐγώ δέν εἶμαι ἄξιος οὔτε νά ὀνομάζομαι Ἀπόστολος, γιατί κατεδίωξα τήν ἐκκλησία τοῦ Θεοῦ»[139]. «Ὁ Ἰησοῦς Χριστός ἦρθε στόν κόσμο γιά νά σώσει τούς ἁμαρτωλούς καί πρῶτος ἀνάμεσά τους εἶμαι ἐγώ»[140].

«Σᾶς παρακαλῶ λοιπόν ἐγώ, πού εἶμαι φυλακισμένος γιά τόν Κύριο, νά ζεῖτε μέ τρόπο ἀντάξιο ἐκείνου πού σᾶς κάλεσε στή νέα ζωή. Νά ζεῖτε μέ ταπείνωση, πραότητα καί ὑπομονή»[141]. Καί: «Ἄξιος δέν εἶναι αὐτός πού αὐτοσυστήνεται, ἀλλά αὐτός πού τόν συστήνει ὁ Κύριος»[142]. «Ἄν πράγματι ζητοῦσα νά ἀρέσω στούς ἀνθρώπους, δέν θά ἤμουν ὑπηρέτης τοῦ Χριστοῦ»[143].

14. **Σχετικά μέ τήν ἀνεξικακία** ὁ Κύριος εἶπε:

«Ν' ἀγαπᾶτε τούς ἐχθρούς σας· εὐεργετεῖτε αὐτούς πού σᾶς μισοῦν καί προσεύχεσθε γι' αὐτούς πού σᾶς κακο-

142. Β' Κορ. 10, 18. 143. Γαλ. 1, 10.

ὑμᾶς· καὶ τῷ τύπτοντί σε ἐπὶ τὴν δεξιάν σου σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην· καὶ τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν, καὶ τὰ ἑξῆς. Καί· Πάτερ, ἄφες αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· οὐ γὰρ οἴδασι τί ποιοῦσιν· ἀλλὰ καὶ τὸ ἀποκοπὲν ὠτίον ἐπὶ τῇ προδοσίᾳ λαβόμενος ἰάσατο.

Καὶ ὁ Ἀπόστολος· Λοιδορούμενοι εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα, βλασφημούμενοι παρακαλοῦμεν. Καί· Εὐλογεῖτε τοὺς μισοῦντας ὑμᾶς· εὐλογεῖτε καὶ μὴ καταρᾶσθε· καὶ εἰ δυνατὸν τὸ ἐξ ὑμῶν μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες· μὴ ἑαυτοὺς ἐκδικοῦντες.

Καὶ ὁ Κύριος λοιδορούμενος, οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει. Καὶ ταῦτα μὲν ἐν τούτοις.

Ὁ δὲ τοῖς σημειοφόροις ἡμῶν πατράσιν ἀπιστῶν ἢ τὰ παρ᾽ αὐτῶν λελεγμένα ἢ πεπραγμένα μὴ ἀποδεχόμενος, τῷ Χριστῷ μᾶλλον ἢ τοῖς Ἀποστόλοις ἢ τούτοις ἀπειθεῖ· ὅτι ὁ μὲν Κύριος ἐκ πηλοῦ διέπλασεν ὀφθαλμοὺς τυφλοῦ, δαίμονας ἐξ ἀνθρώπων ἀπήλασεν, νεκροὺς ἤγειρεν, ὕδωρ εἰς οἶνον μετέβαλεν, ἐκ πέντε ἄρτων εἰς κόρον πεντακισχιλίους ἐχόρτασε καὶ τὰ μύρια καὶ ἀκατάληπτα καὶ ἀνεξερεύνητα θαύματα εἰργάσατο, ἃ ὁ κόσμος χωρεῖν οὐ δύναται.

Τῶν δὲ αἱ σκιαὶ καὶ τὰ κράσπεδα πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐθεράπευον, καθὼς Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν εἴρηκεν· Ὁ πιστεύων εἰς ἐμέ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει καὶ μείζονα τούτων ποιήσει. Ὅπου γὰρ ὁ ὑπὲρ φύσιν Θεὸς ἐνδημήσει, ὑπὲρ φύσιν καὶ τὰ πράγματα κατεργάζεται.

144. Ματθ. 5, 44 καί 39-40
145. Λουκ. 23, 24.
146. Λουκ. 22, 51.
147. Α΄ Κορ. 4, 12-13.
148. Ρωμ. 12, 14 καί 18-19.
149. Α΄ Πέτρ. 2, 23.
150. Ἰω. 21, 25.
151. Ἰω. 14, 12.

μεταχειρίζονται. Ἄν κάποιος σέ χτυπήσει στό δεξί μάγουλο, γύρισέ του καί τό ἄλλο· κι ἄν κάποιος θέλει νά σέ πάει στό δικαστήριο γιά νά σοῦ πάρει τό πουκάμισο»[144] κ.λ.π.

Εἶπε ἐπίσης: «Πατέρα, συγχώρησέ τους, δέν ξέρουν τί κάνουν»[145]. Ἀλλά καί τό αὐτί πού κόπηκε κατά τήν ὥρα τῆς προδοσίας, τό πῆρε καί τό γιάτρεψε[146].

Καί ὁ Ἀπόστολος λέει: «Στούς ἐμπαιγμούς ἀπαντοῦμε μέ καλά λόγια· στούς διωγμούς μέ ὑπομονή· στίς συκοφαντίες μέ λόγια φιλικά»[147]. «Νά προσεύχεστε γι᾽ αὐτούς πού σᾶς μισοῦν, νά ζητᾶτε τήν εὐλογία τοῦ Θεοῦ γι᾽ αὐτούς κι ὄχι νά τούς καταριέστε». Καί: «Ὅσο ἐξαρτᾶται ἀπό σᾶς, νά ζεῖτε εἰρηνικά μέ ὅλους· καί μήν ἀγωνίζεσθε ἐσεῖς νά πάρετε ἐκδίκηση»[148]. Ἐπίσης: «Ὁ Κύριος τίς λοιδορίες δέν τίς ἀνταπέδιδε, καί ὅταν ἔπασχε, δέν ἀπειλοῦσε»[149].

Αὐτά λέει ἡ ἁγία Γραφή σχετικά μέ τό θέμα μας.

Ἐκεῖνος λοιπόν πού ἀπιστεῖ στούς χαρισματούχους πατέρες μας ἤ δέν ἀποδέχεται τούς λόγους καί τίς πράξεις τους, στόν Χριστό κυρίως καί στούς Ἀποστόλους ἀπιστεῖ παρά σ᾽ αὐτούς. Ἀπιστεῖ, δηλαδή, ὅτι ὁ Κύριος χρησιμοποιώντας πηλό ξανάφτιαξε τά μάτια τοῦ τυφλοῦ, ὅτι ἔδιωξε δαίμονες ἀπό ἀνθρώπους, νεκρούς ἀνέστησε, νερό σέ κρασί μετέτρεψε, μέ πέντε ἄρτους χόρτασε μέχρι κορεσμοῦ πέντε χιλιάδες ἀνθρώπους καί ἔκανε ἀναρίθμητα καί ἀκατάληπτα καί ἀνεξερεύνητα θαύματα, τά ὁποῖα δέν μπορεῖ νά τά χωρέσει οὔτε ὁ κόσμος ὁλόκληρος[150].

Ἀλλά καί αὐτῶν οἱ σκιές καί οἱ ἄκρες τῶν ἐνδυμάτων τους θεράπευαν κάθε ἀρρώστια καί κάθε ἀδυναμία, ὅπως ὁ Χριστός, ὁ ἀληθινός Θεός μας, εἶχε πεῖ: «Αὐτός πού ἔχει ἐμπιστοσύνη σ᾽ ἐμένα, θά κάνει τά ἔργα πού κάνω ἐγώ καί μεγαλύτερα ἀκόμη ἀπ᾽ αὐτά»[151]. Γιατί ὅπου ὁ ὑπεράνω τῆς φύσεως Θεός εὐδοκήσει νά παραμείνει, ἐκεῖ καί πραγματοποιοῦνται τά πάντα κατά ὑπερφυσικό τρόπο.

Καὶ τί δεῖ πολλὰ λέγειν; Πᾶσα θεία Γραφὴ Καινὴ καὶ Παλαιὰ ταῦτα καθ' ἑκάστην ἀναπηγάζει τὰ εὐώδη καὶ ζωηρὰ καὶ θεόβρυτα νάματα· μάλιστα τὰ περὶ ἀγάπης ἀναρίθμητα, ἅπερ οἱ μακάριοι ἀσκηταὶ διελθόντες ἔργῳ καὶ λόγῳ, πρὸς αὐτὰ τὸν θεῖον λόγον ἀπηκριβώσαντο, ἐπὶ τῷδε τῷ θείῳ ἐποικοδομηθῆναι θεμελίῳ, ὄντος ἀκρογωνιαίου Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

